BIBLIOTECA NAZIONALE VITT. EMANUELE
12
11 A
13

M

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

12-11-A-13

HIPPOCRATIS COI APHORISMI

Græcè, & Latinè,

Vnà cum PROGNOSTICIS, PRORRHETICIS, COACIS, & aliis decem eiuſdem opuſculis:

Pleraq; ex interpretatione

IOHANNIS HEVRNII Vltraiectini.



EX OFFICINA PLANTINIANA RAPHELENGII,

M. DC. VII.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

12. 11. A. 13

Digitized by Google

Typographus Lectori S.

MEDICAE *artis longitudinem ac difficultatem nemo magis peruidit, quàm is qui in eâ plus omnibus quotquot aut ſunt, aut fuerunt, aut vmquam erunt, vidiſſe videtur,* HIPPOCRATES COVS. *Ideoq; in primo præcipui operis ſui limine idipſum ante omnia teſtari, omniumq; mentibus inſinuare voluit: ideoq; etiam, quantum rerum moles permittere potuit, quàm pauciſſimis libris, & quàm breuiſſimis ſententiis, ac penè ſingulis verbis immenſa iſtius Artis Præcepta ac Myſteria poſteris tradere conatus eſt. Quæ quia Medicinæ candidatis quàm rariſſime, medicis autem ipſis nullo vmquam tempore de manibus ponenda eſſe iudicabamus, non inutile fore putauimus, ea quàm minimo fieri poterat volumine, ac etiam penè minimo omnium charactere, vtrâq; tamen linguâ, expreſſa comprehendere.* APHORISTICA *igitur hæc ſummi* HIPPOCRATIS *ſcripta, tantillo hoc libello incluſa, gratanter aut beniuolo ſaltem animo excipe: ſimulq; ignoſce, quòd alium nullum quàm penè fortuitum in iis diſponendis ordinem ſecuti ſumus. Hoc enim Aphoriſticæ breuitatis imò maieſtatis proprium eſſe videtur, in ordinem non redigi, nulliſq; ſcholaſticæ Methodi cancellis includi. Vale.*

SERIES
LIBRORVM HIPPOCRATIS
qui hoc volumine continentur.

I. Aphoriſmorvm libri VII. *Pag.* I
II. Prognosticorvm libri III. 109
III. Prorrheticorvm *ſeu* Praedictionvm libri dvo. 179
IV. Praeceptiones. 309
V. De Carnibvs *ſiue* De Principiis. 331.
VI. De pvrgatoriis remediis. 365
VII. De Veteri medicina. 375
VIII. De Medico. 439
IX. De Arte. 461
X. De Elegantia. 493
XI. Ivsivrandvm. 517
XII. Lex. 523
XIII. Aphoriſmi interiecti, *ſiue* Liber VIII. Aphoriſmorvm. 531
XIV. Coacae Praenotiones. 541

HIP-

Digitized by Google

HIPPOCRATIS
COI
APHORISMI

Græcè, & Latinè,

ex interpretatione

IOHANNIS HEVRNII

Vltraiectini.

Digitized by Google

ἹΠΠΟΚΡΆΤΟΥΣ

ΚΩ'ΟΥ

ἈΦΟΡΙΣΜΩ͂Ν

ΠΡΩ͂ΤΟΝ.

1 Ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρὴ, ὁ δὲ καιρὸς ὀξὺς, ἡ δὲ πεῖρα σφαλερὴ, ἡ δὲ κρίσις χαλεπή. Δεῖ δὲ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, ἀλλὰ καὶ τὸν νοσέοντα, καὶ τοὺς παρεόντας, καὶ τὰ ἔξωθεν.

2 Ἐν τῇσι ταραχῇσι τῆς κοιλίης, καὶ τοῖσιν ἐμέτοισι τοῖσιν αὐτομάτως γινομένοισιν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε, καὶ εὐφόρως φέρουσιν· ἢν δὲ μὴ, τοὐναντίον. Οὕτω δὲ καὶ κενεαγγείη, ἢν μὲν οἷα δεῖ γίγνεσθαι γίγνηται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν· ἢν δὲ μὴ, τοὐναντίον. Ἐπιβλέπειν οὖν δεῖ καὶ χώρην, καὶ ὥρην, καὶ ἡλικίην, καὶ νούσους, ἐν ᾗσι δεῖ, ἢ οὔ.

3 Ἐν τοῖσι γυμναστικοῖσιν αἱ ἐπ' ἄκρον εὐεξίαι σφαλεραὶ, ἢν ἐν τῷ ἐσχάτῳ ἔωσιν. οὐ γὰρ δύνανται μένειν ἐν τῷ αὐτέῳ, οὐδὲ ἀτρεμίζειν. Ἐπεὶ δὲ οὐκ ἀτρεμίουσιν, οὐδέ τι

δυνάν-

HIPPOCRATIS
COI
APHORISMORVM
LIBER PRIMVS.

VITA breuis, ars verò longa: ſed occaſio momentoſa, & magni momenti, empirica periclitatio periculoſa, iudicium difficile. Neque verò Medicus modò ſic comparare ſe debet, vt faciat quod facto opus eſt: ſed & æger, & qui præſtò ſunt, & quæ foris incidunt. 1

In commotione & profluuio alui non mediocri, & vomitibus vltrò obortis, ſiquidem qualia purgari oportet excludantur, confert, perferuntque alacriter. Sin minus conuenienter ferantur, contra; damnis etenim augentur. Sic etiam vaſorum euacuatio, ſi qualem moliri neceſſe eſt fiat, confert, feruntque ex facili, & alleuantur; ſin minus, contrarium illis euenit. Deſpicere ergo oportet regionem, tempus, ætatem, & morbos in quibus opus eſt, aut non. 2

Athletarum euexia quæ ad ſummum diſtentionis euaſit, periculoſa: natura enim ſuo ſtatu manere non poteſt, neque ocioſa quieſcere. Poſtquam ergo in ocio 3

Digitized by Google

δύναται ἐπὶ τὸ βέλτιον ἐπιδιδόναι, λείπεται ἐπὶ τὸ χεῖρον. Τούτων οὖν εἵνεκα, τὴν εὐεξίην λύειν ξυμφέρει μὴ βραδέως, ἵνα πάλιν ἀρχὴν ἀναθρέψιος λάβῃ τὸ σῶμα. Μηδὲ τὰς ξυμπτώσιας ἐς τὸ ἔσχατον ἄγειν, σφαλερὸν γάρ. ἀλλ' ὁκοίη ἂν ἡ φύσις ᾖ τοῦ μέλλοντος ὑπομένειν, ἐς τοῦτο ἄγειν. ὡσαύτως δὲ καὶ αἱ κενώσιες, αἱ ἐς τὸ ἔσχατον ἄγουσαι, σφαλεραί. καὶ πάλιν αἱ ἀναθρέψιες αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι, σφαλεραί.

4 Αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται, καὶ ἐν τοῖσι μακροῖσιν ἀεὶ πάθεσι, καὶ ἐν τοῖσιν ὀξέσιν, οὗ μὴ ἐπιδέχεται, σφαλεραί. Καὶ πάλιν αἱ ἐς τὸ ἔσχατον λεπτότητος ἀφιγμέναι δίαιται, χαλεπαί. Καὶ γὰρ αἱ πληρώσιες, αἱ ἐς τὸ ἔσχατον ἀφιγμέναι, χαλεπαί.

5 Ἐν τῇσι λεπτῇσι διαίτῃσιν ἁμαρτάνουσιν οἱ νοσέοντες, διὸ μᾶλλον βλάπτονται. Πᾶν γὰρ τὸ ἁμάρτημα, ὃ ἂν γίνηται, μέγα γίνεται μᾶλλον ἐν τῇσι λεπτῇσι, ἢ ἐν τῇσιν ὀλίγον ἁδροτέρῃσι. Διὰ τοῦτο καὶ τοῖσιν ὑγιαίνουσι σφαλεραὶ αἱ πάνυ λεπταὶ καὶ καθεστηκυῖαι καὶ ἀκριβέες δίαιται, ὅτι τὰ ἁμαρτανόμενα χαλεπώτερον φέρουσι. Διὰ τοῦτο οὖν αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται σφαλεραὶ ἐς τὰ πλεῖστα τῶν σμικρῷ ἁδροτέρων.

6 Ἐς δὲ τὰ ἔσχατα νοσήματα, αἱ ἔσχαται θεραπεῖαι ἐς ἀκριβείην, κράτισται.

Ὁκοῦ

non ſit, nec iam tum ad eius bonitatem quicquam adiungi cùm poſſit, reſtat vt labatur in deterius. Quo fit, vt talem euexiam ſine cunctatione ſoluere oporteat, vt corpus, redintegratâ nutritione, iterum augeſcat. Nec tamen extrema inanitio eſt molienda, qua vaſa omnino concidant, illud enim periculi plenum: ſed cuiuſmodi natura fuerit eius qui perferet eò vſque educendum. Porrò autem vt vacuationes ad ſummum ductæ periculi plenæ ſunt: Sic rurſus ſummæ refectiones, periculoſæ.

Diætæ tenues & accuratæ cùm in morbis diuturnis in totum periculoſæ, tum etiam in acutis morbis, maximè ſi loco & iure non præſcribantur. Iterum extremè tenues diætæ periculi plenæ. Nam & renutritiones quæ ad ſummum peruenere, periculi plenæ. 4

Quinetiam in diæta tenui in vitio ſui ſunt ægri, propterea damnis augentur. Omnino enim magis tenui diætâ, loco non adhibitâ, quàm paulo pleniore peccatur. Quæ cauſa etiam eſt cur tenuis admodum ſtata & accurata diæta, ſanis etiam ſit periculoſa, quòd eius delicta grauiùs illi ferant. Ergo tenuis accurataque diæta paulo pleniore, in plura, eſt periculoſa magis. 5

Sed tamen ad morbos extremos, extrema ad vnguem curatio præclarè facit. 6.

7 Ὅκου μὲν οὖν κάτοξυ τὸ νόσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους ἔχει. καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι. ὅκου δὲ μὴ, ἀλλ' ἐνδέχεται ἁδροτέρως διαιτᾷν, τοσοῦτον ὑποκαταβαίνειν, ὁκόσον ἂν ἡ νόσος μαλθακωτέρη τῶν ἐσχάτων ᾖ.

8 Ὁκόταν δὲ ἀκμάζῃ τὸ νόσημα, τότε καὶ τῇ λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι.

9 Συντεκμαίρεσθαι δὲ χρὴ καὶ τὸν νοσέοντα, εἰ ἐξαρκέσει τῇ διαίτῃ πρὸς τὴν ἀκμὴν τῆς νόσου, καὶ πότερον ἐκεῖνος ἀπαυδήσει πρότερον καὶ οὐκ ἐξαρκέσει τῇ διαίτῃ, ἢ ἡ νόσος πρότερον ἀπαυδήσει καὶ ἀμβλυνεῖται.

10 Ὁκόσοισι μὲν οὖν αὐτίκα ἡ ἀκμὴ, αὐτίκα λεπτῶς διαιτᾷν. ὁκόσοισι δὲ ἐς ὕστερον ἡ ἀκμὴ, ἐς ἐκεῖνο καὶ πρὸ ἐκείνου μικρὸν ἀφαιρετέον. ἔμπροσθεν δὲ πιοτέρως διαιτᾷν, ὡς ἂν ἐξαρκέσῃ ὁ νοσέων.

11 Ἐν τοῖσι παροξυσμοῖσιν ὑποστέλλεσθαι χρὴ, τὸ προστιθέναι γὰρ βλάπτει. καὶ ὁκόσα κατὰ περιόδους παροξύνεται, ἐν τοῖσι παροξυσμοῖσιν ὑποστέλλεσθαι χρή.

12 Τοὺς δὲ παροξυσμοὺς καὶ τὰς καταστάσιας δηλώσουσιν αἱ νόσοι, καὶ αἱ ὧραι τοῦ ἔτεος, καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἀνταποδόσιες, ἤν τε καθ' ἡμέρην, ἤν τε παρ' ἡμέρην, ἤν τε καὶ διὰ πλείο-

Ergo ſi morbus ſit peracutus, in promptu laborum ſunt ſumma omnia, ac tum quàm tenuiſſima diæta eſt vtendū. Quod ſi non eſt morbus peracutus, vt pleniori diætæ locus ſit; Pro eo à tenui diæta diſcedendum, vt morbus extremis fuerit leuior. 7

At verò cùm efflorеſcit morbi ſtatus, cumque ille viget maximè, tum pertenuiſſima diæta vti fuerit perutile. 8

Sed vnâ ſcienter colligere oportet, an æger tali diætâ ad morbi vigorem ſufficiat, ac num priùs ille deficiat nec ei ſatisfiat diætâ: an verò morbus antè frangendus, atque conſidat. 9

Quibuſcunque igitur morbi ſummus vigor in procinctu eſt, extemplo tenuem diætam victitent. Quibus verò ſeriùs futurus eſt morbi vigor, & eo ipſo tempore (vigoris,) & paulo antè eſt deducendum. Antea verò liberalius indulgendum, vt æger par eſſe poſſit. 10

In paroxyſmis à cibo abſtinendum eſt, nam eius acceſſio damno eſt. Quin etiam quæ periodis quibuſdam ingraueſcunt, in horum paroxyſmis abſtinere oportet. 11

Iam verò paroxyſmos & ſtatus morborum ipſi pro ſe quique morbi aperient, & anni tempora, & ſtatæ periodorum vices intérque ſe reciprocationes, ſi cottidianæ illæ fuerint, tum ſi alternis diebus repetant, tum ſi maioribus interuallis. 12

νος χρόνου γίγνωνται. Ἀτὰρ καὶ τοῖσιν ἐπιφαινομένοισιν ἔτι ἐν πλευριτικοῖσι πτύελον, ἣν αἰτίκα ἐπιφαίνηται ἀρχομένου, βραχύνει, ἣν δ' ὕστερον ἐπιφαίνηται, μηκύνει. καὶ οὖρα, καὶ ὑποχωρήματα, καὶ ἱδρῶτες, καὶ εὔκριτα, καὶ δύσκριτα, καὶ βραχέα καὶ μακρὰ τὰ νοσήματα ἐπιφαινόμενα δηλοῖ.

13 Γέροντες εὐφορώτατα νηστείην φέρουσι. δεύτερον οἱ καθεστηκότες. ἥκιστα μειράκια. πάντων δὲ μάλιστα παιδία. τουτέων δὲ αὐτέων ἅσσα ἂν τύχῃ αὐτὰ ἑωυτῶν προθυμότερα ἐόντα.

14 Τὰ αὐξανόμενα, πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν. πλείστης οὖν δεῖται τροφῆς. εἰ δὲ μή, τὸ σῶμα ἀναλίσκεται. Γέρουσι δὲ ὀλίγον τὸ θερμόν. διὰ τοῦτο ἄρα ὀλίγων ὑπεκκαυμάτων δέονται. ὑπὸ πολλῶν γὰρ ἀποσβέννυται. Διὰ τοῦτο καὶ οἱ πυρετοὶ τοῖσι γέρουσιν οὐχ ὁμοίως ὀξέες, ψυχρὸν γὰρ τὸ σῶμα.

15 Αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει. καὶ ὕπνοι μακρότατοι. ἐν ταύτῃσιν οὖν τῇσιν ὥρῃσι καὶ τὰ προσάρματα πλείω δοτέον. καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πλεῖον ἔχουσι. τροφῆς οὖν πλείονος δέονται. σημεῖον αἱ ἡλικίαι, καὶ οἱ ἀθληταί.

16 Ὑγραὶ πᾶσι δίαιται τοῖσι πυρεταίνουσι ξυμφέρουσι, μάλιστα δὲ παιδίοισι, καὶ τοῖσιν ἄλλοισι, τοῖσιν οὕτως εἰθισμένοισι διαιτᾶσθαι.

Καὶ

Digitized by Google

Eò quoque pertinent epiphænomena: vt
ſi ineunte pleuritide expectoratum ilicò
appareat, breuis eſt morbus: ſi autem ſe-
rius, diuturnus. Quin & vrinæ & deie-
ctiones, & ſudores, vt apparuerint, ſecun-
di aut ſiniſtri morbos iudicij, breues aut
diuturnos fore ſignificant.

Senes (quibus eſt cruda viridiſque ſe- 13
nectus) inediæ patientiſſimi ſunt: mox
homines conſtantis ætatis, nequaquam
adoleſcentes: maximéque omnium pue-
ri: atque omnino qui id ætatis fuerint
alacriores.

Quæ corpora incrementis augeſcunt, 14
plurimum habent calidi natiui, propter-
eáque plurimo egent alimento, alioqui
horum corpus tabeſcit. Senibus verò
parum caloris ſupereſt: quo fit vt paucis
fomitibus contenti ſint, nam copiâ extin-
gueretur facilè. Quæ cauſa eſt cur ſeni-
bus non ita ſint febres acutæ, frigidum
eſt enim eorum corpus.

Inſignes capacitates internæ hieme & 15
vere ſunt naturâ calidiſſimæ, & ſomni lon-
giſſimi: iis igitur temporibus cibi acceſſio
eſt adiungenda. nam cùm calidi innati
plus habeant, eò fit, vt iis maiore nutri-
catu ſit opus: cuius rei documento no-
bis ſunt ætates & athletæ.

Diætæ humidæ febricitãtibus omnibus
accommodatæ ſunt, maximè verò pueris, 16
atque aliis qui ſic diætam inſtituerunt.

Quin

Digitized by Google

17 Καὶ οἷσιν ἅπαξ, ἢ δὶς, ϗ πλείω ϗ ἐλάσσω, ϗ κατὰ μέρος. Δοτέον δέ τι ϗ τῇ ὥρῃ, ϗ τῇ χώρῃ, ϗ τῇ ἡλικίῃ, ϗ τῷ ἔθει.

18 Θέρεος ϗ φθινοπώρου σιτία δυσφορώτατα φέρουσι, χειμῶνος ῥήϊστα, ἦρος δεύτερον.

19 Τοῖσιν ἐν τῇσι περιόδοισι παροξυνομένοισι μηδὲν διδόναι, μηδ᾽ ἀναγκάζειν, ἀλλ᾽ ἀφαιρέειν τῶν προσθεσίων πρὸ τῶν κρισίων.

20 Τὰ κρινόμενα ϗ τὰ κεκριμένα ἀρτίως, μὴ κινέειν, μηδὲ νεωτεροποιέειν μήτε φαρμακείῃσι, μήτε ἄλλοισιν ἐρεθισμοῖσιν, ἀλλ᾽ ἐᾷν.

21 Ἃ δεῖ ἄγειν ὅκου ἂν μάλιστα ῥέπῃ ἡ φύσις, ταύτῃ ἄγειν, διὰ τῶν ξυμφερόντων χωρίων.

22 Πέπονα φαρμακεύειν ϗ κινέειν, μὴ ὠμὰ, μηδὲ ἐν ἀρχῇσιν, ἢν μὴ ὀργᾷ· τὰ δὲ πλεῖστα οὐκ ὀργᾷ.

23 Τὰ χωρέοντα μὴ τῷ πλήθει τεκμαίρεσθαι, ἀλλ᾽ ὡς ἂν χωρέῃ οἷα δεῖ ϗ φέρῃ εὐφόρως. ϗ ὅκου δεῖ, μέχρι λειποθυμίης ἄγειν; ϗ τοῦτο ποιέειν, ἢν ἐξαρκέῃ ὁ νοσέων.

24 Ἐν τοῖσιν ὀξέσι πάθεσιν ὀλιγάκις, ϗ ἐν

ἀρχῇσι

Quin etiam quibus conſentaneum eſt, 17
ſemel aut bis die paſtum inire, quibúsque
pleniore aut parciore manu & quo pro-
greſſu fieri oporteat. Sed concedendum
eſt aliquid tempori, & regioni, & ætati, &
conſuetudini.

Aeſtate & Autumno cibos ægerrimè 18
ferunt, Hyeme facillimè, mox Vere.

In morbis qui per circuitus recrude- 19
ſcunt, nihil eſt exhibendum, neque vlla
ratione adduci quis debet, vt aliquid ex-
hibendum putet; ſed contrà demenda
cibi acceſſio ante criſes.

Quæ iudicantur perfectè, quæque iudi- 20
cata ſunt exquiſitè, nullo modo mouen-
da neque nouanda, neque medicamentis
purgantibus, neque aliis irritamentis,
ſed miſſa facienda.

Quæ ducenda ſunt, eò ducenda, quò 21
maximè natura viam affectat, per loca le-
ge naturæ commoda.

Concocta medicamento purgare ac 22
mouere oportet, non cruda, neque ineun-
te morbo, niſi materia turgeat: pluri-
mum verò non turget.

Quare excretiones non à copiâ aut 23
numero metiri oportet, ſed prout qualia
decet feruntur, & ægri ferunt ex facili.
Nam ſi vel ad lipothymiam vſque mo-
uendum ſit, faciendum id ſanè, modò
æger par eſſe poſſit.

In morbis acutis rarò, ac ineunte mor- 24
bo (ſi id faciendum) pharmaciæ eſt locus.
Atque

Digitized by Google

ἀρχῇσι τῇσι φαρμακείῃσι χρέεσθαι. καὶ τοῦτο προεξευκρινήσαντας ποιεῖν.

25 Ἢν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι· τὰ δὲ ἐναντία, δυσχερῶς.

ἹΠΠΟΚΡΆΤΟΥΣ

ΚΏΟΥ

ἈΦΟΡΙΣΜῶΝ

ΔΕΥ'ΤΕΡΟΝ.

1 Ἐν ᾧ νοσήματι ὕπνος πόνον ποιέει, θανάσιμον. ἢν δὲ ὠφελέῃ, οὐ θανάσιμον.

2 Ὅκου παραφροσύνην ὕπνος παύει, ἀγαθόν.

3 Ὕπνος, ἀγρυπνίη, ἀμφότερα τοῦ μετρίου μᾶλλον γινόμενα, κακόν.

4 Οὐ πλησμονὴ, οὐ λιμὸς, οὐδ᾽ ἄλλο οὐδὲν ἀγαθὸν, ὅ, τι ἂν μᾶλλον τῆς φύσιος ᾖ.

5 Κόποι αὐτόματοι φράζουσι νούσους.

6 Ὁκόσοι πονέοντές τι τοῦ σώματος, τὰ πολλὰ τῶν πόνων οὐκ αἰσθάνονται, τουτέοισιν ἡ γνώμη νοσέει.

7 Τὰ ἐν πολλῷ χρόνῳ λεπτυνόμενα σώματα-

τα

Atque id, adhibito antè ſingulari iudicio, faciendum.

Si qualia purgari oportet, excludantur, confert, perferúntque alacriter. Sin contrà, difficulter ferunt. 25

HIPPOCRATIS

COI APHORISMORVM

LIBER II.

QVo in morbo ſomnus laborem parit, funeſtum: ſin autem iuuat, nihil funeſtum. 1

Vbi (enim) ſomnus delirii vacuitatem adfert, bonum. 2

Somnus & vigilia, vtraque ſi immoderata ſint, malum. 3

Neque ſatietas, neque nimia cibi abſtinentia, neque aliud quippiam ſalutare quod ſupra naturam fuerit. 4

Laſſitudines vltrò obortæ arguunt futuros morbos. 5

Quicumque ex parte aliqua corporis laborant, & nullo modo eam læſionem percipiunt, iis mens laborat. 6

Quæ longo tempore extenuata ſunt corpo- 7

Digitized by Google

τα νωθρῶς ἐπανατρέφειν δεῖ. Τὰ δ᾽ ἐν ὀλίγῳ ὀλίγως.

8 Ἢν ἐκ νόσου τροφὴν λαμβάνων τις, μὴ ἰσχύῃ, σημαίνει ὅτι πλείονι τροφῇ τὸ σῶμα χρῆται. Ἢν δὲ τροφὴν μὴ λαμβάνοντος, τοῦτο γίνηται, χρὴ εἰδέναι, ὅτι κενώσιος δεῖται.

9 Τὰ μὴ καθαρὰ τῶν σωμάτων, ὁκόσον ἂν θρέψῃς, μᾶλλον βλάψεις.

10 Τὰ σώματα χρὴ, ὅκου ἄν τις βούληται καθαίρειν, εὔροα ποιέειν.

11 Ῥᾷον πληροῦσθαι ποτοῦ, ἢ σιτίου.

12 Τὰ ἐγκαταλιμπανόμενα ἐν τῇσι νούσοισι μετὰ κρίσιν, ὑποστροφὰς ποιέειν εἴωθεν.

13 Ὁκόσοισι κρίσις γίνεται, τούτοισιν ἡ νὺξ δύσφορος, ἡ πρὸ τοῦ παροξυσμοῦ. ἡ δὲ ἐπιοῦσα εὐφορωτέρη ὡς ἐπιτοπολύ.

14 Ἐν τῇσι τῆς κοιλίης ῥύσεσιν, αἱ μεταβολαὶ τῶν διαχωρημάτων ὠφελέουσιν, ἢν μὴ ἐς τὰ πονηρὰ μεταβάλλῃ.

15 Ὅκου φάρυγξ νοσεῖ, ἢ φύματα ἐν τῷ σώματι ἐκφύεται, χρὴ τὰς ἐκκρίσιας σκέπτεσθαι. Ἢν γὰρ χολώδεες ἔωσι, τὸ σῶμα ξυννοσεῖ. ἢν δὲ ὅμοιαι τοῖσιν ὑγιαίνουσι γίνωνται, ἀσφαλὲς τὸ σῶμα τρέφειν.

16 Ὅκου λιμὸς, οὐ δεῖ πονέειν.

17 Ὅκου ἂν τροφὴ παρὰ φύσιν πλείων ἐσέλθῃ,

corpora, lentè reficere oportet: quæ verò breui, celeriter.

Si quis à morbo cibum capiens non 8
confirmatur, pleniore id arguit corpus nutricatu vti. Quod ſi nec capienti idem contingat, vacuatione tum opus eſſe pro certo habendum.

Corpora impura quò plus alimenti aſ- 9
ſumunt, eò pluribus damnis augentur.

Atqui ſi quiſpiam corpora purgare 10
voluerit, meabilia vt reddat eſt neceſſe.

Facilius eſt refici potu, quàm cibo. 11

Morborum reliquiæ quæ à criſi ſuper- 12
ſunt, recidiuos morbos parere conſueuerunt.

Quibuſcumque propinqua eſt criſis, 13
nox eo paroxyſmo ſuperior grauis eſt: quæ verò nox ſuccedit (criſi,) maximam partem facilis eſt.

In alui profluuiis, criticis vltrò obor- 14
tis, excrementorum varietates iuuant, niſi excrementa in praua mutentur.

At verò vbi fauces ægrotant, aut tu- 15
bercula è corpore pullulant, excretiones conſiderare oportet. Nam ſi bilioſæ fuerint, interna viſcera vnà ægrotant: Quod ſi ſanorum excretionem præ ſe ferunt, corpus alere tutum eſt,

Corpore inediâ confecto, non laboran- 16
dum.

Vbi nutrimentum vltra naturam capi- 17
tur,

θῃ, τὴν νοῦσον ποιέει, δηλοῖ δὲ καὶ ἡ ἴησις.

18 Τῶν τρεφόντων ἀθρόως καὶ ταχέως, ταχεῖαι καὶ αἱ διαχωρήσιες γίγνονται.

19 Τῶν ὀξέων νοσημάτων οὐ πάμπαν ἀσφαλέες αἱ προδιαγορεύσιες, οὔτε τοῦ θανάτου, οὔτε τῆς ὑγιείης.

20 Ὁκόσοισι νέοισιν ἐοῦσι, αἱ κοιλίαι ὑγραί εἰσι, τουτέοισιν ἀπογηράσκουσι ξηραίνονται. Ὁκόσοισι δὲ νέοισιν ἐοῦσιν, αἱ κοιλίαι ξηραί εἰσι, τουτέοισι πρεσβυτέροισι γιγνομένοισι ὑγραίνονται.

21 Λιμὸν θώρηξις λύει.

22 Ἀπὸ πλησμονῆς ὁκόσα ἂν νοσήματα γένηται, κένωσις ἰῆται· καὶ ὁκόσα ἀπὸ κενώσιος πλησμονή. καὶ τῶν ἄλλων ἡ ὑπεναντίωσις.

23 Τὰ ὀξέα τῶν νοσημάτων κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι.

24 Τῶν ἑπτὰ ἡ τετάρτη ἐπίδηλος. ἑτέρης ἑβδομάδος ἡ ὀγδόη ἀρχή. Θεωρητὴ δὲ ἡ ἑνδεκάτη: αὕτη γὰρ ἐστὶ τετάρτη τῆς ἑτέρης ἑβδομάδος. Θεωρητὴ δὲ πάλιν ἡ ἑπτακαιδεκάτη. αὕτη γὰρ ἐστὶ τετάρτη μὲν ἀπὸ τῆς τεσσαρεσκαιδεκάτης, ἑβδόμη δὲ ἀπὸ τῆς ἑνδεκάτης.

25 Οἱ θερινοὶ τεταρταῖοι τὰ πολλὰ γίνονται βραχέες. Οἱ δὲ φθινοπωρινοὶ μακροί. καὶ μάλιστα οἱ πρὸς τὸν χειμῶνα συνάπτοντες.

Πυρετὸν

tur, morbum facit, argumento eſt & ipſa ſanatio.

Eorum quæ affatim & celeriter nutriunt, celeres etiam exiſtunt excretiones. 18

Acutorum morborum non omninò & ſine dubio interitus aut ſalutis ſunt prædictiones. 19

Quibus iuuenibus profuſior eſt aluus, ſis ſeneſcentibus contrahitur. Et quibus in adoleſcentia fuit aſtricta, affecta ætate ſoluitur. 20

Famem caninam thorexis eximit. 21

Quemadmodum enim qui à ſatietate eueniunt morbi, vacuatione curantur, ita qui à vacuatione proficiſcuntur, ſatietate: Ac pari ratione aliorum adhibita mediocri contrarietate. 22

Acuti morbi intra dies quatuordecim iudicantur. 23

Septenorum quarta eſt index: octaua ſecundæ ſeptimanæ initium. Obſeruabilis & ipſa vndecima: Alterius enim (ſecundæ ſeptimanæ) quarta exiſtit. Iterúmque dies decimuſſeptimus obſeruabilis: is enim à quartodecimo quartus eſt: & ab vndecimo ſeptimus. 24

Aeſtiuæ quartanæ maximam partem ſunt breues, autumnales verò ſunt longæ, maximéque quæ proximè abſunt ab hyeme. 25

Digitized by Google

26 Πυρετὸν ἐπὶ σπασμῷ βέλτιον γενέσθαι, ἢ σπασμὸν ἐπὶ πυρετῷ.

27 Τοῖσι μὴ κατὰ λόγον κουφίζουσιν, οὐ δεῖ πιστεύειν, οὐδὲ φοβεῖσθαι λίην τὰ μοχθηρὰ γινόμενα παραλόγως. Τὰ γὰρ πολλὰ τῶν τοιούτων ἐστὶν ἀβέβαια, καὶ πάνυ τοι διαμένειν οὐδὲ χρονίζειν εἴωθεν.

28 Τῶν πυρεσσόντων μὴ παντάπασιν ἐπιπολαίως, τὸ διαμένειν καὶ μηδὲν ἐνδιδόναι τὸ σῶμα, ἢ καὶ συντήκεσθαι μᾶλλον τοῦ κατὰ λόγον, μοχθηρόν· τὸ μὲν γὰρ μῆκος νούσου σημαίνει, τὸ δὲ ἀσθένειαν.

29 Ἀρχομένων τῶν νούσων ἤν τι δοκέῃ κινέειν, κίνει· ἀκμαζουσῶν δὲ ἡσυχίην ἔχειν βέλτιόν ἐστιν.

30 Περὶ τὰς ἀρχὰς καὶ τὰ τέλη πάντα ἀσθενέστερα. περὶ δὲ τὰς ἀκμὰς, ἰσχυρότερα.

31 Τῷ ἐξ ἀῤῥωστίης εὐσιτέοντι, μηδὲν ἐπιδιδόναι τὸ σῶμα, μοχθηρόν.

32 Ὡς τὰ πολλὰ πάντες οἱ φαύλως ἔχοντες, καὶ κατ' ἀρχὰς μὲν εὐσιτέοντες καὶ μηδὲν ἐπιδιδόντες, πρὸς τῷ τέλει πάλιν ἀσιτέουσιν. Οἱ δὲ κατ' ἀρχὰς μὲν ἀσιτέοντες ἰσχυρῶς, ὕστερον δὲ εὐσιτέοντες, βέλτιον ἀπαλλάσσουσιν.

33 Ἐν πάσῃ νούσῳ τὸ ἐῤῥῶσθαι τὴν διάνοιαν,

καὶ

Digitized by Google

Etenim febrem conuulſioni ſuperueni- 26
re ſatius eſt, quàm conuulſionem febri.

His quæ ſine certa ratione deprehen- 27
ſaque cauſa leuant, acquieſcendum non eſt: neque vereri admodum de iis, quæ abs re & ſine cauſa praua apparent. Horum enim plura ſunt inſtabilia, nec admodum in ſuo ſtatu manere, nec diutius cunctari poſſunt.

Si febricitanti nec omninò leuiter, ſuo 28
ſtatu maneat corpus, nihilque concedat morbo, aut hoc etiam plus æquo gracileſcat, calamitoſum: hoc enim diuturnitatem morbi, hoc verò infirmitatem ſignificat.

Ineuntibus morbis ſi quid mouendum 29
videatur, moue: nam iis vigentibus quieſcere ſatius eſt.

Nam principio & fine morborum im- 30
becilla ſunt omnia: in vigore verò vehementiſſima.

Cui à morbo cibum optimè capienti 31
non confirmatur corpus, malum.

Ferè fit, vt qui malè affecti, ſi ineunte 32
cibi vſu auidè cibos capiunt, ac nihil edendo proficiunt, ad extremum inappetentes fiant. Contrà, qui ineunte cibi vſu, nihil omninò appetunt, paulo pòſt edendi appetentes, meliore ſunt loco.

In quouis morbo animo bene valere, 33

Digitized by Google

καὶ δὲ ἔχειν πρὸς τὰς προσφορὰς, ἀγαθόν· τὸ δὲ ἐναντίον, κακόν.

34 Ἐν τῇσι νούσοισιν ἧσσον κινδυνεύουσιν, οἷσιν ἂν οἰκείη τῆς φύσιος καὶ τῆς ἡλικίης, καὶ τῆς ἕξιος, καὶ τῆς ὥρης, ἡ νοῦσος ᾖ μᾶλλον, ἢ οἷσιν ἂν μὴ οἰκείη κατά τι τουτέων.

35 Ἐν πάσῃσι τῇσι νούσοισι τὰ περὶ τὸν ὀμφαλὸν καὶ τὸ ἦτρον πάχος ἔχειν βέλτιόν ἐστι. τὸ δὲ σφόδρα λεπτὸν καὶ ἐκτετηκὸς, μοχθηρόν. Ἐπισφαλὲς δὲ τὸ τοιοῦτον καὶ πρὸς τὰς κάτω καθάρσιας.

36 Οἱ ὑγιεινῶς ἔχοντες τὰ σώματα ἐν τῇσι φαρμακείῃσι καθαιρόμενοι, ἐκλύονται ταχέως, καὶ οἱ πονηρῇ τροφῇ χρεόμενοι.

37 Οἱ εὖ τὰ σώματα ἔχοντες, φαρμακεύεσθαι ἐργώδεες.

38 Τὸ σμικρῷ χεῖρον καὶ πόμα καὶ σιτίον, ἥδιον δὲ, τῶν βελτιόνων μὲν, ἀηδεστέρων δὲ, μᾶλλον αἱρετέον.

39 Οἱ πρεσβῦται τῶν νέων τὰ μὲν πολλὰ νοσέουσιν ἧσσον. ὅσα δ' ἂν αὐτέοισι χρόνια νοσήματα γένηται, τὰ πολλὰ ξυναποθνήσκει.

40 Βράγχοι καὶ κόρυζαι τοῖσι σφόδρα πρεσβύτῃσιν οὐ πεπαίνονται.

41 Οἱ ἐκλυόμενοι πολλάκις καὶ ἰσχυρῶς ἄνευ φανερῆς προφάσιος, ἐξαπίνης τελευτῶσι.

Λύειν

ac rebus conuenienter datis gaudere bonum. Contrarium verò malum.

In morbis minus periclitantur quorum naturæ & ætati, & habitui & tempori congener eſt magis morbus, quàm quibus nulla ex parte eſt conſentaneus. 34

In omnibus morbis ſi craſſum abdomen fuerit, melius eſt. Contrà, quando valdè eſt tenuè valdéque conſumptum, calamitoſum. Eſt enim, ita affectum eſſe, periculoſum ad infernas purgationes. 35

Qui ſunt ſano corpore dum pharmaciâ purgantur, celeriter exoluuntur, atque hi qui prauo vtuntur nutricatu. 36

Qui ſecura ſanitate fruuntur, hos purgare graue eſt. 37

Cibus & potus paulo deterior, ſuauior tamen, melioribus quidem ſed inſuauioribus eſt anteponendus. 38

Seniores, affecta ætate, minùs iuuenibus maximam partem ægrotant. Sed quicumque diuturni ipſis eueniunt morbi, ferè commoriuntur.

Raucitates & grauedines ſenio confectis non mitificantur. 40

Qui frequenter & vehementer & abs re deficiunt, repentè moriuntur. 41

Apople-

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

Digitized by Google

42 Λύειν ἀποπληξίην ἰσχυρὴν μὲν ἀδύνατον, ἀσθενέα δὲ οὐ ῥηΐδιον.

43 Τῶν ἀπαγχομένων καὶ καταλυομένων, μηδέπω δὲ τεθνηκότων, οὐκ ἀναφέρουσιν, οἷσιν ἂν ἀφρὸς ᾖ περὶ τὸ στόμα.

44 Οἱ παχέες σφόδρα κατὰ φύσιν, ταχυθάνατοι γίγνονται μᾶλλον τῶν ἰσχνῶν.

45 Τῶν ἐπιληπτικῶν τοῖσι νέοισιν ἀπαλλαγὴν αἱ μεταβολαὶ μάλιστα τῆς ἡλικίης, καὶ τῶν τόπων, καὶ τῶν βίων ποιέουσι.

46 Δύο πόνων ἅμα γινομένων μὴ κατὰ τὸν αὐτὸν τόπον, ὁ σφοδρότερος ἀμαυροῖ τὸν ἕτερον.

47 Περὶ τὰς γενέσιας τοῦ πύου οἱ πόνοι καὶ οἱ πυρετοὶ συμβαίνουσι μᾶλλον, ἢ γενομένου.

48 Ἐν πάσῃ κινήσει τοῦ σώματος, ὁκόταν ἄρχηται πονέειν, τὸ διαναπαύειν εὐθὺς ἄκοπον.

49 Οἱ εἰθισμένοι τοὺς συνήθεας πόνους φέρειν, κἂν ὦσιν ἀσθενέες ἢ γέροντες, τῶν ἀσυνήθων, ἰσχυρῶν τε καὶ νέων, ῥᾷον φέρουσι.

50 Τὰ ἐκ πολλοῦ χρόνου συνήθεα, κἂν ᾖ χείρω, τῶν ἀσυνήθων ἧσσον ἐνοχλεῖν εἴωθε. Δεῖ οὖν καὶ ἐς τὰ συνήθεα μεταβάλλειν.

51 Τὸ κατὰ πολὺ καὶ ἐξαπίνης κενοῦν, ἢ πληροῦν, ἢ θερμαίνειν, ἢ ψύχειν, ἢ ἄλλως ὁκωσοῦν τὸ σῶμα κινεῖν, σφαλερόν. Καὶ γὰρ πᾶν τὸ πολὺ τῇ φύσει πολέμιον. Τὸ

δὲ κατ

Apoplexiam fortem diſcutere non potis eſt: debilem verò non facilè. 42

Qui ſtrangulantur aut reſoluuntur, 43
necdum tamen animam efflârunt, non reſtituuntur quibus os oblitum ſpumâ eſt.

Qui naturâ valdè ſunt craſſi, celeriùs 44
moriuntur quàm graciles.

Finem epilepſiæ iuuenibus adferunt 45
ætatis, loci, & victus mutatio.

Duobus doloribus nec eadem parte 46
obortis ſimul, vehementior minorem obſcurat.

Dum pus conficitur, dolores atque febres incidunt magis, quàm iam confecto. 47

In omni corporis motu, cùm fatigari 48
cœperit immoderato motu, interquieſcere, ſeipſum laſſitudinis reddit expers.

Qui aſſuetis indulgêt laboribus, quam- 49
uis infirmi fuerint aut ſenes, tamen inſuetis validis atque iuuenibus faciliùs ferunt.

Quinetiam quarum rerum inueterauit 50
conſuetudo, quamuis deteriores ſint illæ, minùs tamen inſuetis malè afficiunt. Eſt ergo aſſuetorum vſus ſuſcipiendus.

Plurimum & repentè vacuare, aut re- 51
plere, aut calfacere, vel refrigerare, vel quouis alio modo corpus temerè mouere, periculoſum. Omne enim nimium, naturæ bellum indicit. Quod autem fit

ἢ κατ' ὀλίγον ἀσφαλὲς, καὶ ἄλλως ἤν τις ἐξ ἑτέρου ἐφ' ἕτερον μεταβαίνῃ.

52 Πάντα κατὰ λόγον ποιέοντι, καὶ μὴ γινομένων τῶν κατὰ λόγον, μὴ μεταβαίνειν ἐφ' ἕτερον, μένοντος τοῦ δόξαντος ἐξ ἀρχῆς.

53 Ὁκόσοι τὰς κοιλίας ὑγρὰς ἔχουσι νέοι μὲν ἐόντες, βέλτιον ἀπαλλάσσουσι τῶν τὰς ξηρὰς ἐχόντων. ἐς δὲ τὸ γῆρας, χεῖρον ἀπαλλάσσουσι· ξηραίνονται γὰρ ὡς ἐπὶ τὸ πολὺ τοῖσιν ἀπογηράσκουσι.

54 Μέγεθος δὲ σώματος ἐνεάσαι μὲν ἐλευθέριον καὶ οὐκ ἀηδές· ἐγγηράσαι δὲ δύσχρηστον, καὶ χεῖρον τῶν ἐλασσόνων.

ἹΠΠΟΚΡΆΤΟΥΣ

ΚΏΟΥ

ἈΦΟΡΙΣΜΩ͂Ν

ΤΡΊΤΟΝ.

Αἱ μεταβολαὶ τῶν ὡρέων μάλιστα τίκτουσι νοσήματα, καὶ ἐν τῇσιν ὥρῃσιν αἱ μεγάλαι μεταλλαγαὶ ἢ ψύξιος ἢ θάλψιος, καὶ τ' ἄλλα κατὰ λόγον οὕτως.

2 Τῶν φύσιων αἱ μὲν πρὸς θέρος, αἱ δὲ πρὸς χειμῶνα εὖ ἢ κακῶς πεφύκασι.

Τῶν

ſenſim ac viciſſim, periculi expers eſt, ídque cùm aliâs, tum ſi quis ab vno ad aliud ſe conuertat.

Si quis omnia conuenienter exactóque iudicio faciat, nec quicquam ea ratione efficiat, tamen ad aliud non ſe conuertat, modò id maneat, quod ineuntibus remediis viſum eſt. 52

Quibus iuuenibus fluit aluus, meliore ſunt loco iis, quibus aſtricta eſt: at ſenes facti, peiore ſunt loco: nam ſeneſcentibus ferè ſemper aſtringitur aluus 53

Longâ ſtaturâ iuuentutem exigere liberale eſt nec indecorum: ſeneſcere, ferè inutile, ac deterius breuiore ſtaturâ. 54

HIPPOCRATIS COI APHORISMORVM

LIBER III.

Mutationes defectionésq. temporum maximè pariunt morbos, & quæ in ſingula anni tempora incidunt, inſignes mutationes frigoris aut æſtus, cunctáque alia ſic pro ſua natura. 1

Naturarum aliæ quidem ad æſtatem, aliæ ad hyemem benè vel malè ſunt conſtitutæ. 2

3 Τῶν νούσων ἄλλαι πρὸς ἄλλας εὖ ἢ κακῶς πεφύκασι, καὶ ἡλικίαι τινὲς πρὸς ὥρας, καὶ χώρας, καὶ διαίτας.

4 Ἐν τῇσιν ὥρῃσιν ὅταν τῆς αὐτῆς ἡμέρας ὁτὲ μὲν θάλπος, ὁτὲ δὲ ψῦχος γίγνηται, φθινοπωρινὰ τὰ νοσήματα προσδέχεσθαι χρή.

5 Νότοι βαρυήκοοι, ἀχλυώδεες, καρηβαρικοὶ, νωθροὶ, διαλυτικοί. ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀῤῥωστίῃσι πάσχουσιν. Ἢν δὲ βόρειον ᾖ, βῆχες, φάρυγγες, κοιλίαι σκληραὶ, δυσουρίαι φρικώδεες, ὀδύναι πλευρέων, στηθέων. ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀῤῥωστίῃσι προσδέχεσθαι χρή.

6 Ὅταν θέρος γίνηται ἦρι ὅμοιον, ἱδρῶτας ἐν τοῖσι πυρετοῖσι πολλοὺς προσδέχεσθαι χρή.

7 Ἐν τοῖσιν αὐχμοῖσι πυρετοὶ ὀξέες γίγνονται. Καὶ ἢν μὲν ἐπὶ πλεῖον ᾖ τὸ ἔτος τοιοῦτον ἐὸν, οἵην τὴν κατάστασιν ἐποίησεν, ὡς ἐπὶ τὸ πολὺ καὶ τὰ νοσήματα τοιαῦτα δεῖ προσδέχεσθαι.

8 Ἐν τοῖσι καθεστῶσι καιροῖσιν ἢν ὡραίως τὰ ὡραῖα ἀποδιδῶσιν, εὐσταθέες καὶ

εὐκρι-

Quin etiam morborum alij & ætates alię facilè aut ægrè ſunt comparata ad alia tempora, & regiones, & diætas. 3

In ſingulis anni partibus cùm eodem die modò caloris, modò frigoris dominatu cælum tenetur; Autumnales morbos expectare oportet. 4

Auſtri auditum hebetant, illíque graues ſunt, caliginoſi & tenebroſi, nec non & capitis grauitatem, ſegniciem ſeu lentitudinem, & corporis laxitatem adferunt. Quotieſcumque itaque Auſter diu multúmque dominatum tenuerit, huiuſmodi ferè ſymptomatibus per morbos afficiuntur homines. Si autem Aquilo terras perflat, tuſſes mouet, eueniunt faucium morbi, alui duræ, vrinæ difficultates cum horrore coniunctæ, dolores laterum atque pectoris. Quotieſcumque ergo is diu multúmque dominatum tenuerit, talia ferè in morbis expectare oportet. 5

Quotieſcumque fit æſtas veri ſimilis, ſudores multos in febribus expectare oportet. 6

Per ſqualores febres acutæ incidunt. Et ſi maxima pars anni talis fuerit, qualem cœpit inire hiſtoriam, magnam quoque partem huiuſmodi morbos expectare oportet. 7

Conſtantibus anni partibus, ſi tempeſtates conuenienter ſuccedant; bene morati, facilis ac ſecundi iudicij incidunt 8

 morbi.

εὐκρινέες αἱ νοῦσοι γίνονται. Ἐν δὲ τοῖσιν ἀκαταστάτοισιν, ἀκατάστατοι καὶ δύσκριτοι.

9 Ἐν φθινοπώρῳ ὀξύταται αἱ νοῦσοι, καὶ θανατωδέσταται τὸ ἐπίπαν. Ἦρ δὲ ὑγιεινότατον, καὶ ἥκιστα θανατῶδες.

10 Τὸ φθινόπωρον τοῖς φθίνουσι κακόν.

11 Περὶ δὲ τῶν ὡρέων, ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἐπόμβριον καὶ νότιον, ἀνάγκη τοῦ θέρεος πυρετοὺς ὀξέας καὶ ὀφθαλμίας, καὶ δυσεντερίας γίνεσθαι, μάλιστα δὲ τῇσι γυναιξὶ, καὶ ἀνδράσι τοῖσιν ὑγροῖσι τὰς φύσιας.

12 Ἢν δὲ νότιος ὁ χειμὼν καὶ ἐπόμβριος καὶ εὔδιος γένηται, τὸ δὲ ἔαρ αὐχμηρὸν καὶ βόρειον, αἱ μὲν γυναῖκες ἧσιν οἱ τόκοι πρὸς τὸ ἦρ, ἐκ πάσης προφάσιος ἐκτιτρώσκουσιν· αἱ δ' ἂν τέκωσιν, ἀκρατέα καὶ νοσώδεα τὰ παιδία τίκτουσιν, ὥστε ἢ παραυτίκα ἀπόλλυσθαι, ἢ λεπτὰ καὶ νοσώδεα ζῆν ἐόντα. Τοῖσι δὲ ἄλλοισι δυσεντερίαι, καὶ ὀφθαλμίαι ξηραὶ γίνονται. τοῖσι δὲ πρεσβυτέροισι κατάῤῥοι συντόμως ἀπολλύντες.

13 Ἢν δὲ τὸ θέρος αὐχμηρὸν καὶ βόρειον γένηται, τὸ δὲ φθινόπωρον ἐπόμβριον καὶ νότιον, κεφαλαλγίαι ἰσχυραὶ ἐς τὸν χειμῶνα γίνονται, καὶ βῆχες, καὶ βράγχοι, καὶ κόρυζαι, ἐνίοισι δὲ καὶ φθίσιες.

Ἢν

Digitized by Google

morbi. At incertis malè moratis malé-
queconſtitutis temporibus,aduerſi diffi-
cilíſque iudicij incidunt morbi.

Autumno morbi accidunt acutiſſimi,& 9
funeſtiſſimi ferè. Ver contrà ſaluberri-
mum eſt,miniméque funeſtum.

Sed & tabidis Autumnus exitio eſſe 10
ſolet.

Iam verò quod ad temporum impor- 11
tunitates & defectiones attinet, huiuſ-
modi ferè ſunt: ſiquidem hyems ſicca &
aquilonia fuerit, Ver autem pluuioſum
& auſtrinum, neceſſe eſt æſtate fieri fe-
bres acutas, & ophthalmias, & dyſente-
rias, maximéque mulieribus, & viris na-
tura humidioribus.

Sin autem auſtrina, pluuia, & tepida 12
fuerit hyems, Ver autem ſiccum & aqui-
lonium, mulieres ingrauidatæ,quæ Vere
pariturae ſunt, quauis de cauſa externâ
abortiunt: quòd ſi quæ pepererint,hæ in-
firmos & valetudinarios edunt fœtus;
adeò vt paulo pòſt moriantur, vel debi-
les & valetudinarij viuant. Aliis autem
quibuſdam hominum naturis dyſente-
riæ,ophthalmiæ ſiccæ naſcuntur: & ſeni-
bus catarrhi breui funeſti.

Sin autem ſicca & aquilonia æſtas fue- 13
rit, autumnus contrà pluuioſus atque
auſtralis, cephalalgiæ fortes in hyemem
incidunt,& tuſſes,& raucedines, & gra-
uedines, atque nonnullis tabes.

24 Ἢν δὲ βόρειον ᾖ καὶ ἄνυδρον, τοῖσι μὲν ὑγροῖσιν ἐοῦσι τὰς φύσιας καὶ τῇσι γυναιξὶ ξύμφορον. Τοῖσι δὲ λοιποῖσιν ὀφθαλμίαι ἔσονται ξηραὶ, καὶ πυρετοὶ ὀξέες καὶ χρόνιοι, ἐνίοισι δὲ καὶ μελαγχολίαι.

25 Τῶν δὲ καταστασίων τοῦ ἐνιαυτοῦ τὸ μὲν ὅλον οἱ αὐχμοὶ τῶν ἐπομβριῶν εἰσιν ὑγιεινότεροι. καὶ ἧσσον θανατώδεες.

26 Νοσήματα δὲ, ἐν μὲν τῇσιν ἐπομβρίῃσιν ὡς τὰ πολλὰ, γίνεται πυρετοί τε μακροὶ, καὶ κοιλίας ῥύσιες, καὶ σηπεδόνες, καὶ ἐπίληπτοι, καὶ ἀπόπληκτοι, καὶ κυνάγχαι. ἐν δὲ τοῖσιν αὐχμοῖσι, φθινώδεες, ὀφθαλμίαι, ἀρθρίτιδες, στραγγουρίαι, καὶ δυσεντερίαι.

27 Αἱ δὲ καθ' ἡμέρην καταστάσιες, αἱ μὲν βόρειοι τά τε σώματα συνιστῶσι, καὶ εὔτονα, καὶ εὐκίνητα, καὶ εὔχροα, καὶ εὐηκοώτερα ποιέουσι, καὶ τὰς κοιλίας ξηραίνουσι, καὶ τὰ ὄμματα δάκνουσι, καὶ περὶ τὸν θώρηκα ἄλγημα ἤν τι προϋπάρχῃ μᾶλλον πονέουσιν. Αἱ δὲ νότιοι διαλύουσι τὰ σώματα καὶ ὑγραίνουσι, καὶ βαρυηκοΐας, καὶ καρηβαρίας ποιέουσιν, καὶ ἰλίγγους, ἐν τοῖσιν ὀφθαλμοῖσι καὶ τοῖσι σώμασι δυσκινησίην, καὶ τὰς κοιλίας ὑγραίνουσι.

28 Κατὰ δὲ τὰς ὥρας, τοῦ μὲν ἦρος καὶ ἄκρου τοῦ θέρεος, οἱ παῖδες, καὶ οἱ τού-

των

Sin autem fuerit aquilonius & plu- 14
uiarum expers Autumnus, his quidem qui naturâ ſunt humidiores, & mulieribus opportunus. Cæteris ophthalmiæ accidunt ſiccæ, & febres acutæ, & diuturnæ, nonnullis etiam melancholiæ.

Inter anni ſtatus omninò ſiccitates 15
imbribus aſſiduis ſunt ſalubriores, minúsque funeſtæ.

Namque aſſiduis imbribus qui morbi 16
incidunt, huiuſmodi ferè ſunt; febres diuturnæ, alui profluuia, & putredines, & epilepſiæ, & apoplexiæ, & anginæ: Per ſqualores verò tabes, ophthalmiæ, articulorum dolores, vrinæ ſtillicidia, & dyſenteriæ.

Iam verò quod ad tempeſtates cotti- 17
dianas attinet, Aquiloniæ quidem ſolida reddunt corpora, tum etiam firma, & ad motum expedita, & bene colorata; auditum acuunt: ſed tamen aluos deſiccant, quin & oculos mordent, & ſi quis antè dolor in thorace extiterit, eum acerbiorem reddunt. At verò Auſtrinæ corpora planè reſoluunt, & humidiora reddunt, tum etiam auditus graues, & capitis grauitates, & vertigines inducunt tenebricoſas, tum ipſis oculis totique corpori in mouendo difficultatem adferunt, aluúmque humidam reddunt.

Iam verò per tempora anni, Vere qui- 18
dem & ineunte æſtate, pueri & his ætate

Digitized by Google

τέων ἐχόμενοι τῇσιν ἡλικίῃσιν ἄριστά τε διάγουσι καὶ ὑγιαίνουσι μάλιστα. Τοῦ δὲ θέρεος καὶ τοῦ φθινοπώρου μέχρι μὲν τινὸς, οἱ γέροντες. τὸ δὲ λοιπὸν τοῦ φθινοπώρου καὶ τοῦ χειμῶνος, οἱ μέσοι τῇσιν ἡλικίῃσι.

19 Νοσήματα δὲ πάντα μὲν ἐν πάσῃσι τῇσιν ὥρῃσι γίνεται· μᾶλλον δὲ ἔνια κατ' ἐνίας αὐτέων καὶ γίνεται καὶ παροξύνεται.

20 Τοῦ μὲν γὰρ ἦρος τὰ μανικὰ καὶ τὰ μελαγχολικὰ, καὶ τὰ ἐπιληπτικὰ, καὶ αἵματος ῥύσιες, καὶ κυνάγχαι, καὶ κόρυζαι, καὶ βράγχοι, καὶ βῆχες, καὶ λέπραι, καὶ λειχῆνες, καὶ ἀλφοὶ, καὶ ἐξανθήσιες ἑλκώδεες πλεῖσται, καὶ φύματα, καὶ ἀρθριτικά.

21 Τοῦ δὲ θέρεος ἔνιά τε τουτέων, καὶ πυρετοὶ ξυνεχέες, καὶ καῦσοι καὶ τριταῖοι πλεῖστοι, καὶ τεταρταῖοι, καὶ ἔμετοι, καὶ διάρροιαι, καὶ ὀφθαλμίαι, καὶ ὤτων πόνοι, καὶ στομάτων ἑλκώσιες, καὶ σηπεδόνες αἰδοίων, καὶ ἵδρωα.

22 Τοῦ δὲ φθινοπώρου καὶ τῶν θερινῶν τὰ πολλὰ, καὶ πυρετοὶ τεταρταῖοι καὶ πλάνητες, καὶ σπλῆνες, καὶ ὕδρωπες, καὶ φθίσιες, καὶ στραγγουρίαι, καὶ λειεντερίαι, καὶ δυσεντερίαι, καὶ ἰσχιάδες, καὶ κυνάγχαι, καὶ ἄσθματα, καὶ εἰλεοὶ, καὶ ἐπιληψίαι, καὶ τὰ μανικὰ καὶ τὰ μελαγχολικά.

Τοῦ δὲ

proximi optimo ſanè ſunt loco, valéntque optimè. Aeſtate verò & autumno aliquantiſper ſenes: quod reliquum eſt autumni & hyemis, qui ſunt ætate medij.

Enimuero morborum genus omne omnibus anni temporibus exiſtit: Sed tamen eorum alij certis anni temporibus faciliùs exiſtunt & ingraueſcunt. 19

Etenim Vere inſaniæ, melancholiæ, & epilepſiæ ſumma ſunt omnia, ſanguinis profluuia, anginæ, grauedines, raucitates, & tuſſes, & lepræ, impetigines, alphi, plurimæque puſtulæ vlceroſæ purulentæque, & tubercula, & articulorum dolores. 20

At verò æſtate horum nonnulli accidunt, & febres continuæ, & cauſi, & tertianæ plurimæ, & quartanæ, & vomitiones, & diarrhœæ, & ophthalmiæ, & aurium dolores, & oris exulcerationes, & genitalium putredines, & puſtulæ quædam miliariæ. 21

Autumno verò cùm multi æſtiui morbi in hominum vitam inuadunt, tum etiam febres quartanæ, & erraticæ, & lienum tumores, & hydropes, & tabes, & ſtranguriæ, & lienteriæ, & dyſenteriæ, & morbi coxarij, & ſynanche, & aſthmata, & voluuli, & epilepſiæ, maniæ, & melancholiæ. 22

At

23 Τοῦ δὲ χειμῶνος, πλευρίτιδες, περιπνευμονίαι, λήθαργοι, κόρυζαι, βράγχοι, βῆχες, πόνοι στηθέων, καὶ πλευρέων, ὀσφύος, κεφαλαλγίαι, ἴλιγγοι, ἀποπληξίαι.

24 Ἐν δὲ τῇσιν ἡλικίῃσι τοιάδε συμβαίνει, τοῖσι μὲν σμικροῖσι καὶ νεογνοῖσι παιδίοισιν ἄφθαι, ἔμετοι, βῆχες, ἀγρυπνίαι, φόβοι, ὀμφαλοῦ φλεγμοναὶ, ὤτων ὑγρότητες.

25 Πρὸς δὲ τὸ ὀδοντοφυεῖν προσάγουσιν, οὔλων ὀδαξισμοὶ, πυρετοὶ, σπασμοὶ, διάῤῥοιαι, καὶ μάλιστα ὅταν ἀνάγωσι τοὺς κυνόδοντας, καὶ τοῖσι παχυτάτοισι τῶν παίδων, καὶ τοῖσι σκληρὰς τὰς κοιλίας ἔχουσι.

26 Πρεσβυτέροισι δὲ γινομένοισι παρίσθμια, σπονδύλου τοῦ κατὰ τὸ ἰνίον εἴσω ὤσιες, ἄσθματα, λιθιάσιες, ἕλμινθες στρογγύλαι, ἀσκαρίδες, ἀκροχορδόνες, σατυριασμοὶ, στραγγουρίαι, χοιράδες, καὶ τ' ἄλλα φύματα. μάλιστα δὲ τὰ προειρημένα.

27 Τοῖσι δὲ ἔτι πρεσβυτέροισι, καὶ πρὸς τὴν ἥβην προσάγουσι, τουτέων τε τὰ πολλὰ καὶ πυρετοὶ χρόνιοι μᾶλλον, καὶ ἐκ ῥινῶν αἵματος ῥύσιες.

28 Τὰ δὲ πλεῖστα τοῖσι παιδίοισι πάθεα κρίνεται, τὰ μὲν ἐν τεσσαράκοντα ἡμέρῃσι, τὰ δὲ ἐν ἑπτὰ μησὶ, τὰ δὲ ἐν ἑπτὰ ἔτεσι, τὰ δὲ πρὸς τὴν ἥβην προσάγουσιν. Ὅσα δ' ἂν διαμείνῃ τοῖσι παιδίοισι πάθεα, καὶ μὴ ἀπολυ-

Digitized by Google

At verò hyeme pleuritides, peripneumoniæ, lethargi, grauedines, & raucitates, tuſſes, & dolores pectoris, laterum, ac lumborum, capitis dolores, tenebricoſæ vertigines, & apoplexiæ. 23

Iam verò qui in ætates cadunt morbi, huiuſmodi ferè ſunt, nam puerulis & nuper in lucem editis aphthæ, vomitiones, tuſſes, vigiliæ, pauores, vmbilici inflammationes, aurium ſordes humidæ. 24

Iam vero cùm dentire cœperint, gingiuarum moleſti pruritus, febres, conuulſiones, diarrhœæ, maximéque cùm edunt caninos dentes, & qui inter pueros craſſiſſimi ſunt, aluóque aſtricta. 25

At verò cùm ætate proceſſerunt, tonſillæ, nec non vertebræ quæ eſt ad occiput intrò laxationes, aſthmata, veſicæ calculi, lumbrici rotundi, aſcarides, verrucæ penſiles, ſatyriaſmi, ſtranguriæ, ſtrumæ, & alia tubercula; præcipuè verò prædicta. 26

Adultioribus autem & puberibus commemoratorum multa accidunt, & febres etiam diuturniores, tum etiam ſanguinis profluuia è naribus. 27

At verò puerilium affectionum diuturnarum finiuntur aliæ quidem quadraginta diebus, aliæ ſeptem menſibus, aliæ ſeptem annis, nonnullæ cùm ad pubertatem ventum eſt. Sed quicumque puerilos morbi perdurant, nec deſinunt cùm ex 28

ephe-

ἀπολυθῇ περὶ τὸ ἡβάσκειν, ἢ τῇσι θηλείῃσι περὶ τὰς τῶν καταμηνίων ῥήξιας, χρονίζειν εἴωθεν.

29 Τοῖσι δὲ νεηνίσκοισιν, αἵματος πτύσιες, φθίσιες, πυρετοὶ ὀξέες, ἐπιληψίαι, καὶ τ' ἄλλα νοσήματα, μάλιστα δὲ τὰ προειρημένα.

30 Τοῖσι δὲ ὑπὲρ τὴν ἡλικίην ταύτην ἄσθματα, πλευρίτιδες, περιπνευμονίαι, λήθαργοι, φρενίτιδες, καῦσοι, διάῤῥοιαι χρόνιαι, χολέραι, δυσεντερίαι, λειεντερίαι, αἱμοῤῥοΐδες.

31 Τοῖσι δὲ πρεσβύτῃσι δύσπνοιαι καὶ κατάῤῥοι βηχώδεες, στραγγουρίαι, δυσουρίαι, ἄρθρων πόνοι, νεφρίτιδες, ἴλιγγοι, ἀποπληξίαι, καχεξίαι, ξυσμοὶ τοῦ σώματος ὅλου, ἀγρυπνίαι, κοιλίης καὶ ὀφθαλμῶν, καὶ ῥινῶν ὑγρότητες, ἀμβλυωπίαι, γλαυκώσιες, βαρυηκοΐαι.

ΙΠΠΟ-

ephebis exceſſerunt, aut fœminæ cùm menſtruales eſſe ceperint, inueteraſcere conſueuerunt.

At verò iuuenibus expectorata ſanguinea, tabes, febres acutæ, epilepſiæ, aliique morbi; maximè verò iam commemorati. 29

Iam verò qui hos ætate ſuperant, aſthmata, pleuritides, peripneumoniæ, lethargi, phrenitides, febres ardentes, diuturna alui profluuia, choleræ, dyſenteriæ, lienteriæ, hæmorrhoïdes. 30

Senibus autem difficultates ſpirandi, catarrhi tuſſiculoſi, vrinarum ſtillicidia, difficultates mingendi, articulorum dolores, nephritides, tenebricoſæ vertigines, apoplexiæ, cachexia, totius corporis ſtimulantes pruritus, vigiliæ; alui, oculorum, & narium excrementa, viſus hebetudines, glaucedines, auditus graues. 31

ἹΠΠΟΚΡΆΤΟΥΣ

ΚΏΟΥ

ἈΦΟΡΙΣΜΩ͂Ν

ΤΈΤΑΡΤΟΝ.

1 Τὰς κυούσας φαρμακεύειν ἢν ὀργᾷ, τετράμηνα καὶ ἄχρις ἑπτὰ μηνῶν, ἧσσον δὲ ταύτας· τὰ δὲ νήπια καὶ πρεσβύτερα εὐλαβέεσθαι χρή.

2 Ἐν τῇσι φαρμακείῃσι τοιαῦτα ἄγειν ἐκ τοῦ σώματος, ὁκοῖα καὶ αὐτόματα ἰόντα χρήσιμα· τὰ δὲ ἐναντίως ἰόντα, παύειν.

3 Ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι· τὰ δὲ ἐναντία, δυσχερῶς.

4 Φαρμακεύειν θέρεος μὲν μᾶλλον τὰς ἄνω, χειμῶνος δὲ, τὰς κάτω.

5 Ὑπὸ κύνα καὶ πρὸ κυνὸς, ἐργώδεες αἱ φαρμακεῖαι.

6 Τοὺς ἰσχνοὺς καὶ εὐημέας ἄνω φαρμακεύειν, ὑποστελλομένους χειμῶνα.

7 Τοὺς δὲ δυσημέας καὶ μέσως εὐσάρκους κάτω, ὑποστελλομένους θέρος.

Τοὺς

HIPPOCRATIS COI APHORISMORVM

LIBER IV.

PRægnantes quidem purgandæ, ſi humor ſit efferus, & quadrimeſtris purgatio, dum ſeptimeſtris fuerit, quamuis hæ minùs: nam in minore & grandiore fœtu cautiùs relligioſiúſque agendum. 1

In artificioſa purgationis molitione, talia ſemper è corpore ſunt excludenda, qualia ſi vltrò manarent bono eſſent: nam quæ ſecus prodeunt, prohibere oportet. 2

Etenim ſi qualia purgari debent, purgentur, bono ſit, & alleuantur: contraria verò, moleſtè. 3

Aeſtate ſuperiores potiùs (alui partes) hieme inferiores medicandæ. 4

Exoriente cane & ante canis exortum, perdifficiles ſunt purgationes. 5

Graciles ex facili vomentes per ſuperiora ſunt euacuandi, cauendo hyemem. 6

Contrà, qui ægrè vomunt, & pauló habitiores, mediocriſque habitudinis, per inferiora ſunt purgandi, cauendo æſtatem. 7

8 Τοὺς δὲ φθινώδεας, ὑποστελλομένους τὰς ἄνω [φαρμακείας.]

9 Τοὺς δὲ μελαγχολικοὺς ἁδροτέρως τὰς κάτω, τῷ αὐτῷ λογισμῷ τ' ἐναντία προστιθέντας.

10 Φαρμακεύειν ἐν τοῖσι λίην ὀξέσιν, ἢν ὀργᾷ, αὐθήμερον, χρονίζειν γὰρ ἐν τοῖσι τοιούτοισι κακόν.

11 Ὁκόσοισι στρόφοι καὶ περὶ τὸν ὀμφαλὸν πόνοι, καὶ ὀσφύος ἄλγημα μὴ λυόμενον μήτε ὑπὸ φαρμακείης, μήτ' ἄλλως, εἰς ὕδρωπα ξηρὸν ἱδρύεται.

12 Ὁκόσοισι κοιλίαι λειεντεριώδεες, χειμῶνος φαρμακεύειν ἄνω, κακόν.

13 Πρὸς τοὺς ἐλλεβόρους τοῖσι μὴ ῥηϊδίως ἄνω καθαιρομένοισι, πρὸ τῆς πόσιος, προϋγραίνειν τὰ σώματα πλείονι τροφῇ, καὶ ἀναπαύσει.

14 Ἐπὴν πίῃ τις ἐλλέβορον, πρὸς μὲν τὰς κινήσιας τῶν σωμάτων μᾶλλον ἄγειν, πρὸς δὲ τοὺς ὕπνους καὶ μὴ κινήσιας, ἧσσον. δηλοῖ δὲ καὶ ἡ ναυτιλίη, ὅτι κίνησις τὰ σώματα ταράσσει.

15 Ἐπὴν βούλῃ μᾶλλον ἄγειν τὸν ἐλλέβορον, κίνει τὸ σῶμα· ἐπὴν δὲ παῦσαι, ὕπνον ποίει, καὶ μὴ κίνει.

16 Ἐλλέβορος ἐπικίνδυνος τοῖσι τὰς σάρκας ὑγιέας ἔχουσι, σπασμὸν γὰρ ἐμποιέει.

Ἀκύ-

Sed tabidorum ratio eſt habenda, ne 8
purgationem iis per ſuperiora vnquam
moliendam putes.

Etenim melancholicos liberaliùs ple- 9
niúsque per inferiora purgabis. eadem
ratione contraria adhibebis.

Purgandum eſt quidem in peracutis 10
morbis, ſi humor ſit efferus, eodem ipſo
die, cunctari etenim in huiuſmodi affecti-
bus calamitoſum.

Quibuſcumque tormina & circum vm- 11
bilicum cruciatus, lumborúmque dolor
adeſt, qui non diſcutitur nec purgatione,
nec aliter, in hydropem ſiccum firmatur.

Quibuſcumque ſunt lientericæ alui, 12
hos calamitoſum eſt hyeme per ſuperiora
purgare.

Iam verò cùm neceſſarius inciderit El- 13
lebori vſus, iis qui ægrè per ſuperiora
purgantur, ante ipſum pharmacum hu-
mectare oportet corpora pleniore nutri-
catu & requie.

Epoto elleboro motu ciendum corpus 14
potiùs, quàm ſomno & motus vacuitate
compeſcendum: nam corpora motu cie-
ri, vel ipſa indicat nauigatio.

Quotieſcumque maiorem ciendi va- 15
cuandique vim à veratro requiris, corpus
moue: ſin inhibendum ſit & ſiſtendum,
ſomnum inito, neque moueto.

Elleborus calamitoſus eſt iis qui ſunt 16
Integra valetudine, nam conuulſionem
adfert.

17 Ἀπυρέτῳ ἐόντι ἀποσιτίη, καὶ καρδιωγμὸς, καὶ σκοτόδινος, καὶ στόμα ἐκπικρούμενον, ἄνω φαρμακείης δεῖσθαι σημαίνει.

18 Τὰ ὑπὲρ τῶν φρενῶν ὀδυνήματα, ὁκόσα καθάρσιος δέονται, ἄνω φαρμακείης δεῖσθαι σημαίνει· ὁκόσα δὲ κάτω, κάτω.

19 Ὁκόσοι ἐν τῇσι φαρμακοποσίῃσι μὴ διψῶσι καθαιρόμενοι οὐ παύονται πρὶν ἢ διψήσωσιν.

20 Ἀπυρέτοισιν ἐοῦσιν ἢν γίνηται στρόφος, καὶ γονάτων βάρος, καὶ ὀσφύος ἄλγημα, κάτω φαρμακείης δεῖσθαι σημαίνει.

21 Ὑποχωρήματα μέλανα, ὁκοῖον αἷμα μέλαν, αὐτομάτως ἰόντα καὶ ξὺν πυρετῷ καὶ ἄνευ πυρετοῦ, κάκιστα. Καὶ ὁκόσῳ ἂν τὰ χρώματα ὑποχωρημάτων πλείω πονηρότερα ᾖ, μᾶλλον κάκιον. ξὺν φαρμάκῳ δὲ, ἄμεινον. καὶ ὁκόσῳ ἂν πλείω χρώματα, οὐ πονηρά.

22 Νοσημάτων ὁκόσων ἀρχομένων ἢν χολὴ μέλαινα ἢ ἄνω ἢ κάτω ὑπέλθῃ, θανάσιμον.

23 Ὁκόσοισιν ἐκ νοσημάτων ὀξέων, ἢ ἐκ πολυχρονίων, ἢ ἐκ τρωμάτων, ἢ ἄλλως πως λελεπτυσμένοισι χολὴ μέλαινα, ἢ ὁκοῖον αἷμα μέλαν ὑπέλθῃ, τῇ ὑστεραίῃ ἀποθνήσκουσι.

Δυσε-

Si cui febris experti eueniat cibi faſti- 17
dium, & ſtomachi morſus, & tenebricoſa
vertigo, & oris amaritudo, huic purga-
tione per ſuperiora eſt opus.

Dolores ſeu affectiones quæ partibus 18
ſupra diaphragma oboriuntur, quæcum-
que purgationis ſunt indigentes, ſuperio-
re pharmaciá opus eſſe ſignificant: quæ
verò infra, purgationem infernam requi-
runt.

Quicumque pharmaco epoto purgati 19
non ſitiunt, purgationis iuſtæ metam
non attingunt, antequam ſitiuerint.

Febris expertibus ſi tormina accidant, 20
& genuum grauitas, & lumborum dolor,
inferiore purgatione opus eſſe ſignificat.

Deiectiones nigræ, cuiuſmodi eſt ſan- 21
guis niger, quæ vltrò diffluunt, tum ſi
cum febre, tum ſi ſine febre, calamitoſæ.
Et quò plures deiectionum colores de-
teriores fuerint, eò calamitoſius: Sed ſi
vi epoti medicamenti, (tales deiectiones
nigræ ferantur) præclariùs ad ſalutem &
apparent & faciunt; & quò plures appa-
rent colores, eò minùs mali.

Ineuntibus morbis quibuſque, ſi bilis 22
atra ſurſum deorsúmve effluat, funeſtum.

Quibuſcumque morbo acuto, aut diu- 23
turno, aut vulnere, aut alio quouis modo
extenuatis bilis atra, aut tale quippiam
quod feculenti ſanguinis ſpeciem exhi-
bet, diffluat, poſtridie moriuntur.

24 Δυσεντερίη ἢν ἀπὸ χολῆς μελαίνης ἄρξηται, θανάσιμον.

25 Αἷμα ἄνω μὲν, ὁκοῖον ἂν ᾖ, κακόν· κάτω δὲ ἀγαθὸν, μέλαν ὑποχωρέειν.

26 Ἢν ὑπὸ δυσεντερίης ἐχομένῳ ὁκοῖαι αἱ σάρκες ὑποχωρήσωσι, θανάσιμον.

27 Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν αἱμοῤῥαγεῖ πλῆθος ὁκοθενοῦν, ἐν τῇσιν ἀναλήψεσι, τουτέοισιν αἱ κοιλίαι καθυγραίνονται.

28 Ὁκόσοισι χολώδεα τὰ διαχωρήματα, κωφώσιος γινομένης παύεται· καὶ ὁκόσοισι κώφωσις, χολωδέων γινομένων παύεται.

29 Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἑκταίοισιν ἐοῦσι ῥίγεα γίνεται, δύσκριτα.

30 Ὁκόσοισι παροξυσμοὶ γίνονται, ἣν ἂν ὥρην ἀφῇ ὁ πυρετὸς, ἐς τὴν αὔριον τὴν αὐτὴν ὥρην ἢν λάβῃ, δύσκριτα.

31 Τοῖσι κοπιώδεσιν ἐν τοῖσι πυρετοῖσιν, ἐς ἄρθρα καὶ παρὰ τὰς γνάθους μάλιστα αἱ ἀποστάσιες γίνονται.

32 Ὁκόσοισι δὲ ἀνισταμένοισιν ἐκ τῶν νούσων τί πονέσῃ, ἐνταῦθα αἱ ἀποστάσιες γίνονται.

33 Ἀτὰρ ἢν καὶ προπεπονηκός τι ᾖ πρὸ τοῦ νοσέειν, ἐνταῦθα στηρίζει ἡ νοῦσος.

34 Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ, οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι, πνὶξ ἐξαίφνης ἐπιγένηται, θανάσιμον.

Ἤν

Dyſenteria ſi ab atra bile initium du- 24
xerit, funeſta.

Si cui ſanguis per ſuperiora erumpat, 25
cuiuſmodi tandem is fuerit, calamitoſum: at per inferiora, nigra ſi recedant, bonum.

Si, quando dyſenteria detinet, excer- 26
nantur eiuſmodi veluti ſunt carunculæ, funeſtum.

Si cui febricitanti ſanguinis copia vn- 27
decumque profluat, huic, dum reficietur, aluus feretur.

Quibus bilioſis excrementis fertur al- 28
uus, oborta ſurditate ſiſtitur: & contrà, qui obſurdeſcunt, ſuperueniente alui bilioſo profluuio, liberantur.

Quibuſcumque ſextum diem febris 29
continuæ agentibus incidunt rigores, ſiniſtri iudicij ſunt.

Quibus accidunt paroxyſmi, ſi, qua ho- 30
ra deſijt febris, eadem poſtridie repetat, difficilis iudicij erit.

Laſſitudine fractis per febres in arti- 31
culis & ad maxillas potiſſimùm abſceſſus fiunt.

Et quibus à morbo reſtitutis quip- 32
piam eſt infirmum, ibi abſceſſus fiunt.

Quinetiam ſi quid antè laborauerit 33
priuſquam morbus inuaſerit, ibi ſe morbus obfirmat.

Si cui vehementer febricitanti, nullo 34
in faucibus conſpicuo tumore, repentè incidat ſtrangulatio, funeſtum.

Si cui

35 Ἢν ὑπὸ τοῦ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐξαίφνης ἐπιστραφῇ, καὶ μόγις καταπίνειν δύνηται, οἰδήματος μὴ ἰόντος, θανάσιμον.

36 Ἱδρῶτες πυρεταίνουσιν ἢν ἄρξωνται, ἀγαθοὶ τριταῖοι, καὶ πεμπταῖοι, καὶ ἑβδομαῖοι, καὶ ἐνναταῖοι, καὶ ἑνδεκαταῖοι, καὶ τεσσαρεσκαιδεκαταῖοι, καὶ ἑπτακαιδεκαταῖοι, καὶ μιῇ καὶ εἰκοστῇ, καὶ ἑβδόμῃ καὶ εἰκοστῇ, καὶ τριακοστῇ πρώτῃ, καὶ τριακοστῇ τετάρτῃ. Οὗτοι γὰρ οἱ ἱδρῶτες νούσους κρίνουσι· οἱ δὲ μὴ οὕτως γινόμενοι, πόνον σημαίνουσι, καὶ μῆκος νούσου, καὶ ὑποτροπιασμούς.

37 Οἱ ψυχροὶ ἱδρῶτες ξὺν μὲν ὀξεῖ πυρετῷ γιγνόμενοι, θάνατον· ξὺν πρηϋτέρῳ δὲ, μῆκος νούσου σημαίνουσι.

38 Καὶ ὅκου ἔνι τοῦ σώματος ἱδρὼς, ἐνταῦθα φράζει τὴν νοῦσον.

39 Καὶ ὅκου ἔνι τοῦ σώματος θερμὸν ἢ ψυχρὸν, ἐνταῦθα ἡ νοῦσος.

40 Καὶ ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ, καὶ ἢν τὸ σῶμα καταψύχηται ἢ αὖθις θερμαίνηται, ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου γίνηται, μῆκος νούσου σημαίνει.

41 Ἱδρὼς πολὺς ἐξ ὕπνου ἄνευ φανερῆς αἰτίης γινόμενος τῷ σώματι, σημαίνει ὅτι πλείονι τροφῇ χρῆται· ἢν δὲ τροφὴν μὴ λαμβάνοντι τοῦτο γίνηται, σημαίνει ὅτι κενώσιος δεῖται.

42 Ἱδρὼς πολὺς ψυχρὸς ἢ θερμὸς αἰεὶ ῥέων,

ὁ ψυχρὸς

Si cui inſigniter febricitanti collum 35
repente peruertitur, vt vix deglutire poſſit, nec vllus appareat tumor, funeſtum.

Sudores febricitantibus ſi manare cœperint, ſalutares quidem ſunt qui emanant die tertio, quinto, ſeptimo, nono, vndecimo, decimoquarto, decimoſeptimo, viceſimoprimo, viceſimoſeptimo, triceſimoprimo, & triceſimoquarto: ij enim ſudores morbos iudicant. Sed qui non ita eueniunt, laborem, diuturnitatem, & recidiuam oſtendunt. 36

Sudores frigidi ſi cum febre acuta profluant, mortem oſtendunt: cum mitiore autem, diuturnitatem morbi. 37

Qua parte corporis ſudor manat, morbum illius partis arguit. 38

Quemadmodum & qua parte corporis calor aut frigus percipitur, ibi eſt morbus. 39

Quin etiam quum in vniuerſo corpore crebrò mutantur, vt ſi modò caleſcat, modò frigeſcat corpus, aut color alter ex altero fiat, diuturnitatem morbi oſtendunt. 40

Sudor multus qui à ſomno, ſine cauſa quæ à foris eſt incidente, erumpit, largiore cibo arguit corpus vti: quod ſi id cadat in eo, qui ſuo defraudatur genio, neceſſariam euacuationem eſſe oſtendit. 41

Sudor multus frigidus aut calidus aſſi- 42
duè

Digitized by Google

ἢ ψυχρὸς μείζω, ὁ δὲ θερμὸς ἐλάσσω νούσου σημαίνει.

43 Οἱ πυρετοὶ ὁκόσοι μὴ διαλείποντες διὰ τρίτης ἰσχυροὶ γίνονται, μᾶλλον ἐπικίνδυνοι· ὅτῳ δ᾽ ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι.

44 Ὁκόσοισι πυρετοὶ μακροὶ, τουτέοισι φύματα ἐς τὰ ἄρθρα ἢ πόνοι ἐγγίνονται

45 Ὁκόσοισι φύματα ἐς τὰ ἄρθρα ἢ πόνοι ἐκ πυρετῶν [μακρῶν] γίνονται, οὗτοι σιτίοισι πλείοσι χρέονται.

46 Ἢν ῥῖγος ἐμπίπτῃ πυρετῷ μὴ διαλείποντι, ἤδη ἀσθενεῖ ἐόντι, θανάσιμον

47 Αἱ ἀποχρέμψιες αἱ ἐν τοῖσι πυρετοῖσι μὴ διαλείπουσιν αἱ πελιδναὶ, καὶ αἱματώδεες, καὶ δυσώδεες, καὶ χολώδεες, πᾶσαι κακαί· ἀποχωρέουσαι δὲ καλῶς, ἀγαθαί. Καὶ κατὰ τὰς διαχωρήσιας, καὶ κατὰ τὰ οὖρα. Ἢν δὲ μή τι τῶν συμφερόντων ἐκκρίνηται διὰ τῶν τόπων τούτων, κακόν.

48 Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δὲ ἔνδον καίηται, καὶ δίψαν ἔχῃ, θανάσιμον.

49 Ἐν μὴ διαλείποντι πυρετῷ ἢν χεῖλος, ἢ ὀφρὺς, ἢ ὀφθαλμὸς, ἢ ῥὶς, διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ, ἤδη ἀσθενέος ἐόντος τοῦ σώμα-

auè fluens, frigidus quidem maiorem, calidus verò minorem morbum oſtendit.

Quæcumque febres intermiſſionis expertes tertio quoque die ſeueriores redduntur ac ingrauêſcunt, magis calamitoſæ; at quouis modo intermiſerint, periculi expertes eſſe ſignificat. 43

Qui ex febre diuturna laborant, iis phymata aut dolores in articulis oboriuntur. 44

Quibus phymata aut dolores in articuli oboriuntur poſt [diuturnas] febres, hi copioſiore cibo vtuntur. 45

Frequens in febris aſſiduitate rigor, fractis iam viribus, funeſtum. 46

Expectorata in febribus remiſſionis expertibus liuida, cruenta, fœtida, biliosa, omnia calamitoſa: contrà, quæ verò eorum conuenienter excluduntur, ſalutaria. Eadem deiectionum & vrinarum ratio eſt. Quòd ſi nihil quod allenationem adfert, per ea loca excludatur, calamitoſum. 47

In febribus remiſſionis vel intermiſſionis expertibus, ſi extimæ partes frigidæ ſint, intimè autem præcordia conflagrent ardore cum ſiti coniunctio, funeſtum. 48

Si cui in febre remiſſionis & intermiſſionis experte labrum diſtorquetur, aut ſupercilium, aut oculus, aut etiam nares, tum etiam ſi audiendi videndique vis periit, fractis iam morbo viribus, quicquid 49

σώματος, ὅ,τι ἂν τούτων γένηται, ἐγγὺς ὁ θάνατος.

50 Ὅκως ἂν ἐν τῷ πυρετῷ μὴ διαλείποντι δύσπνοια γένηται καὶ παραφροσύνη, θανάσιμον.

51 Ἐν τοῖσι πυρετοῖσιν ἀποστήματα, μὴ λυόμενα πρὸς τὰς πρώτας κρίσιας, μῆκος νούσου σημαίνει.

52 Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἢ ἐν τῇσιν ἄλλῃσιν ἀρρωστίῃσι κατὰ προαίρεσιν ὀφθαλμοὶ δακρύουσιν, οὐδὲν ἄτοπον. ὁκόσοισι δὲ μὴ κατὰ προαίρεσιν, ἀτοπώτερον.

53 Ὁκόσοισι δὲ ἐπὶ τῶν ὀδόντων ἐν τοῖσι πυρετοῖσι περὶ γλίσχρα γίνεται, ἰσχυρότεροι γίνονται οἱ πυρετοί.

54 Ὁκόσοισιν ἐπὶ πολὺ βῆχες ξηραὶ, βραχέα ἐρεθίζουσαι ἐν πυρετοῖσι καυσώδεσιν, οὐ πάνυ τι διψώδεές εἰσιν.

55 Οἱ ἐπὶ βουβῶσι πυρετοὶ, πάντες κακοὶ, πλὴν τῶν ἐφημέρων.

56 Πυρέσσοντι ἱδρὼς ἐπιγενόμενος, μὴ ἐκλείποντος τοῦ πυρετοῦ, κακόν· μηκύνει γὰρ ἡ νοῦσος, καὶ ὑγρασίην πλείω σημαίνει.

57 Ὑπὸ σπασμοῦ ἢ τετάνου ἐνοχλουμένῳ πυρετὸς ἐπιγενόμενος, λύει τὸ νόσημα.

58 Ὑπὸ καύσου ἐχομένῳ ἐπιγενομένου ῥίγεος, λύσις γίνεται.

Τριταῖος

quid horum acciderit, in propinquo mors erit.

Quotieſcumque in febrem remiſſionis expertem difficultas ſpirandi & delirium incidit, funeſtum. 50

In febribus abſceſſus, qui primis criſibus febrem haud ſoluit, diuturnum talem morbum fore oſtendit. 51

Quibuſcumque per febres vel alios quoſuis morbos, oculi ſponte ac præ electione illachrymant, nihil abſurdi eſt. Quibus verò (per ſe illachrymant) non à præelectione, longius à ſe abſunt. 52

Quibuſcumque per febres lentores in dentibus adhæreſcunt, his acerbiores febres redduntur. 53

Quibus ſiccæ perennant tuſſes, rarò & leuiter irritantes in febribus ardentibus, non admodum ſiticuloſi ſunt. 54

Febres in bubonibus, calamitoſæ ſunt omnes, præter ephemeras. 55

Febricitanti (crebri) ſudores ſi ſuperuenerint, febre remiſſionis experte, calamitoſum: protrahitur enim morbus, & excrementitium multum humorem ſignificat. 56

Qui ſpaſmo aut tetano eſt correptus, ſi ei febris incidat, morbum ſoluit. 57

Si quem febris ardens detineat, ſemel incidente rigore, finitur. 58

59 Τριταῖος ἀκριβὴς κρίνεται ἐν ἑπτὰ περιόδοισι, τὸ μακρότατον.

60 Ὁκόσοισιν ἂν ἐν τοῖσι πυρετοῖσι τὰ ὦτα κωφωθῇ, αἷμα ἐκ ῥινῶν ῥυὲν, ἢ κοιλίη ἐκταραχθεῖσα λύει τὸ νόσημα.

61 Πυρέσσοντι ἢν μὴ ἐν περισσῇσιν ἡμέρῃσιν ἀφῇ ὁ πυρετὸς, ὑποτροπιάζειν εἴωθεν.

62 Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἴκτεροι ἐπιγίνονται πρὸ τῶν ἑπτὰ ἡμερέων, κακόν.

63 Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι καθ' ἡμέρην ῥίγεα γίνεται, καθ' ἡμέρην οἱ πυρετοὶ λύονται.

64 Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι τῇ ἑβδόμῃ, ἢ τῇ ἐνάτῃ, ἢ τῇ ἑνδεκάτῃ ἢ τεσσαρεσκαιδεκάτῃ ἴκτεροι ἐπιγίνονται, ἀγαθὸν, ἢν μὴ τὸ δεξιὸν ὑποχόνδριον σκληρὸν ᾖ. ἢν δὲ μὴ, οὐκ ἀγαθόν.

65 Ἐν τοῖσι πυρετοῖσι περὶ τὴν κοιλίην καῦμα ἰσχυρὸν, καὶ καρδιωγμὸς, κακόν.

66 Ἐν τοῖσι πυρετοῖσι τοῖσιν ὀξέσιν οἱ σπασμοὶ καὶ οἱ περὶ τὰ σπλάγχνα πόνοι ἰσχυροὶ, κακόν.

67 Ἐν τοῖσι πυρετοῖσιν οἱ ἐκ τῶν ὕπνων φόβοι ἢ σπασμοὶ, κακόν.

68 Ἐν τοῖσι πυρετοῖσι πνεῦμα προσκόπτον, κακόν· σπασμὸν γὰρ σημαίνει.

69 Ὁκόσοισιν οὖρα παχέα, θρομβώδεα, ὀλίγα, οὐκ ἀπυρέτοισι, πλῆθος ἐλθὸν ἐκ του-

τέων

Tertiana exquiſita iudicatur ſeptem 59
periodis, vt tardiſſimè.

Quibus in febribus aures obſurdue- 60
runt, ſanguinis profluuio è naribus, aut
alui commotione morbus finitur.

Febricitantem niſi diebus imparibus 61
febris dimiſerit, ſolet reuerti.

Quibuſcumque per febres icterus ante 62
ſeptimum diem incidit, calamitoſum.

Quibuſcumque in febribus intermit- 63
tentibus rigores incidunt cottidie, febres
cottidie ſoluuntur.

Quibuſcumque per febres die ſeptimo, 64
aut nono, aut vndecimo, aut decimoquar-
to icterus incidit, ſalutare, niſi dextrum
hypochondrium obduruerit. ſin minus,
calamitoſum.

In febribus ſi incendio aluus confla- 65
grat, cum ſtomachi morſu, malum.

In febribus acutis conuulſiones & qui 66
in præcordiis ſentiuntur dolores acerbi,
calamitoſi ſunt.

In febribus à ſomno pauores aut con- 67
uulſiones, malum.

In febribus ſpiratio illiſa in faucibus 68
mala: conuulſionem enim ſignificat.

Quibuſcumque vrinæ primùm quidem 69
ſunt craſſæ, mox grumoſæ, paucæ, non
febris expertibus, ſi ab iis copioſè proflu-

τέοισι λεπτὸν ὠφελέει· μάλιστα δὲ τὰ τοιαῦτα ἔρχεται, οἷσιν ἐξ ἀρχῆς ἢ διὰ ταχέων ὑπόστασιν ἴσχει.

70 Ὁκόσοισι δὲ ἐν πυρετοῖσι τὰ οὖρα ἀνατεταραγμένα, οἷον ὑποζυγίου, τουτέοισι κεφαλαλγίαι ἢ πάρεισιν, ἢ παρέσονται.

71 Ὁκόσοισιν ἑβδομαῖα κρίνεται, τουτέοισιν ἐπινέφελον ἴσχει τὸ οὖρον τῇ τετάρτῃ ἐρυθρὸν, καὶ τ' ἄλλα κατὰ λόγον.

72 Ὁκόσοισιν οὖρα διαφανέα λευκὰ, πονηρά· μάλιστα δὲ ἐν τοῖσι φρενιτικοῖσιν ἐπιφαίνεται.

73 Ὁκόσοισιν ὑποχόνδρια μετέωρα διαβορβορύζοντα, ὀσφύος ἀλγήματος ἐπιγενομένου, αἱ κοιλίαι τουτέοισι καθυγραίνονται, ἢν μὴ φῦσαι καταῤῥαγέωσιν, ἢ οὔρου πλῆθος ἐπέλθῃ· ἐν πυρετοῖσι δὲ ταῦτα.

74 Ὁκόσοισιν ἐλπὶς ἐς τὰ ἄρθρα ἀφίστασθαι, ῥύεται τῆς ἀποστάσιος οὖρον πολὺ καὶ παχὺ, καὶ λευκὸν γινόμενον, οἷον ἐν τοῖσι κοπώδεσι πυρετοῖσι τεταρταίοισιν ἄρχεται ἐνίοισι γίνεσθαι. Ἢν δὲ καὶ ἐκ τῶν ῥινῶν αἱμοῤῥαγήσῃ, καὶ πάνυ ταχὺ λύεται.

75 Ἢν αἷμα ἢ πῦον οὐρέῃ, τῶν νεφρῶν ἢ τῆς κύστιος ἕλκωσιν σημαίνει.

76 Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι, σαρκία μικρὰ, ἢ ὥσπερ τρίχες ξυνεξέρχονται, τουτέοισιν ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται.

Ὁκόσο

xerint tenues iuuant: maximè verò
eiuſmodi fluunt vrinæ, quibus ineunte
morbo, aut breui ſedimentum habent.

At verò quibuſcumque per febres (eſ- 70
ſentiales) vrinæ ſunt perturbatæ, vt iu-
mentorum, ſanè iis cephalalgiæ adſunt,
aut in propinquo ſunt.

Quibuſcumque (ad ſalutem) criſis inci- 71
dit ſeptimo die, his nubeculam habet
vrina quarto die ſubrubram, aliáque
conuenienter.

Quibus pellucidæ & albæ funduntur 72
vrinæ, calamitoſæ: maximè verò phreni-
ticis tales apparent.

Quibuſcumque (recens) hypochon- 73
driorum tumor incidit cum murmure
coniunctus, ſuperueniente lumborum
dolore, iis alui feruntur, niſi flatus erum-
pant, aut vrinæ copia fluat: atque ea in
febribus locum habent.

Quibuſcumque abſceſſus in articulis 74
expectatur, ab abſceſſu eo vindicat vrina
multa, craſſa, & alba, qualis vrina labo-
rioſis in febribus exire ſolet, quartum
diem morbi agentibus. Quodſi narium
quoque accedat profluuium, multo cele-
riùs liberantur.

Si ſanguis & pus cum vrina reddatur, 75
exulceratæ veſicæ aut renum ſignifica-
tionem præbet.

Quibuſcumque cum vrina craſſa ca- 76
runculæ paruæ aut veluti capilli quidam
exeunt, iis è renibus excernuntur.

77 Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι πιτυρώδεα συνεξουρέεται, τουτέοισιν ἡ κύστις ψωριᾷ.

78 Ὁκόσοι ἀπὸ ταὐτομάτου αἷμα οὐρέουσι, τουτέοισιν ἀπὸ τῶν νεφρῶν φλεβίου ῥῆξιν σημαίνει.

79 Ὁκόσοισιν ἐν τῷ οὔρῳ ψαμμώδεα ὑφίσταται, τουτέοισιν ἡ κύστις λιθιᾷ.

80 Ἢν αἷμα οὐρέῃ καὶ θρόμβους, καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸ ὑπογάστριον, καὶ ἐς τὸν περίναιον, τὰ περὶ τὴν κύστιν πονεῖ.

81 Ἢν αἷμα καὶ πῦον οὐρέῃ, καὶ λεπίδας, καὶ ὀσμὴ βαρεῖα ᾖ, τῆς κύστιος ἕλκωσιν σημαίνει.

82 Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φύματα φύεται, τουτέοισι, διαπυήσαντος καὶ ἐκραγέντος, λύσις.

83 Οὔρησις νύκτωρ πολλὴ γινομένη, σμικρὴν τὴν ὑποχώρησιν σημαίνει.

ΙΠΠΟ-

Digitized by Google

Quibuſcumque vnà cum vrina craſſa 77
furfuracea quædam efferuntur, iis veſica
laborat ex ſcabie.

Quicumque repentè ac confertim ſan- 78
guinem mingunt, his ruptæ à renibus ve-
næ ſignificatio fit.

Si cui in vrina ſabuloſa reſideant, huic 79
veſica ex calculo laborat.

Si quis ſanguinem vnàque grumos ſæ- 80
pe mingat, ac ſtranguriam habeat, vnà-
que dolor incidat in aqualiculum, & in
interfœminium, huic veſicæ vicinæ par-
tes laborant.

Si quis ſanguinem aut pus mingat, cum 81
ſquamulis, & cum graui odore, veſicæ ex-
ulceratæ ſignificatio fit.

Quibuſcumque in fiſtula vrinaria phy- 82
ma exiſtit, phymate expurato liberantur.

Vrinæ miſtio de nocte plurima facta, 83
paruam ſignificat deiectionem.

HIP-

ἹΠΠΟΚΡΆΤΟΥΣ
ΚΩ'ΟΥ
ἈΦΟΡΙΣΜΩ͂Ν
ΠΕ'ΜΠΤΟΝ.

1 Σπασμὸς ἐξ ἐλλεβόρου, θανάσιμον.

2 Ἐπὶ τρώματι σπασμὸς ἐπιγινόμενος, θανάσιμον.

3 Αἵματος πολλοῦ ῥυέντος, σπασμὸς ἢ λυγμὸς ἐπιγινόμενος, κακόν.

4 Ἐπὶ ὑπερκαθάρσει σπασμὸς, ἢ λυγμὸς ἐπιγινόμενος, κακόν.

5 Ἢν μεθύων ἐξαίφνης ἄφωνός τις γένηται, σπασθεὶς ἀποθνήσκει, ἢν μὴ πυρετὸς ἐπιλάβῃ, ἢ ἐς τὴν ὥρην ἐλθὼν καθ' ἣν αἱ κραιπάλαι λύονται, φθέγξηται.

6 Ὁκόσοι ὑπὸ τετάνου ἁλίσκονται, ἐν τέσσαρσιν ἡμέρῃσιν ἀπόλλυνται· ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται.

7 Τὰ ἐπιληπτικὰ ὁκόσοισι πρὸ τῆς ἥβης γίνεται, μετάστασιν ἴσχει· ὁκόσοισι δὲ πέντε καὶ εἴκοσιν ἐτέων γίνεται, τουτέοισι τὰ πολλὰ ξυναποθνήσκει.

8 Ὁκόσοι πλευριτικοὶ γενόμενοι, οὐκ ἀνα-

καθαι-

HIPPOCRATIS
COI
APHORISMORVM
LIBER V.

SPaſmus ex elleboro, funeſtum. 1
Conuulſio quæ in plagam incidit, ca- 2
lamitoſa.
Nam quæ ex nimia ſanguinis profuſio- 3
ne incidit conulſio vel ſingultus, malum.
Conuulſio quæ immodicam ſequitur 4
purgationem, aut ſingultus, malum.

Si quis ebrius repentè obmuteſcat, 5
conuulſus moritur, niſi febris incidens
eum corripiat, aut quo tempore crapulæ
ſolui ſolent vocem edat.
Quos tetani vis magna corripit, intra 6
quartum diem intereunt: quod ſi hos ef-
fugerint, tetano leuantur, & ſani eua-
dunt.
Comitiales morbi, aut conuulſiones 7
epilepticæ quibus ante pubertatem eue-
niunt, curationem recipiunt: at quibus
eæ eueniunt vigeſimoquinto ætatis anno,
maximam partem commoriuntur.
Quicumque pleuritici expectorabilem 8
mate-

Digitized by Google

καθαίρονται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι, τουτέοισιν ἐς ἐμπύημα μεθίσταται.

9 Φθίσιες γίνονται μάλιστα ἡλικίῃσι τῇσιν ἀπὸ ὀκτωκαίδεκα ἐτέων, μέχρι πέντε καὶ τριήκοντα.

10 Ὁκόσοισι κυνάγχην διαφεύγουσιν ἐς τὸν πνεύμονα τρέπεται, ἐν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκουσιν· ἢν δὲ ταύτας διαφύγωσιν, ἔμπυοι γίνονται.

11 Τοῖσιν ἀπὸ τῶν φθισίων ἐνοχλουμένοισιν, ἢν τὸ πτύσμα ὅπερ ἂν ἀποβήσσωσι βαρὺ ὄζῃ ἐπὶ τοὺς ἄνθρακας ἐπιχεόμενον, καὶ αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέωσι, θανάσιμον.

12 Ὁκόσοισι δὲ φθισιῶσιν αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέουσιν, οὗτοι διαῤῥοίης ἐπιγενομένης ἀποθνήσκουσιν.

13 Ὁκόσοι αἷμα ἀφρῶδες ἀναπτύουσι, τουτέοισιν ἐκ τοῦ πνεύμονος ἡ τοιαύτη ἀναγωγὴ γίνεται.

14 Ὑπὸ φθίσιος ἐχομένῳ διάῤῥοια ἐπιγενομένη, θανατῶδες.

15 Ὁκόσοι ἐκ πλευρίτιδος ἔμπυοι γίνονται, ἢν ἀνακαθαρθῶσιν ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀφ' ἧς ἂν ἡ ῥῆξις γένηται, παύονται· ἢν δὲ μὴ, ἐς φθίσιν μεθίστανται.

16 Τὸ θερμὸν βλάπτει ταῦτα τοῖσι πλεονάκις χρεομένοισι· σαρκῶν ἐκθήλυνσιν, νεύ-

ρων

Digitized by Google

materiam non excludunt intra dies quattuordecim, iis in empyema degenerat.

9 Tabes in eas maximè ætates incidit, quæ à decimooctauo ætatis anno, ad trigeſimum quintum finiuntur.

10 Qui ex anginoſis fiunt peripneumonici, intra ſeptem dies moriuntur: quodſi ab illis ſuperſtites euaſerint, fiunt ſuppurati.

11 Cùm, tabi implicitis quod tuſſiendo excluditur ſputum, grauiter oleat, dum carbonibus ardentibus infunditur, capillique defluant, funeſtum.

12 Quibuſcumque tabidis è capite vnà capilli defluunt, ij diarrhœa ſuperueniente, moriuntur.

13 Qui ſanguinem ſpumantem tuſſiendo excreant, iis ex pulmone talis excluſio fit.

14 Tabe detento profluuium alui ſuperueniens, letale.

15 Quicumque à pleuritide empyi (hoc eſt purulenti vel ſuppurati) redduntur, quando expectorandi finem faciunt quadraginta diebus, ex quo rupta fuit pleuritidis vomica, liberantur: ſin minùs, in phthiſin degenerant.

16 Calidum in hæc calamitoſum eſt, háſque adfert calamitates his, qui eo ſæpe multúmque vtuntur: carnium laxatio-

F nem,

ρων ἀκράτειαν, γνώμης νάρκωσιν, αἱμοῤ-ῥαγίας, λειποθυμίας, ταῦτα οἷσι θάνατος.

17 Τὸ δὲ ψυχρὸν σπασμοὺς, τετάνους, μελασμοὺς, καὶ ῥίγεα πυρετώδεα.

18 Τὸ ψυχρὸν πολέμιον ὀστέοισιν, ὀδοῦσι, νεύροισιν, ἐγκεφάλῳ, νωτιαίῳ μυελῷ· τὸ δὲ θερμὸν ὠφέλιμον.

19 Ὁκόσα κατέψυκται ἐκθερμαίνειν δεῖ, πλὴν ὁκόσα αἱμοῤῥαγεῖ ἢ μέλλει.

20 Ἕλκεσι τὸ μὲν ψυχρὸν δακνῶδες, δέρμα περισκληρύνει, ὀδύνην ἀνεκπύητον ποιεῖ, μελαίνει, ῥίγεα πυρετώδεα, σπασμοὺς, καὶ τετάνους.

21 Ἔστι δὲ ὅκου ἐπὶ τετάνου ἄνευ ἕλκεος, νέῳ εὐσάρκῳ, θέρεος μέσου, ψυχροῦ πολλοῦ κατάχυσις ἐπανάκλησιν θέρμης ποιέεται· θέρμη δὲ ταῦτα ῥύεται.

22 Τὸ θερμὸν ἐκπυητικὸν, οὐκ ἐπὶ παντὶ ἕλκει, μέγιστον σημεῖον εἰς ἀσφάλειαν, δέρμα μαλάσσει, ἰσχναίνει, ἀνώδυνον· ῥιγέων, σπασμῶν τετάνων παρηγορικόν· τὴν δὲ ἐν τῇ κεφαλῇ καρηβαρίαν λύει· πλεῖστον δὲ διαφέρει ὀστέων κατάγμασι, μάλιστα δὲ τοῖ-

σιν

nem, neruorum infirmitatem, mentis ſtuporem, hæmorrhagias, lipothymias, quæ ſunt eiuſmodi vt mortis conſequutionem adferant.

Frigidum verò hæc adfert incommoda: conuulſiones adfert, tetanos, liuores quaſique partium denigrationes, & rigores febriles. 17

Idem frigidum bellum indixit oſſibus, dentibus, neruis, cerebro, dorſali medullæ: calidum verò his præſtat adiumentum. 18

Quæ refrigerata ſunt, calfacere decet, modò ex iis ſanguis non fluat, aut fluxurus ſit. 19

Vlceribus frigidum eſt acerbum & mordax, cutem obdurat, dolorem reddit ſuppurati expertem, ideóque liuores, rigores febriles, conuulſiones & tetanos hoc eſt diſtentiones inducit. 20

Sed tamen fieri poteſt vt in tetano vlceris experte, iuuene bene habito, æſtate media, frigidæ quam copioſa profuſio calorem natiuum reuocet: huiuſmodi autem hæc calor ſoluit. 21

Calidum eſt ſuppuratorium, non tamen quouis in vlcere, præclarè ad ſalutem apparet & facit, cutem emollit, ac craſſam extenuat, dolorem ſedat: idémque rigorem, ſpaſmum, tetanum ſeu diſtentionem mitificat: quin etiam capitis grauitatem ſoluit: ſed admirabile quantum fracturis oſſium ſit adiumentum, ac 22

σιν ἐψιλωμένοισι· τελέως δὲ μάλιστα τοῖσιν ἐν κεφαλῇ ἕλκεα ἔχουσι· καὶ ὁκόσα ὑπὸ ψύξιος θνήσκει ἢ ἑλκοῦται, καὶ ἕρπησιν ἐσθιομένοισιν· ἕδρῃ, αἰδοίῳ, ὑστέρῃ, κύστει, τουτέοισι τὸ θερμὸν φίλιον καὶ κρῖνον, τὸ δὲ ψυχρὸν πολέμιον καὶ κτεῖνον.

23 Ἐν τουτέοισι δὲ δεῖ τῷ ψυχρῷ χρέεσθαι, ὁκόθεν αἱμοῤῥαγέει, ἢ μέλλει. μὴ ἐπ' αὐτὰ, ἀλλὰ περὶ αὐτὰ ὁκόθεν ἐπιῤῥεῖ· καὶ ὁκόσαι φλεγμοναὶ, ἢ ἐπιφλογίσματα ἐς τὸ ἐρυθρὸν καὶ ὕφαιμον ῥέποντα, νεαρῷ αἵματι, ἐπὶ ταῦτα· ἐπεὶ τά γε παλαιὰ μελαίνει. Καὶ ἐρυσιπέλας τὸ μὴ ἑλκούμενον ὠφελέει· ἐπεὶ τό γε ἑλκούμενον βλάπτει.

24 Τὰ ψυχρὰ, οἷον χιὼν, κρύσταλλος, τῷ στήθει πολέμια, βηχέων κινητικὰ, αἱμοῤῥοϊκὰ, καταῤῥοϊκά.

25 Τὰ δὲ ἐν ἄρθροισιν οἰδήματα καὶ ἀλγήματα ἄτερ ἕλκεος, καὶ ποδαγρικὰ, καὶ σπάσματα, τουτέων τὰ πλεῖστα τὸ ψυχρὸν πολλὸν καταχεόμενον ῥηΐζει τε καὶ ἰσχναίνει, καὶ ὀδύνην λύει· νάρκη γὰρ μετρίη ὀδύνης λυτική.

26 Ὕδωρ τὸ ταχέως θερμαινόμενον καὶ ταχέως ψυχόμενον, κουφότατον.

Ὁκόσοισι δὲ πιεῖν ὀρέξεις νύκτωρ, τοῖ-

σι

præſertim ſua cute nudatis: maximéque inter eas fracturas quibus caput eſt vlceribus obſeſſum, & quæcumque frigoris vi ſunt emortua aut exulcerata, & herpetes exedentes iuuat: ſedi, pudendo, vtero, veſicæ his calidum amicum eſt, & ſecundi iudicii, frigidum verò his eſt bellicoſum ac interimens.

Cæterùm ad hæc rerum frigidarum valet vſus, vndecumquè ſanguinis profluuium eſt, aut vnde futurum, nec tamen ſuper ea, ſed circum, vnde ſcilicet ſanguis affluit. & quæcumque inflammationes, partiúmque ardores & incendia quæ ad rubrum & ſanguineum colorem tendunt, recenti efflorеſcente ſanguine, ſuper his adhibeto. nam his quæ inueterarunt, liuorem adferunt. Et ipſum eryſipelas vlceris expers curat, quandoquidem exulcerato calamitoſum eſt. 23

Frigida, cuiuſmodi ſunt nix, & glacies, pectori ſunt inimica, tuſſes mouent, ſanguinis profluuia cient, catarrhos excitant. 24

Verùm articulorum tumores & dolores vlceris expertes, & podagrica, & conuulſiones, horum ſanè plurima frigida copioſè affuſa mitigat, leuat, & adæquat, atque ita dolorem ſedat: huc accedit quòd ſtupor modicus dolorem ſedat. 25

Aqua quæ citò calefit & citò refrigeſcit, leuiſſima eſt. 26

Qui noctu bibendi ſunt appetentes,

σι παρὰ δίψαν, ἢν ἐπικοιμηθῶσιν, ἀγαθόν.

28 Γυναικείων ἀγωγὸν ἡ ἐν ἀρώμασι πυρίη· πολλαχῇ δὲ καὶ εἰς ἄλλα χρησίμη ἂν ἦν, εἰ μὴ καρηβαρίας ἐνεποίει.

29 Τὰς κυούσας φαρμακεύειν ἢν ὀργᾷ. τετράμηνα, καὶ ἄχρι ἑπτὰ μηνῶν, ἧσσον δὲ ταύτας. τὰ δὲ νήπια καὶ πρεσβύτερα εὐλαβεῖσθαι.

30 Γυνὴ ἐν γαστρὶ ἔχουσα φλεβοτομηθεῖσα ἐκτιτρώσκει· καὶ μᾶλλον, εἰ μεῖζον εἴη τὸ ἔμβρυον.

31 Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ὑπό τινος τῶν ὀξέων νοσημάτων ληφθῆναι, θανάσιμον.

32 Γυναικὶ αἷμα ἐμεούσῃ, τῶν καταμηνίων ῥαγέντων λύσις γίνεται.

33 Γυναικὶ τῶν καταμηνίων ἐκλιπόντων, αἷμα ἐκ τῶν ῥινῶν ῥυῆναι ἀγαθόν.

34 Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἢν ἡ κοιλίη πολλὰ ῥυῇ, κίνδυνος ἐκτρῶσαι.

35 Γυναικὶ ὑπὸ ὑστερικῶν ἐνοχλουμένῃ ἢ δυστοκούσῃ, πταρμὸς ἐπιγινόμενος ἀγαθόν.

36 Γυναικὶ τὰ καταμήνια ἄχροα. καὶ μὴ κατὰ τὰ αὐτὰ αἰεὶ γινόμενα, καθάρσιος δεῖσθαι σημαίνει.

37 Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἢν οἱ μαζοὶ ἐξαίφνης ἰσχνοὶ γένωνται, ἐκτιτρώσκει.

38 Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἢν ὁ ἕτερος

μαστὸς

hos admodum ſitientes ſomnum inire iuuat.

Suffitus aromatum muliebria ciet: idémque ad alia non raro valeret, niſi capitis grauitatem adferret. 28

Prægnantes quidem purgandæ ſi humor ſit efferus, & quadrimeſtris purgatio, dum ſeptimeſtris fuerit, quamuis hæ minùs. nam in minore & grandiore fœtu cautiùs relligioſiúsque agendum. 29

Mulieri ingrauidatæ ſi vena tundatur abortit: eóque magis ſi fœtus grandior ſit. 30

Mulierem grauidam ex vllo morbi acuti genere laborare, funeſtum. 31

Mulieri ſanguinem euomenti, menſtruis erumpentibus, vomendi finis. 32

Mulieri ſuppreſſis menſibus, ſanguinis è naribus profluuium bono eſt. 33

Mulieri grauidæ ſi aluus profuſior ſit, abortionis periculum imminet. 34

Vterinæ mulieri aut ægrè parienti, oborta ſternutatio eſt bona. 35

Mulieri ſi fluxerint menſes decolores, qui nec eodem modo bene reſpondeant, purgatione opus eſſe ſignificat. 36

Mulieri ingrauidatæ ſi mammæ repentè extenuentur, abortit. 37

Quia & mulieri grauidæ ſi altera 38

μαζὸς ἰσχνὸς γένηται δίδυμα ἐχούσῃ, θάτερον ἐκτιτρώσκει. Καὶ ἢν μὲν ὁ δεξιὸς ἰσχνὸς γένηται, τὸ ἄρσεν· ἢν δὲ ὁ ἀριστερός, τὸ θῆλυ.

39 Ἢν γυνὴ μὴ κύουσα, μηδὲ τετοκυῖα γάλα ἔχῃ, ταύτῃ τὰ καταμήνια ἐκλέλοιπε.

40 Γυναιξὶν ὁκόσῃσιν ἐς τοὺς τιτθοὺς αἷμα συστρέφεται, μανίην σημαίνει.

41 Γυναῖκα ἢν θέλῃς εἰδέναι εἰ κύει, ἐπὴν καθεύδειν μέλλῃ, μελίκρητον διδόναι πιεῖν, κ' ἢν μὲν στρόφον ἔχῃ περὶ τὴν γαστέρα, κύει· ἢν δὲ μή, οὐ κύει.

42 Γυνὴ ἔγκυος ἢν μὲν ἄρρεν κύῃ, εὔχρους ἐστίν· ἢν δὲ θῆλυ, δύσχρους.

43 Ἢν γυναικὶ κυούσῃ ἐρυσίπελας ἐν τῇ ὑστέρῃ γένηται, θανατῶδες.

44 Ὁκόσαι παρὰ φύσιν λεπταὶ ἐοῦσαι ἐν γαστρὶ ἔχουσιν, ἐκτιτρώσκουσι πρὶν ἢ παχυνθῆναι.

45 Ὁκόσαι μετρίως τὸ σῶμα ἔχουσαι ἐκτιτρώσκουσι δίμηνα καὶ τρίμηνα ἄτερ προφάσιος φανερῆς, ταύτῃσιν αἱ κοτυληδόνες μύξης μεσταί εἰσι· καὶ οὐ δύνανται κρατεῖν ὑπὸ τοῦ βάρεος τὸ ἔμβρυον, ἀλλ' ἀπορρήγνυνται.

46 Ὁκόσαι παρὰ φύσιν παχεῖαι ἐοῦσαι μὴ ξυλλαμβάνουσιν ἐν τῇ γαστρί, ταύτῃσι τὸ ἐπίπλοον τὸ στόμα τῆς ὑστέρης ἀποπιέζει,

καὶ

Digitized by Google

mamma, extenuetur ac gemellos gerat, alterum abortit. Ac ſi dextra quidem extenuetur, marem abortit: ſi autem ſiniſtra, fœminam.

Si mulier neque prægnans neque puerpera lac habeat, huic ſuppreſſa ſunt menſtrua. 39

Quibuſcumque mulieribus ſanguis in mammis colligitur, phanaticæ fiunt. 40

Si noſſe velis an mulier vtero gerat vel conceperit, iam iam dormituræ melicratum bibendum exhibeto, quodſi alui torminibus infeſtetur, concepit: ſin minùs, non concepit. 41

Mulier grauida ſi quidem marem concepit, colore eſt viuido: ſin autem fœminam, fœdo. 42

Si mulieri grauidæ in vtero ſit eryſipelas, funeſtum. 43

Quibuſcumque grauidis extenuationis ſumma ſunt omnia, abortiunt priuſquam habitiores fiant. 44

Quæcumque verò corpore benè conſtituto bimeſtres, atque etiam trimeſtres abortiunt, nullâ incidente abortionis causâ, his ſanè cotyledones mucco abundant: eóque fit, vt præ grauitate fœtus potentes eſſe non poſſint, ſed diſrumpantur. 45

Quæcumque non naturâ, ſed educatione ſupra modum habitæ concipere nequeunt, iis omentum os vteri comprimit, 46

nec

καὶ πρὶν ἀπολεπτυνθῆναι, οὐ κύουσιν.

47 Ἢν ὑστέρη ἐν τῷ ἰσχίῳ ἐγκειμένη διαπυήσῃ, ἀνάγκη ἔμμοτον γενέσθαι.

48 Ἔμβρυα τὰ μὲν ἄρσενα ἐν τοῖσι δεξιοῖσι, τὰ δὲ θήλεα, ἐν τοῖσιν ἀριστεροῖσι μᾶλλον.

49 Ἐς ὑστέρων ἐκπτώσιας πταρμικὸν ἐπιτιθεὶς, ἐπιλαμβάνειν τοὺς μυκτῆρας καὶ τὸ στόμα.

50 Γυναικὶ τὰ καταμήνια ἢν βούλῃ ἐπισχεῖν, σικύην ὡς μεγίστην πρὸς τοὺς τιτθοὺς πρόσβαλλε.

51 Ὁκόσαι ἐν γαστρὶ ἔχουσι, τουτέων τὸ στόμα τῶν ὑστερέων συμμέμυκεν.

52 Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ γάλα πολὺ ἐκ τῶν μαζῶν ῥυῇ, ἀσθενὲς τὸ ἔμβρυον σημαίνει· ἢν δὲ στερεοὶ οἱ μαζοὶ ἔωσιν, ὑγιεινότερον τὸ ἔμβρυον σημαίνει.

53 Ὁκόσαι διαφθείρειν μέλλουσι τὰ ἔμβρυα, ταύτῃσιν οἱ τιτθοὶ ἰσχνοὶ γίνονται. Ἢν δὲ πάλιν σκληροὶ γίνωνται, ὀδύνη ἔσται ἢ ἐν τοῖσι τιτθοῖσιν, ἢ ἐν τοῖσιν ἰσχίοισιν, ἢ ἐν τοῖσιν ὀφθαλμοῖσιν, ἢ ἐν τοῖσι γούνασι, καὶ οὐ διαφθείρουσιν.

54 Ὁκόσῃσι τὸ στόμα τῶν ὑστερέων σκληρόν ἐστι, ταύτῃσιν ἀνάγκη τὸ στόμα τῶν ὑστερέων ξυμμύειν.

55 Ὁκόσαι ἐν γαστρὶ ἔχουσαι ὑπὸ πυρετῶν λαμβά-

nec antè concipiunt, quàm graciliores fiant.

Si vterus coxendici incubans ſuppu- 47
ret, emmotorum vlcus fieri neceſſe eſt.

Fœtus qui mares ſunt dextra, fœminæ 48
ſiniſtra magis ſunt.

Vt excludantur ſecundinæ adhibito 49
ſternutatorio, comprimere oportet nares & os.

Si mulieri immoderatiùs fluentia men- 50
ſtrua vis inhibere, quam maximam cucurbitulam ad mammas defigito.

Quæcumque ſunt grauidæ, illis os vte- 51
ri conniuet.

Si cui mulieri grauidæ lactis copia è 52
mammis profluat, infirmum eſſe fœtum ſignificat: ſin autem ſolidæ ſuccique plenæ fuerint mammæ, ſaniorem eſſe fœtum ſignificat.

Quæcumque ſunt abortionem facturæ, 53
iis mammæ extenuantur. Contrà ſi duræ fiant, dolor erit vel in mammis, vel in iſchiis, vel in genibus, nec abortiunt.

Quibuſcumque os vteri durum eſt, id 54
conniuere iis neceſſe eſt.

Quæcumque mulieres grauidæ in fe- 55
bres

λαμβάνονται, καὶ ἰσχνοὶ ἰσχναίνονται αὖθις παρὰ φάσιος φανερῆς, τίκτουσι χαλεπῶς καὶ ἐπικινδύνως· ἢ ἐκτιτρώσκουσαι κινδυνεύουσιν.

56 Ἐπὶ ῥόῳ γυναικείῳ σπασμὸς καὶ λειποθυμίη ἢν ἐπιγένηται, κακόν.

57 Καταμηνίων γινομένων πλειόνων νοῦσοι ξυμβαίνουσι, καὶ μὴ γινομένων ἀπὸ τῆς ὑστέρης ξυμβαίνουσι νοῦσοι.

58 Ἐπὶ ἀρχῷ φλεγμαίνοντι καὶ ἐπὶ ὑστέρῃ φλεγμαινούσῃ, καὶ ἐπὶ νεφροῖσιν ἐμπύοισι στραγγουρίη ἐπιγίνεται. ἐπὶ δὲ ἥπατι φλεγμαίνοντι λὺγξ ἐπιγίνεται.

59 Γυνὴ ἢν μὴ λαμβάνῃ ἐν γαστρὶ, βούλῃ δὲ εἰδέναι εἰ λήψεται, περικαλύψας ἱματίοισι θυμία κάτω, κ' ἢν μὲν πορεύεσθαι σοι δοκέῃ ἡ ὀδμὴ διὰ τοῦ σώματος ἐς τὰς ῥῖνας καὶ ἐς τὸ στόμα, γίνωσκε ὅτι αὐτὴ οὐ δι' ἑωυτὴν ἄγονός ἐστιν.

60 Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ αἱ καθάρσιες πορεύωνται, ἀδύνατον τὸ ἔμβρυον ὑγιαίνειν.

61 Ἢν γυναικὶ καθάρσιες μὴ πορεύωνται, μήτε φρίκης μήτε πυρετοῦ ἐπιγινομένου, ἄσαι δὲ αὐτῇ προσπίπτωσιν, λογίζου ταύτην ἐν γαστρὶ ἔχειν.

62 Ὁκόσαι ψυχρὰς καὶ πυκνὰς τὰς μήτρας ἔχουσι, οὐ κυΐσκουσι· καὶ ὁκόσαι καθύ-

γρους

bres acutas incidunt, ſi vehementer extenuantur, nullâ incidente aliâ, (quàm febris vi) extenuationis causâ, grauior eſt illis, & periculoſior partus: aut certè calamitoſa eſt illis abortio.

Si ad muliebre profluuium, conuulſionis vel defectionis animi acceſſio adiungatur, calamitoſum. 56

Si menſtrua plura fiant, eueniunt morbi; & ſi non fiant vel ſiſtantur, ex vtero morbi eueniunt. 57

Recto inteſtino vel vtero inflammatione obſeſſis, & ſuppurato renum, vrinæ ſtillicidium ſuperuenit. Sin autem hepar ſit inflammatum, ſingultus ſuccedit. 58

Si mulier non concipit: ſcire autem velis num conceptura ſit, circumtectam veſtibus infernè ſuffito, ſi odor per corpus, ad nares, & os viam affectat, ſcias velim & perſuaſum certò habeas ipſam ſuo vitio infœcundam non eſſe. 59

Si mulier grauida ſit menſtrualis, non poteſt fœtus eſſe ſanus. 60

Si mulier non ſit menſtrualis, nec rigor vllus nec febris illi ſuperueniat, ipſa verò in cibi faſtidium incidat, certò ſcito hanc vterum ferre ac grauidam eſſe. 61

Quæcumque frigido & denſo vel compacto ſunt vtero, non concipiunt. Item 62

ψυχρὰς ἔχουσι τὰς μήτρας, οὐ κυΐσκονται. ἀποσβέννυται γὰρ αὐταῖς ὁ γόνος. καὶ ὁκόσαι ξηρὰς μᾶλλον καὶ περικαέας· ἐνδείῃ γὰρ τῆς τροφῆς φθείρεται τὸ σπέρμα. Ὁκόσαι δὲ ἐξ ἀμφοτέρων τὴν κρᾶσιν ἔχουσι σύμμετρον, αἱ τοιαῦται ἐπίτεκνοι γίνονται.

63 Παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἀρρένων. ἢ γὰρ δι' ἀραιότητα τοῦ σώματος τὸ πνεῦμα ἔξω φέρεται, πρὸς τὸ μὴ παραπέμπειν τὸ σπέρμα, ἢ διὰ τὴν πυκνότητα τὸ ὑγρὸν οὐ διαχωρεῖ ἔξω· ἢ διὰ τὴν ψυχρότητα οὐκ ἐκπυροῦται. ὥστε ἀθροίζεσθαι πρὸς τὸν τόπον τοῦτον, ἢ διὰ τὴν θερμασίην τὸ αὐτὸ τοῦτο γίνεται.

64 Γάλα διδόναι κεφαλαλγέουσι, κακόν. κακὸν δὲ καὶ πυρεταίνουσι. καὶ οἷσιν ὑποχόνδρια μετέωρα διαβορβορύζοντα, καὶ τοῖσι διψώδεσι. κακὸν δὲ καὶ οἷσι χολώδεες αἱ διαχωρήσιες, καὶ ἐν τοῖσιν ὀξέσι πυρετοῖσιν ἐοῦσι, καὶ οἷσιν αἵματος πολλοῦ διαχώρησις γέγονεν. Ἁρμόζει δὲ τοῖσι φθινώδεσι μὴ λίην πολλῷ πυρέσσουσι διδόναι γάλα, καὶ ἐν πυρετοῖσι μακροῖσι, καὶ βληχροῖσι, μηδενὸς τῶν προειρημένων σημείων παρεόντος, παρὰ λόγον δὲ ἐκτετηκόσι.

65 Ὁκόσοισιν οἰδήματα ἐφ' ἕλκεσι φαίνεται, οὐ μάλα σπῶνται, οὐδὲ μαίνονται· τουτέων δὲ ἀφανισθέντων ἐξαίφνης, τοῖσι

μὲν ὄπι-

quæ præhumido ſunt vtero non concipiunt: nam iis ſemen genitale extinguitur. tum etiam quæcumque ardenti ſunt vtero & ſicco: nam alimenti inopiâ ſemen corrumpitur. At verò quæcumque ex vtriuſque oppoſitionibus modico & temperato ſunt vtero, huiuſmodi ſanè ſunt fœcundæ.

Par eſt de maribus ratio. aut enim ob corporis raritatem ſpiritus forasfertur, ita vt genituram effundere nequeat; aut propter denſitatem humor foras non exilit: aut ... e frigiditate non incenditur, vt eò loci coaceruari poſſit: aut propter caliditatem id ipſum illi euenit. 63

Lac cephalicis exhibere malum. malum eſt etiam febricitantibus & quibus ſuſpenſa quaſique pendula hypochondria murmurant, & etiam ſiticuloſis. malum eſt etiam quibus billioſa ſecedunt cum febre acuta, & his qui ſanguinis copiam profuderunt. Sed conſentaneum eſt tabidis, modò non admodum febricitent: ſed conuenienter etiam ad diuturnas febres & lentas præſcribitur, ſi nihil eorum quæ dicta ſunt adſint, & ſupra modum extenuatis. 64

Quibuſcumque tumores in plagis apparent, ii non facilè conuulſione tentantur, nec facilè his inſania ſubnaſcitur: ſin autem repentè euaneſcant, iis parte po- 65

μὲν ὄπισθεν σπασμοὶ, ἢ τέτανοι· τοῖσι δὲ ἔμπροσθεν μανίη, ἢ ὀδύναι πλευροῦ ὀξεῖαι, ἢ ἐμπύησις, ἢ δυσεντερίη, ἢν ἐρυθρὰ ᾖ τὰ οἰδήματα.

66 Ἢν τραυμάτων ἰσχυρῶν ἐόντων καὶ πονηρῶν οἴδημά τι μὴ φαίνηται, μέγα κακόν.

67 Τὰ χαῦνα χρηστά, τὰ δὲ ὠμὰ κακά.

68 Τὰ ὄπισθεν τῆς κεφαλῆς ὀδυνωμένῳ, ἡ ἐν μετώπῳ ὀρθὴ φλὲψ τμηθεῖσα, ὠφελεῖ.

69 Ῥίγεα ἄρχεται γυναιξὶ μὲν ἐξ ὀσφύος μᾶλλον καὶ (διὰ νώτου) ἐς κεφαλήν· ἀνδράσι δὲ μᾶλλον ὄπισθεν ἢ ἔμπροσθεν τοῦ σώματος, οἷον ἀπό τε πηχέων καὶ μηρῶν, ἀτὰρ καὶ τὸ δέρμα ἀραιόν· δηλοῖ δὲ τοῦτο ἡ θρίξ.

70 Οἱ ὑπὸ τεταρταίων ἁλισκόμενοι, ὑπὸ σπασμοῦ οὐ πάνυ τι ἁλίσκονται· ἢν δὲ ἁλίσκωνται πρότερον, εἶτα ἐπιγένηται τεταρταῖος, παύονται.

71 Ὁκόσοισι τὰ δέρματα περιτείνεται καρφαλέα καὶ σκληρά, ἄνευ ἱδρῶτος τελευτῶσιν· ὁκόσοισι δὲ χαλαρὰ καὶ ἀραιά, σὺν ἱδρῶτι τελευτῶσιν.

72 Οἱ ἰκτεριώδεες οὐ πάνυ τι πνευματώδεές εἰσιν.

ΙΠΠΟ-

Digitized by Google

ſtica, conuulſiones vel tetani: antica verò, inſania, aut lateris dolores acuti aut ſuppuratum, aut dyſenteria, præſertim ſi fuerint illi tumores rubro ſuffuſi.

Si in vulneribus magnis & malis tumor non appareat, ingens calamitas. 66

Molles & rari, quod ad tumores attinet, boni: crudi verò, mali. 67

Cui poſtica pars capitis dolet, ſecta in fronte recta vena eſt adiumento. 68

Rigores incipiunt mulieribus maximè ex lumbis (& per dorſum) ad caput: viris autem parte poſtica potiùs quàm antica corporis, vt cubitis & femoribus; argumento eſt cutis raritas, quam pilus oſtendit. 69

Qui febris quartanæ dominatu tenentur, haud facilè conuulſione infeſtantur: quodſi antè laborauerint, ſuperueniente quartana, morbo illo defunguntur. 70

Quibus diſtenta eſt cutis rigida & ſicca, ſine ſudore vitâ defunguntur: quibus autem laxa & rara, cum ſudore intereunt. 71

Icterici non admodum ſunt flatulenti. 72

ἹΠΠΟΚΡΆΤΟΥΣ ΚΩ͂ΟΥ ἈΦΟΡΙΣΜΩ͂Ν ἝΚΤΟΝ.

1 Ἐν τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη ἐπιγινομένη, μὴ γενομένη πρότερον, σημεῖον ἀγαθόν.

2 Οἷσι ῥῖνες ὑγρότεραι φύσει καὶ ἡ γονὴ ὑγροτέρη, ὑγιαίνουσι νοσηλότερον· οἷσι δὲ τ' ἀναντία, ὑγιεινότερον.

3 Ἐν τῇσι μακρῇσι δυσεντερίῃσιν αἱ ἀποσιτίαι, κακόν· καὶ σὺν πυρετῷ κάκιον.

4 Τὰ περιμάδαρα ἕλκεα, κακοήθεα.

5 Τῶν ὀδυνέων καὶ ἐν πλευρῇσι, καὶ ἐν στήθεσι, καὶ ἐν τοῖσιν ἄλλοισιν, ἢν μέγα διαφέρωσι, καταμαθητέον.

6 Τὰ νεφριτικὰ καὶ ὁκόσα κατὰ τὴν κύστιν ἀλγήματα, ἐργωδῶς ὑγιάζεται τοῖσι πρεσβύτῃσι.

7 Τὰ ἀλγήματα τὰ κατὰ τὴν κοιλίην γινόμενα, τὰ μὲν μετέωρα κουφότερα· τὰ δὲ μὴ μετέωρα ἰσχυρότερα.

8 Τοῖσιν ὑδρωπικοῖσι τὰ γινόμενα ἕλκεα ἐν τῷ σώματι, οὐ ῥηϊδίως ὑγιάζεται.

Τὰ

HIPPOCRATIS COI APHORISMORVM

LIBER VI.

In diuturnis lienteriis ructus ſi ſuperueniat acidus, qui anteà non extiterat, bonum. 1

Quibus nares naturâ ſunt humidiores & ſemen humidius, ſanitate ſunt morboſiore, viuúntque valetudinarij: at qui contrà ſunt affecti, ſalubriùs degunt. 2

Si diuturnæ dyſenteriæ appetentiæ deiecta acceſſio adiungatur, malum: eóque magis malum ſi febris coniuncta ſit. 3

Vlcera circumglabra, maligna. 4

Inter coſtarum pectoríſque dolores, aliarumque partium quantum interſit, accuratè diſcendum. 5

Renum & veſicæ dolores vix ſanantur ſenioribus. 6

Dolores & tumores in ventre ſublimes quidem minores leuioréſque: non ſublimes verò grauiores. 7

Vlcera hydropicorum vix, imò ne vix curantur. 8

9 Τὰ πλατέα ἐξανθήματα οὐ πάνυ τι κνησμώδεα.

10 Κεφαλὴν πονέοντι καὶ περιωδυνέοντι πῦον, ἢ ὕδωρ, ἢ αἷμα ῥυὲν κατὰ τὰς ῥῖνας ἢ κατὰ τὸ στόμα, ἢ κατὰ τὰ ὦτα, λύει τὸ νόσημα.

11 Τοῖσι μελαγχολικοῖσι καὶ τοῖσι νεφριτικοῖσι αἱμοῤῥοΐδες ἐπιγινόμεναι, ἀγαθόν.

12 Αἱμοῤῥοΐδας ἰηθέντι χρονίας, ἢν μὴ μία φυλαχθῇ, κίνδυνος ὕδρωπα ἐπιγενέσθαι, ἢ φθίσιν.

13 Ὑπὸ λυγμοῦ ἐχομένῳ πταρμοὶ ἐπιγινόμενοι λύουσι τὸν λυγμόν.

14 Ὑπὸ ὕδρωπος ἐχομένῳ τοῦ κατὰ τὰς φλέβας ἐς τὴν κοιλίην ὕδατος ῥυέντος λύσις.

15 Ὑπὸ διαῤῥοίης ἐχομένῳ μακρῆς, ἀπὸ ταυτομάτου ἔμετος ἐπιγενόμενος λύει τὴν διάῤῥοιαν.

16 Ὑπὸ πλευρίτιδος ἢ ὑπὸ περιπνευμονίης ἐχομένῳ, διάῤῥοια ἐπιγινομένη, κακόν.

17 Ὀφθαλμιῶντα ὑπὸ διαῤῥοίης ληφθῆναι ἀγαθόν.

18 Κύστιν διακοπέντι ἢ ἐγκέφαλον, ἢ καρδίην, ἢ φρένας, ἢ τῶν ἐντέρων τι τῶν λεπτῶν, ἢ κοιλίην, ἢ ἧπαρ, θανατῶδες.

19 Ἐπὴν διακοπῇ ὀστέον, ἢ χόνδρος, ἢ νεῦρον, ἢ γνάθου τὸ λεπτὸν, ἢ ἀκροποσθίη, οὔτε αὔξεται, οὔτε ξυμφύεται.

Puſtulæ latæ minùs pruriunt. 9

Ex capite dolenti & vehementer, effuſione puris, vel aquæ vel ſanguinis è naribus aut ore, vel auribus, ſolet morbus ſolui. 10

Melancholicis & nephriticis hæmorrhoides ſuperuenientes, bono ſunt. 11

Si quis hæmorrhoïdas diuturnas ſiſtere velit, niſi vna ſuere ſinatur, hydropis vel tabis metum adfert. 12

Singultui implicito ſternutatio ſuperueniens, ſingultu liberat. 13

Hydropicis ſi aqua è venis in ventrem influxerit, ſoluit morbum. 14

In longa diarrhœa, vomitus vltrò obortus diarrhœam ſiſtit. 15

A pleuritide & peripneumonia vehementer afflicto ſi diarrhœa ſuperuenerit, malum. 16

Oculis ex inflammatione laborantes diarrhœa corripi, bonum. 17

Veſica pertuſa, aut cerebro, corde, diaphragmate, tenui inteſtino, ventriculo, hepate, mortiferum. 18

Vbi præciſum eſt os, aut cartilago, vel neruus, aut genæ pars tenuis, vel præputium, neque augeſcit iterum, neque coaleſcit. 19

Si

20 Ἢν ἐς τὴν κοιλίην αἷμα χυθῇ παρὰ φύσιν, ἀνάγκη ἐκπυηθῆναι.

21 Τοῖσι μαινομένοισι κιρσῶν ἢ αἱμορροΐδων ἐπιγινομένων, τῆς μανίης λύσις.

22 Ὁκόσα ῥήγματα ἐκ τοῦ νώτου ἐς τοὺς ἀγκῶνας καταβαίνει, φλεβοτομίη λύει.

23 Ἢν φόβος καὶ δυσθυμίη πολὺν χρόνον διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτον.

24 Ἐντέρων ἢν διακοπῇ τῶν λεπτῶν τι, οὐ ξυμφύεται.

25 Ἐρυσίπελας ἔξωθεν ἔσω τρέπεσθαι, οὐκ ἀγαθόν· ἔσωθεν δὲ ἔξω, ἀγαθόν.

26 Ὁκόσοισιν ἂν ἐν τοῖσι καύσοισι τρόμοι γίνονται, παρακοπὴ λύει.

27 Ὁκόσοι ἔμπυοι ἢ ὑδρωπικοὶ καίονται ἢ τέμνονται, ἐκρυέντος τοῦ πύου ἢ τοῦ ὕδατος ἀθρόου, πάντως ἀπόλλυνται.

28 Εὐνοῦχοι οὐ ποδαγριῶσιν, οὐδὲ φαλακροὶ γίνονται.

29 Γυνὴ οὐ ποδαγριᾷ, ἢν μὴ τὰ καταμήνια αὐτέης ἐκλείπῃ.

30 Παῖς οὐ ποδαγριᾷ πρὸ τοῦ ἀφροδισιασμοῦ.

31 Ὀδύνας ὀφθαλμῶν ἀκρητοποσίη, ἢ λουτρὸν, ἢ πυρίη, ἢ φλεβοτομίη, ἢ φαρμακείη λύει.

32 Τραυλοὶ ὑπὸ διαρροίης μάλιστα ἁλίσκονται μακρῆς.

Οἱ ὀξυ-

Si ſanguis in ventrem effuſus fuerit 20 præter naturam; neceſſe eſt vt ſuppuretur.

Inſanientibus ſi varices ſuperueniant 21 aut hæmorrhoïdes, inſaniam ſoluunt.

Ruptiones quæ à dorſo ad cubitum ſe- 22 runtur, venæ ſectio ſoluit.

Si metus cum triſtitia perſeuerent lon- 23 go tempore, melancholicum hoc eſt.

Si quod gracile inteſtinum perſectum 24 ſit, non coaleſcit.

Eryſipelas foris intrò verti, malum: 25 intus verò foras, bonum.

Quibuſcumque ex cauſo laborantibus 26 tremores gignuntur, delirium hos ſoluit.

Quicumque empyi vel hydropici vrun- 27 tur aut ſecantur, ſi pus aut aqua vniuerſim effluxerit, certò moriuntur.

Eunuchi ex podagra non laborant, nec 28 fiunt calui.

Mulier ex podagra non laborat, niſi 29 menſtrua illi deficiant.

Puer ex podagra non laborat ante- 30 quam venerem exercuerit.

Dolores oculorum vini potus, vel bal- 31 neum, aut fotus, vel phlebotomia, vel pharmacia ſoluit.

Linguâ titubantes diarrhœis diutur- 32 nis plerumque implicantur.

Acidum

33 Οἱ ὀξυρεγμιώδεες οὐ πάνυ τι πλευριτικοὶ γίνονται.

34 Ὁκόσοι φαλακροὶ, τουτέοισι κιρσοὶ μεγάλοι οὐ γίνονται· ὁκόσοισι δ' ἂν φαλακροῖσιν ἐοῦσι κιρσοὶ ἐπιγένωνται, πάλιν οὗτοι γίνονται δασέες.

35 Τοῖσιν ὑδρωπικοῖσι βὴξ ἐπιγινομένη κακόν.

36 Δυσουρίην φλεβοτομίη λύει· τάμνειν δὲ τὰς εἴσω.

37 Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα γίνεσθαι ἐν τῷ τραχήλῳ, ἀγαθόν· ἔξω γὰρ τρέπεται τὸ νόσημα.

38 Ὁκόσοισι κρυπτοὶ καρκῖνοι γίνονται, μὴ θεραπεύειν βέλτιον· θεραπευόμενοι γὰρ ἀπόλλυνται ταχέως· μὴ θεραπευόμενοι δὲ, πλείω χρόνον διατελέουσι.

39 Σπασμὸς γίνεται ἢ ὑπὸ πληρώσιος, ἢ κενώσιος· οὕτω δὲ καὶ λυγμός.

40 Ὁκόσοισι περὶ τὸ ὑποχόνδριον πόνοι γίνονται ἄτερ φλεγμονῆς, τουτέοισι πυρετὸς ἐπιγενόμενος λύει τὸν πόνον.

41 Ὁκόσοισι διάπυόν τι ἐὸν ἐν τῷ σώματι μὴ ἐπισημαίνει, τουτέοισι διὰ παχύτητα τοῦ πύου, ἢ τοῦ τόπου, οὐκ ἐπισημαίνει.

42 Ἐν τοῖσιν ἰκτερικοῖσι τὸ ἧπαρ σκληρὸν γενέσθαι, πονηρόν.

43 Ὁκόσοι σπληνώδεες ὑπὸ δυσεντερίης ἁλίσκονται, τουτέοισιν ἐπιγενομένης μακρῆς

τῆς

Acidum qui eructant non ſunt pleuri- 33
tidi obnoxij.

Qui calui fiunt, his varices magni non 34
eueniunt: quibus verò caluis varices ſu-
perueniunt, ij rurſus comantur.

Tuſſis ſi hydropicis ſuperueniat, ma- 35
lum.

Vrinæ difficultatem dolorificam ſoluit 36
plebotomia: ſecare autem oportet inter-
nas venas.

Anginâ detento ſi tumor appareat in 37
collo, bonum: nam foras vertitur mor-
bus.

Quibus cancri occulti naſcuntur, non 38
curari præſtat: curati enim ſubitò inter-
eunt; non curati verò diutiùs viuunt.

Conuulſio naſcitur vel à plenitudine 39
vel ab inanitione: eodem etiam modo
ſingultus.

Quibuſcumque dolor ſine hypochon- 40
driorum inflammatione excitatur, his fe-
bris ſuperueniens dolorem ſoluit.

Quibus pus in corpore nullam de ſe 41
notam præbet, ob ſui craſſitudinem, aut
loci, non ſe prodit.

Ex ictero laborantibus, iecur durum 42
fieri, malum.

Qui ſplenetici à dyſenteria corripiun- 43

Digitized by Google

τῆς δυσεντερίης, ὕδρωψ ἐπιγίνεται, ἢ λειεντερίη καὶ ἀπόλλυνται.

44 Ὁκόσοισιν ἐν τραχηλείῃσιν εἰλεὸς, ἐν ἑπτὰ ἡμέρῃσιν ἀπόλλυνται, ἢν μὴ πυρετοῦ ἐπιγενομένου ἅλις τὸ οὖρον ῥυῇ.

45 Ἕλκεα ὁκόσα ἐνιαύσια γίνεται, ἢ μακρότερον χρόνον ἴσχουσιν, ἀνάγκη ὀστέον ἀφίστασθαι, καὶ τὰς οὐλὰς κοίλας γίνεσθαι.

46 Ὁκόσοι ὑβοὶ ἐξ ἄσθματος ἢ βηχὸς γίνονται πρὸ τῆς ἥβης, ἀπόλλυνται.

47 Ὁκόσοισι φλεβοτομίη ἢ φαρμακείη ξυμφέρει, τούτους προσήκει τοῦ ἦρος φλεβοτομεῖν, ἢ φαρμακεύειν.

48 Τοῖσι σπληνώδεσι δυσεντερίη ἐπιγενομένη, ἀγαθόν.

49 Ὁκόσα ποδαγρικὰ νοσήματα γίνεται, ταῦτα ἀποφλεγμήναντα ἐν τεσσαράκοντα ἡμέρῃσιν, ἀποκαθίσταται.

50 Ὁκόσοισιν ἂν ὁ ἐγκέφαλος διακοπῇ, τούτοισιν ἀνάγκη πυρετὸν καὶ χολῆς ἔμετον ἐπιγίνεσθαι.

51 Ὁκόσοισιν ὑγιαίνουσιν ὀδύναι γίνονται ἐξαίφνης ἐν τῇ κεφαλῇ, καὶ παραχρῆμα ἄφωνοι γίνονται καὶ ῥέγχουσιν, ἀπόλλυνται ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μὴ πυρετὸς ἐπιλάβῃ.

52 Σκοπεῖν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν. ἢν γάρ τι

ὑπο-

tur, eáque ſi longa fuerit, his hydrops vel lienteria ſuperuenit,& moriuntur.

Quibus à ſtranguria fit ileos, ſeptem diebus pereunt, niſi ſuperueniente febre copioſa vrina fluxerit. 44

Vlcera annua vel inueterata ſi fuerint, os abſcedere neceſſarium eſt, & cicatrices cauas fieri. 45

Qui gibboſi fiunt ex aſthmate vel tuſſi ante pubertatem, moriuntur. 46

Quibus phlebotomia aut pharmacia profutura eſt, his Vere pertundenda vena eſt, aut corpus purgandum. 47

Splenicis dyſenteria ſuperueniens, ſalutaris eſt. 48

Qui podagrici morbi eueniunt, ſedata phlegmone intra quadraginta dies, quieſcunt. 49

Quibus præciditur cerebrum, his febrem & bilioſum vomitum ſuperuenire eſt neceſſe. 50

Quibus ſanis dolores ſubitò fiunt in capite, ſi ſubitò obmuteſcunt & ſtertunt, intra ſeptem dies moriuntur, niſi febris ſuperuenerit. 51

Quin etiam in ſomnis animaduertere oportet num quid de oculis appareat. 52

ὑποφαίνηται ξυμβαλλομένων τῶν βλεφάρων ἐκ τοῦ λευκοῦ, μὴ ἐκ διαῤῥοίης ἐόντι ἢ ἐκ φαρμακοποσίης, φλαῦρον τὸ σημεῖον, καὶ θανατῶδες σφόδρα.

53 Αἱ παραφροσύναι αἱ μὲν μετὰ γέλωτος γινόμεναι, ἀσφαλέστεραι, αἱ δὲ μετὰ σπουδῆς, ἐπισφαλέστεραι.

54 Ἐν τοῖσιν ὀξέσι πάθεσι τοῖσι μετὰ πυρετοῦ αἱ κλαυθμώδεες ἀναπνοαὶ, κακαί.

55 Τὰ ποδαγρικὰ τοῦ ἦρος καὶ τοῦ φθινοπώρου κινέεται ὡς ἐπὶ τὸ πολύ.

56 Τοῖσι μελαγχολικοῖσι νοσήμασιν ἐς τάδε ἐπικίνδυνοι αἱ ἀποσκήψιες, ἢ ἀπόπληξιν τοῦ σώματος, ἢ σπασμὸν, ἢ μανίην, ἢ τύφλωσιν σημαίνει.

57 Ἀπόπληκτοι δὲ μάλιστα γίνονται ἡλικίῃ τῇ ἀπὸ τεσσαράκοντα ἐτέων ἄχρις ἑξήκοντα.

58 Ἢν ἐπίπλοον ἐκπέσῃ, ἀνάγκη ἀποσαπῆναι.

59 Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισι χρονίης ἐξίσταται τὸ ἰσχίον, καὶ πάλιν ἐμπίπτει, τουτέοισι μύξαι ἐπιγίνονται.

60 Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισι χρονίης, τὸ ἰσχίον ἐξίσταται, τουτέοισι τήκεται τὸ σκέλος, καὶ χωλοῦνται, ἢν μὴ καυθῶσιν.

nam ſi quid apparet albi, non exactè clauſis palpebris, ſi non id euenerit ex præcedente diarrhœa aut pharmaci potu, malum & lethale.

Delirium cum riſu obortum, minùs 53 periculoſum: quod verò cum ſtudio iungitur, minùs tutum.

Luctuoſa ſuſpiria cùm febre coniun- 54 *cta in morbis acutis, mala.*

Podagrici morbi verno & autumnali 55 tempore maximè excitantur.

Morbis ex melancholia ortis malè & 56 periculosè ad hæc membra fit metaſtaſis, vnde fit apoplexia corporis, vel ſpaſmus, vel mania, aut cæcitas.

Apoplexiæ maximè fiunt à quadrage- 57 ſimo ætatis anno ad ſexageſimum.

Cùm omentum excidit, neceſſariò pu- 58 treſcit.

Quibus diuturnis coxendicis dolori- 59 bus implicitis caput femoris coxâ excidit, rurſumque recidit, ijs muccus ibi congeritur.

Si dolor coxarius fuerit diuturnus, ac 60 tum his ſi caput femoris coxâ excidit, his crus extenuatur, & claudicant niſi vrantur.

ΥΠΠΟΚΡΑΤΟΥΣ ΚΩΟΥ ΑΦΟΡΙΣΜΩΝ

ΕΒΔΟΜΟΝ.

1 Ἐν τοῖσιν ὀξέσι νοσήμασι ψύξις ἀκρωτηρίων, κακόν.

2 Ἐπὶ ὀστέῳ νοσέοντι σὰρξ πελιδνὴ, κακόν.

3 Ἐπὶ ἐμέτῳ λὺγξ καὶ ὀφθαλμοὶ ἐρυθροὶ, κακόν.

4 Ἐπὶ ἱδρῶτι φρίκη, οὐ χρηστόν.

5 Ἐπὶ μανίῃ δυσεντερίη, ἢ ὕδρωψ, ἢ ἔκστασις, ἀγαθόν.

6 Ἐπὶ νόσῳ πολυχρονίῃ ἀποσιτίη καὶ ἄκρητοι ὑποχωρήσιες, κακόν.

7 Ἐκ πολυποσίης ῥῖγος καὶ παραφροσύνη, κακόν.

8 Ἐπὶ φύματος ἔσω ῥήξει, ἔκλυσις, ἔμετος, καὶ λειποψυχίη γίνεται.

9 Ἐπὶ αἵματος ῥύσει παραφροσύνη, ἢ καὶ σπασμὸς, κακόν.

10 Ἐπὶ εἰλεῷ ἔμετος, ἢ λὺγξ, ἢ σπασμὸς, ἢ παραφροσύνη, κακόν.

11 Ἐπὶ πλευρίτιδι περιπνευμονίη, κακόν.

Ἐπὶ

HIPPOCRATIS COI APHORISMORVM

LIBER VII.

IN acutis morbis partium extremarum frigus, malum. 1

Caro liuida ſi circum os fuerit, malum. 2

Singultus & oculorum rubor ſi vomitui ſuperueniant, malum. 3

Horror ſudori ſuperueniens, non bonum. 4

Maniæ ſi dyſenteria, vel hydrops, aut extaſis ſuperueniat, bonum. 5

Morbo diuturno inappetentia & alui meraca deiectio ſi ſuperuenerit, malum. 6

Ex largiore potu rigor & delirium, malum. 7

A tumoris intus ruptione, exolutio, vomitus & animi defectus gignitur. 8

Hæmorrhagiæ ſi delirium aut vnâ ſi conuulſio ſuperuenerit, malum. 9

Ab ileo vomitus, vel ſingultus, vel ſpaſmus, aut delirium, malum. 10

Pleuritidi ſuperueniens peripneumonia, malum. 11

12 Ἐπὶ περιπλευμονίῃ φρενῖτις, κακόν.

13 Ἐπὶ καύμασιν ἰσχυροῖσι σπασμὸς ἢ τέτανος, κακόν.

14 Ἐπὶ πληγῇ ἐς τὴν κεφαλὴν ἔκπληξις, ἢ παραφροσύνη, κακόν.

15 Ἐπὶ αἵματος πτύσει, πύου πτύσις, κακόν.

16 Ἐπὶ πύου πτύσει φθίσις καὶ ῥύσις. ἐπὴν δὲ τὸ πτύελον ἴσχηται, ἀποθνήσκουσιν.

17 Ἐπὶ φλεγμονῇ τοῦ ἥπατος λύγξ, κακόν.

18 Ἐπὶ ἀγρυπνίῃ σπασμὸς, ἢ παραφροσύνη, κακόν.

19 Ἐπὶ ὀστέου ψιλώσει ἐρυσίπελας, κακόν.

20 Ἐπὶ ἐρυσιπέλατι σηπεδὼν, ἢ ἐκπύησις, κακόν.

21 Ἐπὶ ἰσχυρῷ σφυγμῷ ἐν τοῖσιν ἕλκεσιν αἱμοῤῥαγίη, κακόν.

22 Ἐπὶ ὀδύνῃ πολυχρονίῃ τῶν περὶ τὴν κοιλίην ἐκπύησις.

23 Ἐπὶ ἀκρήτῳ ὑποχωρήσει δυσεντερίη, κακόν.

24 Ἐπὶ ὀστέου διακοπῇ παραφροσύνη, ἢν κενεὸν λάβῃ.

25 Ἐκ φαρμακοποσίης σπασμὸς, θανατῶδες.

26 Ἐπὶ ὀδύνῃ ἰσχυρῇ τῶν περὶ τὴν κοιλίην ἀκρωτηρίων ψύξις, κακόν.

Γυναι-

Peripneumoniæ ſi ſuperuenerit phre- 12
nitis, malum.

Ingentibus ardoribus ſuperueniens 13
ſpaſmus, vel tetanus, malum.

Plagæ in capite acceptæ, ſtupor aut 14
delirium ſi ſuperuenerit, malum.

Sanguinis ſputo ſi ſuperuenerit puris 15
expectoratio, malum.

A puris expectorato phthiſis & fluxio. 16
poſtquam verò expectoratum retentum
fuerit, moriuntur.

Inflammationi hepatis ſi ſuperuenerit 17
ſingultus, malum.

Vigiliis ſi conuulſio aut delirium ſu- 18
peruenerit, malum.

Oſſi nudato ſi ſuperuenerit eryſipelas, 19
malum.

Eryſipelati ſi ſuperuenerit putredo, 20
aut ſuppuratio, malum.

Fortiin vlceribus pulſui ſi hæmorrha- 21
gia ſuperuenerit, malum.

Diuturno partium aluinarum dolori 22
ſuppuratio ſuperuenit.

Sinceræ deiectioni dyſenteria ſi ſuper- 23
uenerit, malum.

Oſſis vulneri, ſi in vacuum vſque ſpa- 24
cium peruaſerit, delirium ſuperuenit.

Ex pharmaci potione ſpaſmus, morti- 25
ferum.

Si acerbiſſimo partium ad ventrem 26
pertinentium dolori ſuperuenerit frigus
extremarum, malum.

Si

27 Γυναικὶ ἐν γάστρι ἐχούσῃ τεινεσμὸς ἐπιγινόμενος, ἐκτρῶσαι ποιέει.

28 Ὅτι ἂν ὀστέον ἢ χόνδρος, ἢ νεῦρον ἀποκοπῇ ἐν τῷ σώματι, οὔτε αὔξεται, οὔτε συμφύεται.

29 Ἢν ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ διάῤῥοια ἐπιγένηται ἰσχυρὴ, λύει τὴν νοῦσον.

30 Ὁκόσοισιν ἀφρώδεα τὰ διαχωρήματα ἐν τῇσι διαῤῥοίῃσι, τουτέοισιν ἀπὸ τῆς κεφαλῆς ταῦτα καταῤῥεῖ.

31 Ὁκόσοισι πυρεσσουσιν ἐν τοῖσι οὔροισι κριμνώδεες αἱ ὑποστάσιες γίνονται, μακρὴν τὴν ἀῤῥωστίην σημαίνουσι.

32 Ὁκόσοισι δὲ χολώδεες αἱ ὑποστάσιες, ἄνωθεν δὲ λεπταὶ, ὀξεῖην ἀῤῥωστίην σημαίνει.

33 Ὁκόσοισι δὲ διεστηκότα τὰ οὖρα γίνεται, τουτέοισι ταραχὴ ἰσχυρὴ ἐν τῷ σώματι ἐστίν.

34 Ὁκόσοισιν ἐν τοῖσιν οὔροισιν ἐφίστανται πομφόλυγες, νεφριτικὰ σημαίνουσι, καὶ μακρὴν τὴν ἀῤῥωστίην ἔσεσθαι.

35 Ὁκόσοισι λιπαρὴ ἡ ἐπίστασις καὶ ἀθρόη, τουτέοισι νεφριτικὰ καὶ ὀξέα σημαίνει.

36 Ὁκόσοισι δὲ νεφριτικοῖσιν ἐοῦσι τὰ προειρημένα συμβαίνει σημεῖα, πόνοι τε περὶ τοὺς μύας τοὺς ῥαχιαίους γίνονται, ἢν μὲν περὶ τοὺς ἔξω τόπους γίνωνται, ἀπόστημα προσ-

δέχου

27 Si ingrauidatæ mulieri teneſmus ſuperuenerit, abortire eam facit.

28 Si os vel cartilago, ſiue neruus ſectus fuerit in corpore, neque augetur, neque coaleſcit.

29 Si leucophlegmatiæ implicito valida diarrhœa ſuperuenerit, morbum ſoluit.

30 Quibuſcumque per diarrhœas ſpumoſa feruntur alui excrementa, his ex capite effluunt talia.

31 Quibus febricitantibus in vrinis hypoſtaſes craſſiorem farinam referunt, diuturnam inualetudinem denunciant.

32 Quibus billioſæ ſunt hypoſtaſes, ſed ſuprà quidem tenues, acutum morbum denunciant.

33 Qui varia ac diuulſa profundunt lotia, his valida perturbatio fit in corpore.

34 Quibus bullæ in vrinis natant, nephritica mala, diuturnámque inualetudinem ſignificat.

35 Quibus in vrina pinguis ſuperficies eſt, & plurima confertim micta, his nephritica & vehementia mala adeſſe denunciat.

36 Si autem ex renibus laborantibus adfuerint prædicta iam ſigna, & dolores excitentur circa ſpinæ muſculos, ſi ad partes quæ foris ſunt percipiantur, apo-

ſtema

δέχει ἰσούμενον ἔξω· ἢν δὲ μᾶλλον αἱ ἀποστάσιες πρὸς τὸ εἴσω πιέσιος γίνωνται, καὶ τὸ ἀπόστημα προσδέχει ἰσούμενον μᾶλλον εἴσω.

37 Ὁκόσοι αἷμα ἐμέουσιν, ἢν μὲν ἄνευ πυρετοῦ, σωτήριον· ἢν δὲ ξὺν πυρετῷ, κακόν. Θεραπεύειν δὲ τοῖσι ψυκτικοῖσι, καὶ τοῖσι στυπτικοῖσι.

38 Κατάῤῥοι ἐς τὴν ἄνω κοιλίην ἐκπυοῦνται ἐν ἡμέρῃσιν εἴκοσιν.

39 Ἢν οὐρέῃ αἷμα καὶ θρόμβους, καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸ περίναιον, καὶ τὸ ὑπογάστριον, καὶ τὸν κτένα, τὰ περὶ τὴν κύστιν νοσέειν σημαίνει.

40 Ἢν ἡ γλῶσσα ἐξαίφνης ἀκρατὴς γένηται, ἢ ἀπόπληκτόν τι τοῦ σώματος, μελαγχολικὸν τὸ τοιοῦτον γίνεται.

41 Ἢν ὑπερκαθαιρομένων τῶν πρεσβυτέρων λὺγξ ἐπιγένηται, οὐκ ἀγαθόν.

42 Ἢν πυρετὸς μὴ ἀπὸ χολῆς ἔχῃ, ὕδατος πολλοῦ καὶ θερμοῦ καταχεομένου ἐπὶ τῆς κεφαλῆς, λύσις τοῦ πυρετοῦ γίνεται.

43 Γυνὴ ἀμφιδέξιος οὐ γίνεται.

44 Ὁκόσοι ἔμπυοι καίονται ἢ τέμνονται, ἢν μὲν τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκόν, περιγίνονται· ἢν δὲ ὕφαιμον καὶ βορβορώδες καὶ δυσῶδες, ἀπόλλυνται.

45 Ὁκόσοι τὸ ἧπαρ διάπυον καίονται, ἢν μὲν τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκὸν, περιγίνονται.

ſtema foras expecta : quòd ſi dolores intrò magis vergant, intùs potiùs expectandum apoſtema.

Qui ſanguinem euomunt febris expertes, ſalutare eſt : verùm ſi cum febre, malum. Remediari oportet frigidis & adſtringentibus. 37

Catarrhi defluentes in ſuperiorem ventrem ad ſuppurationem veniunt intra dies viginti. 38

Si ſanguinem & grumos mingat non abſque ſtranguria, dolórque ſi incidat in perinæum & hypogaſtrium, & pectinem, ſignificatio inde ſit parteſque quæ ad veſicam pertinent ægrotare. 39

Si ſubitò lingua impotens reddatur, vel aliqua corporis pars perplexa ſtupeat, planè id melancholicum eſt. 40

Si ſenibus ſuperpurgatione exhauſtis ſingultus ſuperuenerit, minimè bonum. 41

Si febris non ex bile nata fuit, plurima aqua calida capiti ſuperfuſa, febris ſolutionem adfert. 42

Mulier ambidextra non fit. 43

Si empyis cùm vruntur aut ſecantur purum & album pus effluat, ſani euadunt. Sin ſubcruentum & cœnoſum & fœtidum, moriuntur. 44

Quibus purulentum iecur aduritur, ſi pus purum ac album effluxerit, ſuper- 45

γίνονται· ἐν χιτῶνι γὰρ τὸ πύον τουτέοισιν ἐστὶν· ἢν δὲ οἷον ἀμόργη ῥυῇ, ἀπόλλυνται.

46 Ὀδύνας ὀφθαλμῶν ἄκρητον ποτίσας καὶ λούσας πολλῷ θερμῷ, φλεβοτόμει.

47 Ὑδρωπιῶντα ἢν βὴξ ἔχῃ, ἀνέλπιστός ἐστιν.

48 Στραγγουρίην καὶ δυσουρίην θώρηξις καὶ φλεβοτομίη λύει· τάμνειν δὲ τὰς εἴσω φλέβας.

49 Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα καὶ ἐρύθημα ἐν τῷ στήθει ἐπιγινόμενον, ἀγαθόν. ἔξω γὰρ τρέπεται τὸ νόσημα.

50 Ὁκόσοισιν ἂν σφακελισθῇ ὁ ἐγκέφαλος, ἐν τρισὶν ἡμέρῃσιν ἀπόλλυνται. ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται.

51 Πταρμὸς γίνεται ἐκ τῆς κεφαλῆς, διαθερμαινομένου τοῦ ἐγκεφάλου, ἢ διϋγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ· ὑπερχεῖται γὰρ ὁ ἀὴρ ὁ ἐνεὼν ἔξω· ψοφεῖ δὲ, ὅτι διὰ στενοῦ ἡ διέξοδος αὐτῷ ἐστιν.

52 Ὁκόσοισιν ἧπαρ περιοδυνᾶται, τουτέοισι πυρετὸς ἐπιγινόμενος λύει τὴν ὀδύνην.

53 Ὁκόσοισι συμφέρει αἷμα ἀφαιρέεσθαι ἀπὸ τῶν φλεβῶν, τουτέοισι χρὴ ἦρος φλεβοτομέεσθαι.

54 Ὁκόσοισι μεταξὺ τῶν φρενῶν καὶ τῆς γαστρὸς φλέγμα ἀποκλείεται, καὶ ὀδύνην παρέχει οὐκ ἔχον διέξοδον εἰς οὐδετέρην τῶν

κοιλιῶν,

ſitos euadunt: his enim membranâ pus continetur: ſin verò qualis amurca profluat, moriuntur.

Dolores oculorum poſt meraci vini potum, & aquæ calentis balneum, venæ ſectione curato. 46

Si tuſſis hydropicum inuoluerit, extra ſpem eſt. 47

Stranguriam & dyſuriam thorexis & venæ ſectio ſoluit: incidendæ autem ſunt internæ. 48

Anginæ implicito ſi tumor & rubor in thorace ſuperuenerit, bonum. foras enim ſe conuertit morbus. 49

Quibus cerebrum ſphacelo afflictum eſt, intra triduum pereunt. Si verò hos ſuperuenerint, ſani fiunt. 50

Sternutamentum fit ex capite, calefacto cerebro, aut humectato ſpacio in capite inani: aër enim intus contentus foras effunditur, ſtrepit autem quia per anguſtum ipſi eſt exitus. 51

Quibus hepar admodum dolet, iis febris ſuperueniens ſoluit dolorem. 52

Quibus ſanguis è venis eſt auferendus, his Vere pertundenda eſt vena. 53

Quibus inter diaphragma & ventriculum pituita intercluditur, & dolorem adfert, in alterutrum ventrem viam non 54

κοιλιῶν, τουτέοισι κατὰ τὰς φλέβας εἰς τὴν κύστιν ῥαγέντος τοῦ φλέγματος, λύσις γίνεται τῆς νούσου.

55 Ὁκόσοισι αἱ τὸ ἧπαρ ὕδατος πλησθὲν εἰς τὸ ἐπίπλοον ῥαγῇ, τουτέοισιν ἡ κοιλίη ὕδατος ἐμπιμπλᾶται, καὶ ἀποθνήσκουσιν.

56 Ἀλύκη, χασμὴ, φρίκη, οἶνος ἴσος ἴσῳ πινόμενος, λύει τὴν νοῦσον.

57 Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φῦμα γίνεται, τουτέοισι διαπυήσαντος, καὶ ἐκραγέντος, λύεται ὁ πόνος.

58 Ὁκόσοισι δ' ἂν ὁ ἐγκέφαλος σεισθῇ ὑπό τινος προφάσιος, ἀνάγκη ἀφώνους γενέσθαι παραχρῆμα.

59 Τοῖσι σώμασι τοῖσιν ὑγρὰς τὰς σάρκας ἔχουσι, δεῖ λιμὸν ἐμποιέειν· λιμὸς γὰρ ξηραίνει τὰ σώματα.

60 Ὅκου αἱ ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ, καὶ τὸ σῶμα καταψύχηται, καὶ πάλιν θερμαίνηται, ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου μεταβάλλῃ, μῆκος νούσου σημαίνει.

61 Ἱδρὼς πολὺς, θερμὸς ἢ ψυχρὸς, ῥέων αἰεὶ, σημαίνει ἔχειν πλησμονὴν ὑγροῦ. ἀπάγειν οὖν χρὴ τῷ μὲν ἰσχυρῷ ἄνωθεν, τῷ δὲ ἀσθενεῖ κάτωθεν.

62 Ἤν τις τῷ πυρέσσοντι τροφὴν διδῷ, τῷ μὲν ὑγιαίνοντι, ἰσχύς· τῷ δὲ κάμνοντι, νοῦσος.

63 Τὰ διὰ τῆς κύστιος διαχωρέοντα ὁρᾷν δεῖ, εἰ οἷα τοῖς ὑγιαίνουσιν ὑποχωρέεται· τὰ

ἥκιστα

habens, iis per venas in veſicam verſâ pituitâ, morbi ſit ſolutio.

Quibus hepar refertum aquâ erupit in omentum, his venter aquâ impletur, atque moriuntur. 55

Iactatio, oſcitatio, horror, vinum potum pari aquæ remixtum, ſoluit morbum. 56

Quibus in vrinario meatu naſcitur tuberculum, his cùm ſuppuratur ac eruperit, dolor ſoluitur. 57

Quibus ab externa aliqua cauſa validè concuſſum fuerit cerebrum, hos protinùs mutos fieri neceſſe eſt. 58

Corporibus præhumida carne præditis fames imperanda eſt: fames enim exiccat corpora. 59

Vbi toto corpore frequens mutatio incidit, ita vt corpus modò refrigeretur, modóque incaleſcat, aut colorem alium ex alio mutet, diuturnitatem morbi arguit. 60

Sudor multus calidus frigidúſve perpetuò fluens, humiditatem in robuſto quidem supernè, imbecillo verò infernè vacuandam eſſe demonſtrat. 61

Si quis febricitanti cibum dederit quem ſano exhibet, valenti robur; ægrotanti morbus fit. 62

Quæ per veſicam meant, ſpectare oportet, an talia ſunt, qualia ſecunda valetu- 63

ἥκιστα οἷον ὅμοια τουτέοισι, ταῦτα νοσω-
δέστερα. τὰ δὲ ὅμοια πᾶσιν ὑγιαίνουσιν, ἥκι-
στα νοσερά.

64 Καὶ ὅσοισι τὰ ὑποχωρήματα, ἢν ἐάσῃς
στῆναι, καὶ μὴ κινήσῃς, οἷον ὑφίσταται ξύσ-
ματα· καὶ ἢν ὀλίγα ᾖ, ὀλίγη ἡ νοῦσος γίνε-
ται· ἢν δὲ πολλά, πολλή· τουτέοισι ξυμ-
φέρει ὑποκαθῆραι τὴν κοιλίην· ἢν δὲ μὴ
καθαρὴν ποιήσας διδῷς τὰ ῥοφήματα,
ὁκόσα ἂν πλείω διδῷς, μᾶλλον βλάψεις.

65 Αἱ ἀποχρέμψιες αἱ ἐν τοῖσι πυρετοῖσι
τοῖσι μὴ διαλείπουσιν αἱ πελιδναὶ καὶ αἱ-
ματώδεες, καὶ χολώδεες, καὶ δυσώδεες, πᾶ-
σαι κακαί· ἀποχωρέουσαι δὲ καλῶς, ἀγα-
θαί. καὶ κατὰ κοιλίην, καὶ κύστιν· καὶ ὅκου ἄν τι
ἀποχωρέον στῇ μὴ κεκαθαρμένον, κακόν.

66 Τὰ σώματα χρὴ ὅκου τις βούλεται κα-
θαίρειν, εὔροα ποιέειν· κἢν μὲν ἄνω βούλη-
ται εὔροα ποιέειν, στῆσαι τὴν κοιλίην·
ἢν δὲ κάτω, ὑγραίνειν.

67 Ὕπνος, ἀγρυπνίη, ἀμφότερα μᾶλλον τοῦ
68 μετρίου γινόμενα, νοῦσος.

69 * * (νεται.

70 Ἐπὶ λευκῷ φλέγματι ὕδρωψ ἐπιγί-

71 Ἐπὶ διαῤῥοίῃ, δυσεντερίη.

72 Ἐπὶ δυσεντερίῃ λειεντερίη ἐπιγίνεται.

73 Ἐπὶ σφακελισμῷ, ἀπόστασις ὀστέου.

74 Ἐπὶ αἵματος ἐμέτῳ φθόη καὶ τοῦ πύου
κάθαρ-

dine ſubeunt. Nam quæ his minimè ſunt ſimilia, inſalubriora, quæ verò ſanis ſimiliora, minimè inſalubria.

Et quibus hypochoremata ſi reſidere permiſeris nec moueris, ſubſident velut ſtrigmenta; quæ ſi pauca ſint, paruus morbus eſt: ſi verò multa, magnus: his aluum infernè purgare conducit. Alioqui ſi non repurgata aluo ſorbitiones exhibueris, quanto plures dederis, tanto magis offenderis. 64

Excretiones in febribus non intermittentibus, liuidæ, cruentæ, bilioſæ, fœtidæ, omnes malæ: commodè tamen ſi prodeunt, bonæ. Per aluum etiam & veſicam, & quacumque corporis ſi prodeat aliquid, ſi non purgatum reſtiterit, malum. 65

Corpora cùm quis purgare voluerit, meabilia illa reddat oportet & ſi quidem ſuprà velit, aluus ſiſtenda; ſi verò infrà, humectanda. 66

Somnus & vigilia, vtraque ſi præter modum fuerint, morbus. 67

68

69

Repete aphoriſmos 30. & 40. Libri quarti.

Leucophlegmatiæ hydrops ſuperuenit. 70

A diarrhœa dyſenteria. 71

Lienteria ſuperuenit dyſenteriæ. 72

A ſphacelismo, oſſis abſceſſus. 73

A ſanguinis vomitione tabes & puris 74

κάθαρσις ἄνω, καὶ ἐπὶ τῇ φθίσει ῥεῦμα ἐκ τῆς κεφαλῆς, ἐπὶ τῷ ῥεύματι διάρροια, ἐπὶ τῇ διαρροίᾳ σχέσις τῆς ἄνω καθάρσιος, ἐπὶ τῇ σχέσει θάνατος.

75 Ὁκοῖα καὶ ἐν τοῖσι κατὰ τὴν κύστιν, καὶ ἐν τοῖσι κατὰ τὴν κοιλίην ὑποχωρήμασι, καὶ ἐν τοῖσι κατὰ τὰς σάρκας, καὶ ἤν που ἄλλῃ τῆς φύσιος ἐκβαίνῃ τὸ σῶμα, ἢν ὀλίγον, ὀλίγη νοῦσος γίνεται· ἢν δὲ πολὺ, πολλή· ἢν σφόδρα πολλὴ, θανάσιμον τὸ τοιοῦτον.

Ἀφορισμῶν τέλος.

ſupernè purgatio, à tabe fluxio de capite, à defluxu diarrhœa, à diarrhœa interceptio expectorati, ab interceptione mors.

Qualia ſint quæ per vrinas ac aluum 75
ſubeunt, & quæ per carnes abeunt, & ſi
qua aliâ corpus à natura recedat ſpectare
oportet; nam ſi parum, paruus morbus
eſt: ſi multum, magnus: ſi valdè multum,
iam tale fuerit pernicioſum.

Finis Aphoriſmorum.

Digitized by Google

[illegible] Google

HIPPOCRATIS
COI
PROGNOSTICA

Græcè, & Latinè,

ex interpretatione

IOHANNIS HEVRNII

Vltraiectini.

Digitized by Google

ἹΠΠΟΚΡΆΤΟΥΣ
ΚΩ͂ΟΥ
ΠΡΟΓΝΩΣΤΙΚΩ͂Ν
ΠΡΩ͂ΤΟΝ.

1 ΤΟΝ ἰητρὸν, δοκέει μοι ἄριστον εἶναι, πρόνοιαν ἐπιτηδεύειν· Προγινώσκων γὰρ καὶ προλέγων παρὰ τοῖσι νοσέουσι, τά τε παρεόντα, καὶ τὰ προγεγονότα, καὶ τὰ μέλλοντα ἔσεσθαι, ὁκόσα τε παραλείπουσιν οἱ ἀσθενέοντες, ἐκδιηγεύμενος, πιστεύοιτ' ἂν μᾶλλον γινώσκειν τὰ τῶν νοσεόντων πρήγματα· ὥς τε τολμᾶν ἐπιτρέπειν τοὺς ἀνθρώπους σφέας ἑωυτοὺς τῷ ἰητρῷ. Τὴν δὲ θεραπείην ἄριστα ἂν ποιέοιτο, προειδὼς τὰ ἐσόμενα τῶν παθημάτων. ὑγιέας μὲν γὰρ ποιέειν ἅπαντας τοὺς ἀσθενέοντας ἀδύνατον. τοῦτο γὰρ τοῦ προγινώσκειν τὰ μέλλοντα ἀποβήσεσθαι, κρεῖττον ἂν ἦν.

2 Ἐπεὶ δὲ οἱ ἄνθρωποι ἀποθνήσκουσιν· οἱ μὲν πρὶν καλέσαι τὸν ἰητρὸν, ὑπὸ ἰσχύος τῆς νούσου· οἱ δὲ καὶ ἐσκαλεσάμενοι, παραχρῆμα ἐτελεύτησαν· οἱ μὲν, ἡμέρην μίαν ζήσαντες· οἱ δὲ, ὀλίγῳ πλείονα χρόνον, πρὶν ἢ τὸν ἰητρὸν τῇ τέχνῃ πρὸς ἕκαστον νόσημα ἀνταγω-

HIPPOCRATIS COI PROGNOSTICON

LIBER PRIMVS.

MEDICVM; arbitror operæpretium a
eſſe, prouidentiam conſectari: præſentiens enim atque prædicens apud ægros res præſentes, præteritas, & futuras, & etiam quas ipſi ægri prætermittunt explicans, exiſtimabitur facilè percepiſſe notitiam ſingularem rerum ad ægros pertinentium: eóque fiet vt confidentius credant homines ſeipſos medico. Medicinam autem optimè faciet medicus, ſi antè præſenſerit quid euenturum ſit cuique affectui. Sanos etenim facere cunctos ex morbo languentes ſanè haud potis eſt. quamuis id præſtantius foret, quàm præſentire futura.

Iam verò cùm homines moriantur: alij a
quidem priuſquam euocauerint medicum, vi morbi oppreſſi: alij verò, cùm eum adhibuerint, in procinctu mortem habent: ita vt vel vnicum diem viuant: aut certè alij non ita multo plus temporis, antequam medicus morbo cuique reme-

ταγωνίσασθαι· γνῶναι οὖν χρὴ τῶν παθέων τῶν τοιούτων τὰς φύσιας, ὁκόσον ὑπὲρ τὴν δύναμίν εἰσι τῶν σωμάτων. Ἅμα δὲ καὶ εἴ τι θεῖον ἔνεστιν ἐν τῇσι νούσοισι, καὶ τούτου τὴν πρόνοιαν ἐκμανθάνειν. Οὕτω γὰρ ἂν θαυμάζοιτό τε δικαίως, καὶ ἰητρὸς ἀγαθὸς ἂν εἴη. Καὶ γὰρ οὓς οἷόν τε περιγίνεσθαι, τούτους ἔτι μᾶλλον δύναιτ' ἂν ὀρθῶς διαφυλάσσειν, ἐκ πλείονος χρόνου προβουλευόμενος πρὸς ἕκαστα· καὶ τοὺς ἀποθανουμένους τε καὶ σωθησομένους προγινώσκων τε καὶ προαγορεύων, ἀναίτιος ἂν εἴη.

3 Σκέπτεσθαι δὲ χρὴ ὧδε ἐν τοῖσιν ὀξέσι νοσήμασι· πρῶτον μὲν τὸ πρόσωπον τοῦ νοσέοντος· εἰ ὅμοιόν ἐστι τοῖσι τῶν ὑγιαινόντων· μάλιστα δὲ, εἰ αὐτὸ ἑωυτῷ· οὕτω γὰρ ἂν εἴη ἄριστον· τὸ δ' ἐναντιώτατον τοῦ ὁμοίου, δεινότατον· εἴη δ' ἂν τὸ τοιόνδε. Ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι, κρόταφοι ξυμπεπτωκότες, ὦτα ψυχρὰ καὶ ξυνεσταλμένα, καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεστραμμένοι, καὶ τὸ δέρμα περὶ τὸ μέτωπον σκληρόν τε, καὶ περιτεταμένον, καὶ καρφαλέον ἐόν, καὶ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου χλωρόν τι, ἢ καὶ μέλαν ἐόν, καὶ πελιδνόν, ἢ μολιβδῶδες.

4 Ἢν μὲν οὖν ἐν ἀρχῇ τῆς νούσου, τὸ πρόσωπον τοιοῦτον ᾖ, καὶ μήπω οἷόν τε ᾖ τοῖσιν

ἄλλοισι.

diari contra potuerit: conſentaneum itaque eſt, vt perſpectas habeat huiuſmodi morborum naturas, quantum ſcilicet corporum vires proſternant. Tum pariter & ſi quid diuinum inſit in morbis, illius quoque prouidentiam conſectari: Sic enim & iure ſuſpicietur, & bonus medicus meritò habebitur. Nam eos qui poſſunt euadere, multo meliùs ſeruare poterit, diu antè præmeditatus ſingula. Atque ita tum eos qui morituri, tum eos qui euaſuri ſunt præſentiens & prænuncians, omninò culpa vacabit.

Hac autem notione præſentiendi ratio in acutis morbis duci debet: vt notes primùm ægri faciem, an ſimilis ſit bene valentium: ac potiſſimùm ſui ipſius: ita enim optima erit. quæ verò ſimili eſt contraria, periculi plena eſt. huiuſmodi ſanè hæc fuerit: Nares acutæ, oculi concaui, tempora collapſa, auriculæ frigidæ & contractæ, auriúmque lobi inuerſi, quin cutis circa frontem dura, tum circumtenta, & arida, colórque totius faciei pallidus, aut eſt niger, & liuidus, & plumbeus.

Si itaque ineunte morbo talis facies fuerit, nec adhuc potis ſit ex aliis ſignis

ἄλλοισί τισι σημείοισι ξυντεκμαίρεσθαι, ἐπανέρεσθαι χρὴ, μὴ ἠγρύπνηκεν ὥνθρωπος, ἢ τὰ τῆς κοιλίης ἐξυγρασμένα ᾖ ἰσχυρῶς, ἢ λιμῶδές τι ἔχῃ αὐτόν. Κἢν μέν τι τουτέων ὁμολογῇ, ἧσσον νομίζειν δεινὸν εἶναι. Κρίνεται δὲ τὰ τοιαῦτα, ἐν ἡμέρῃ τε καὶ νυκτὶ, ἢν διὰ ταύτας τὰς προφάσιας, τὸ πρόσωπον τοιοῦτον ᾖ. Ἢν δὲ μηδὲν τουτέων φῇσιν εἶναι, μὴ δὲ ἐν τῷ χρόνῳ τῷ προειρημένῳ καταστῇ, εἰδέναι χρὴ ἐγγὺς ἐόντα τοῦ θανάτου. Ἢν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοσήματος ἢ τριταίου, ἢ τεταρταίου, τὸ πρόσωπον τοιοῦτον ᾖ, περὶ τουτέων ἐπανέρεσθαι, περὶ ὧν καὶ πρότερον ἐκέλευσα.

5 Καὶ τ' ἄλλα σημεῖα σκέπτεσθαι, τά τε ἐν τῷ ξύμπαντι προσώπῳ, τά τε ἐν τῷ σώματι, καὶ τὰ ἐν τοῖσιν ὀφθαλμοῖσιν. Ἢν γὰρ τὴν αὐγὴν φεύγωσιν, ἢ δακρύωσιν ἀπροαιρέτως, ἢ διαστρέφωνται, ἢ ὁ ἕτερος θατέρου ἐλάσσων γίνηται, ἢ τὰ λευκὰ ἐρυθρὰ ἴσχωσιν, ἢ [illegible] βλέφαρα, ἢ φλέβια μέλανα ἐν αὐτοῖσιν ἴσχωσιν, ἢ λῆμαι φαίνωνται περὶ τὰς ὄψιας, ἢ καὶ ἐναιωρεύμενοι, ἢ ἐξίσχοντες, ἢ ἔγκοιλοι ἰσχυρῶς γινόμενοι, ἢ αἱ ὄψιες αὐχμῶσαι καὶ ἀλαμπέες, ἢ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου ἠλλοιωμένον ᾖ, ταῦτα πάντα κακὰ νομίζειν, καὶ ὀλέθρια εἶναι.

6 Σκοπεῖν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν

ὀφθαλ-

artificioſè & ſcienter coniecturam facere, interrogare oportet, num vigilârit homo, an aluus profuſè fluxerit, an inedia & fame laborârit. Quodſi eorum quippiam fateatur, minus periculi ſubeſſe putandum erit. Iudicantur autem & cognoſcuntur huiuſmodi in die & nocte, ſi ob eas cauſas facies talis fuerit. Sin nil horum præceſſiſſe dicat, neque definito hoc tempore facies reſtituta fuerit, ſciendum mortem in propinquo eſſe. Quodſi etiam vetere pluſquam triduo aut quatriduo morbo huiuſmodi facies fuerit, de iis quærendum de quibus antè eſt præceptum.

6 Quin & alia ſigna neceſſariò conſiderare oportet, tum in vniuerſa facie, tum in vniuerſo corpore, tum in ipſis oculis. Etenim ſi lucem fugiant, aut non ſpontè illachryment, vel peruertantur, aut alter altero minor fiat, aut eius albę partes ſint rubræ, aut palpebræ liuidæ, aut venulis nigris ſi obſita oculorum fuerint alba, aut acies oculorum lemis obducta ſit, aut etiam ſublimes contremiſcant, aut foras proiecti; aut ſi vehementer ſubſiderint in cauitate ſua, vel etiam ſqualida oculorum acies ſi ſit atque hebes, aut ſi color vniuerſæ faciei alienatus fuerit, cuncta hæc in malis ducenda ſunt, funeſtáque putanda.

7 Obſeruare quinetiam oportet oculorū obtu-

ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν. Ἢν γὰρ ὑποφαίνηταί τι τοῦ λευκοῦ, τῶν βλεφάρων μὴ ξυμβαλλομένων, μὴ ἐκ διαῤῥοίης, ἢ φαρμακοποσίης ἐόντι, ἢ μὴ εἰθισμένῳ οὕτω καθεύδειν, φλαῦρον τὸ σημεῖον, καὶ θανατῶδες λίαν.

7 Ἢν δὲ καμπύλον, ἢ ῥυσὸν γένηται, ἢ πελιὸν, ἢ ὠχρὸν βλέφαρον, ἢ χεῖλος, ἢ ῥὶς, μετά τινος τῶν ἄλλων σημείων, εἰδέναι χρὴ ἐγγὺς ἐόντα θανάτου. Θανατώδεα δὲ καὶ τὰ χείλεα ἀπολυόμενα, καὶ κρεμάμενα, καὶ ψυχρὰ, καὶ ἔκλευκα γινόμενα.

8 Κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα ὑπὸ τοῦ ἰητροῦ, ἐπὶ τὸ πλευρὸν τὸ δεξιὸν, ἢ τὸ ἀριστερόν· καὶ τὰς χεῖρας, καὶ τὸν τράχηλον, καὶ τὰ σκέλεα ὀλίγον ἐπικεκαμμένα ἔχοντα, καὶ τὸ ξύμπαν σῶμα ὑγρὸν κείμενον· οὕτω γὰρ καὶ οἱ πλεῖστοι τῶν ὑγιαινόντων κατακλίνονται. Ἄρισται δέ εἰσι τῶν κατακλίσιων, αἱ ὁμοιαὶ τῇσι τῶν ὑγιαινόντων.

Ὕπτιον δὲ κεῖσθαι, καὶ τὰς χεῖρας, καὶ τὸν τράχηλον, καὶ τὰ σκέλεα ἐκτεταμένα ἔχοντα, ἧσσον ἀγαθόν.

10 Εἰ δὲ καὶ προπετὴς γένοιτο, καὶ καταῤῥέοι ἀπὸ τῆς κλίνης ἐπὶ πόδας, δεινότερόν ἐστι.

Εἰ δὲ

obtutum in ſomnis. Etenim ſi appareat quid album, haud benè commiſſis palpebris, neque id diarrhœa aut pharmacum hauſtum expreſſerit, nec ita quis dormire conſueuerit, prauum id ſignum eſt, & funeſtum valdè.

Si verò reflexa ſit atque rigida, aut liuida, aut pallida palpebra, aut etiam labra, aut nares, cum cuiuſque alterius ſigni funeſti acceſſione, ſcire oportet, mortem in propinquo eſſe. Quinetiam funeſtum eſt, labra reſolui, & pendula eſſe, tum etiam frigida & præalbida videri. 7

Decumbentem quin etiam ægrotum oportet deprehendi à medico iacentem in dextrum aut ſiniſtrum latus; manibus, collo, & cruribus parum reductis, ac corpore vniuerſo molliter decumbente: ſic enim maxima pars bene valentium corpus componit. Atqui in bonis ducendi ſunt illi decubitus qui bene valentium ſimiles ſunt. 8

At verò ſupinum iacere, manibus, collo, & cruribus valde proiectis, minùs bonum. 9

Quodſi etiam decliuus fiat æger, & delabatur è lecto ad pedes, perniciosiùs illud eſt. 10

11 Ἢν δὲ καὶ γυμνοὺς τοὺς πόδας διερρίμμενοι-το ἔχειν, μὴ σφόδρα θερμοὺς ἐόντας, καὶ τὰς χεῖρας, καὶ τὸν τράχηλον, καὶ τὰ σκέλεα ἀνωμάλως διερριμμένα καὶ γυμνά, κακόν· ἀλυσμὸν γὰρ σημαίνει.

12 Θανατῶδες δὲ, καὶ τὸ κεχηνότα καθεύδειν αἰεί· καὶ τὰ σκέλεα ὕπτιον κατακειμένου ξυγκεκαμμένα εἶναι ἰσχυρῶς, καὶ διαπεπλεγμένα. Ἐπὶ γαστέρα δὲ κεῖσθαι ᾧ μὴ ξύνηθές ἐστι καὶ ὑγιαίνοντι οὕτω κοιμᾶσθαι, παραφροσύνην τινὰ σημαίνει, ἢ ὀδύνην τῶν ἀμφὶ τὴν κοιλίην τόπων.

13 Ἀνακαθίζειν δὲ βούλεσθαι τὸν νοσέοντα, τῆς νόσου ἀκμαζούσης, πονηρὸν μὲν ἐν πάσῃσι τῇσιν ὀξέσι νοσήμασι· κάκιστον δὲ ἐν τοῖσι περιπλευμονικοῖσι.

14 Ὀδόντας δὲ πρίειν ἐν πυρετοῖσιν, ὁκόσοισι μὴ ξύνηθές ἐστιν ἀπὸ παίδων, μανικὸν καὶ θανατῶδες· ἀλλὰ προλέγειν ἀμφοῖν κίνδυνον ἐσόμενον. Ἢν δὲ καὶ παραφρονέων τοῦτο ποιῇ, ὀλέθριον δὴ γίνεται κάρτα ἤδη.

15 Ἕλκος δὲ ἤν τε καὶ προγεγονὸς τύχῃ ἔχων, ἤν τε καὶ ἐν τῇ νόσῳ γένηται, καταμανθάνειν δεῖ. Ἢν γὰρ μέλλῃ ἀπόλλυσθαι ὁ ἄνθρωπος, πρὸ τοῦ θανάτου, πελιδνόν τε καὶ ξηρὸν ἔσται, ἢ ὠχρόν τε καὶ ξηρόν.

16 Περὶ δὲ χειρῶν φορῆς, τάδε γινώσκω.

Ὁκόσοι-

Quodſi etiam denudatis pedibus deprehendatur, nec admodum calidis: manibúſque collo ac cruribus negligenter proiectis & nudis, malum id eſt: inquietudinem enim ſignificat. 11

Funeſtum etiam eſt hiante ore dormire perpetuò: & crura, ægro in dorſum iacente, plurimùm contracta eſſe, multúmque complicata. Quòd ſi in ventrem iaceat, cui dum bene valeret inſolens ſit ita dormire, delirium quoddam id præ ſe fert, aut dolorem partium aluinarum. 12

Iam verò crebrò reſidere velle ægrum cùm iam ad vigorem ſuum venit morbus, calamitoſum id ſanè eſt in cunctis acutis morbis: ſed id longè peſſimum eſt pulmonibus morbo obſeſſis. 13

Dentes ſtridere per febres, quibus id ſemper inſolens fuit à puero, inſaniæ præludium illud eſt, atque funeſtum: ſed prædicere oportet ab vtroque periculum. Quodſi fanaticus quis iam factus id faciat, omnibus modis eſt funeſtum. 14

Vlcus verò, ſiue quis eo ante morbum obſeſſus fuerit, ſiue in morbo natum ſit, cuiuſmodi ſit ſcienter tenere oportet. Nam ſi interiturus ſit æger, paulo ante mortem liuidum & ſiccum, aut pallidum & ſiccum euadet. 15

Quod autem ad manuum geſtus attinet, hæc meſcire profiteor. Nam quaſ- 16

cumque

Ὁκόσοισιν ἐν πυρετοῖσιν ὀξέσιν, ἢ περιπλευμονίῃσι, ἢ φρενίτισιν, ἢ ἐν κεφαλαλγίῃσι, πρὸ τοῦ προσώπου φερομένας, καὶ θηρευούσας διὰ κενῆς, καὶ ἀποκαρφολογεούσας, καὶ κροκίδας ἀπὸ τῶν ἱματίων ἀποτιλλούσας, καὶ ἀπὸ τοῦ τοίχου ἄχυρα ἀποσπώσας, πάσας εἶναι κακὰς καὶ θανατώδεας.

27 Πνεῦμα δὲ πυκνὸν μὲν ἐόν, πόνον σημαίνει, ἢ φλεγμονὴν ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισι. Μέγα δὲ ἀναπνεόμενον, καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην δηλοῖ. Ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίνεται. Εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν εἰς σωτηρίην ἐν ἅπασι τοῖσιν ὀξέσι νοσήμασιν, ὅσα ξὺν πυρετοῖσίν ἐστι, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται.

28 Οἱ δὲ ἱδρῶτες ἄριστοι μέν εἰσιν ἐν πᾶσι τοῖς ὀξέσι νοσήμασιν, ὁκόσοι ἐν ἡμέρῃσί τε κρισίμοισι γίνονται, καὶ τελείως τὸν πυρετὸν ἀπαλλάττουσιν. Ἀγαθοὶ δὲ καὶ ὁκόσοι διὰ παντὸς τοῦ σώματος γινόμενοι, ἀπέδειξαν τὸν ἄνθρωπον εὐπετέστερον φέροντα τὸ νόσημα. Οἱ δ' ἂν μὴ τοῦτόν τι ἐργάσωνται, οὐ λυσιτελέες. Κάκιστοι δέ, οἱ ψυχροί τε καὶ μοῦνον περὶ τὴν κεφα-

cumque per febres acutas aut peripneumonias, aut phrenitides, aut cephalalgias, ad faciem manus ſubinde delatas animaduerteris, aut fruſtrà venantes, aut feſtucas legentes, aut floccos è veſtimentis carpentes, aut è vicino pariete paleas euellentes, eiuſmodi omnes geſtus prauos eſſe atque funeſtos.

Reſpiratio crebra ſi fuerit, dolorem ſignificat, aut æſtum ſiue incendium in partibus diaphragmate ſuperioribus. Quæ verò magna eſt reſpiratio & it longis interuallis, deliriũ ſignificat. Frigidus autem ſpiritus qui è naribus & ore efflatur, valdè eſt funeſtus. At verò ſpirandi facilitatem ſcire licet præclarè facere ad ſalutem in cunctis acutis morbis, tum iis qui cum febribus ſunt, tum iis qui intra dies quadraginta iudicantur. 17

Sudores verò optimi ſunt illi in cunctis morbis acutis, quicunque diebus manant criticis, quique integram febrem excludunt. Sed tamen in bonis ducendi ſunt illi qui toto manantes corpore, effecerunt vt deinde leuiùs faciliúsque morbum ferrent. Qui verò horum nihil efficiunt, ſunt planè inutiles. Peſſimi & calamitoſi ſunt frigidi, & qui ſolùm è capite 18

κεφαλὴν τε καὶ τὸ πρόσωπον γινόμενοι καὶ τὸν αὐχένα. οὗτοι γὰρ ξὺν μὲν ὀξεῖ πυρετῷ θάνατον προσημαίνουσι, ξὺν δὲ πρηϋτέρῳ, μῆκος νούσου. Καὶ οἱ κατὰ πᾶν τὸ σῶμα ὡσαύτως γινόμενοι, πέρ τι περὶ τὴν κεφαλήν. Οἱ δὲ κεγχροειδέες καὶ μοῦνον περὶ τὸν τράχηλον γινόμενοι, πονηροί. Οἱ δὲ μετὰ σταλαγμῶν, καὶ ἀτμίζοντες, ἀγαθοί. Καταυοεῖν δὲ χρὴ τὸ ξύνολον τῶν ἱδρώτων. γίνονται γὰρ οἱ μὲν δι' ἔκλυσιν σωμάτων· οἱ δὲ διὰ συντονίην φλεγμονῆς.

19 Ὑποχόνδριον δὲ ἄριστον μὲν ἀνώδυνόν τε ἐὸν, καὶ μαλθακὸν, καὶ ὁμαλὸν καὶ ἐπὶ δεξιὰ καὶ ἐπ' ἀριστερά. Φλεγμαῖνον δὲ, ἢ ὀδύνην παρέχον, ἢ ἐντεταμένον, ἢ ἀνωμάλως διακείμενα τὰ δεξιὰ πρὸς τὰ ἀριστερά· ταῦτα πάντα φυλάσσεσθαι χρή. Εἰ δὲ καὶ σφυγμὸς ἐνείη ἐν τῷ ὑποχονδρίῳ, θόρυβον σημαίνει, ἢ παραφροσύνην. Ἀλλὰ τοὺς ὀφθαλμοὺς ἐπικατιδεῖν τὴν πικ-ίαν· ἢν γὰρ αἱ ὄψιες πυκνὰ κινέωνται, μανῆναι τούτους ἐλπίς.

20 Οἴδημα δὲ ἐν τῷ ὑποχονδρίῳ σκληρόν τε ἐὸν καὶ ἐπώδυνον, κάκιστον μὲν, εἰ παρ' ἅπαν εἴη τὸ ὑποχόνδριον. Εἰ δὲ εἴη ἐν τῷ ἑτέρῳ μέρει, ἀκινδυνώτερόν ἐστιν ἐν τῷ ἐπ' ἀριστερά.

21 Σημαίνει δὲ τὰ τοιαῦτα οἰδήματα ἐν ἀρχῇ

pite manant, & facie, & etiam collo: Hi
enim cum acuta febre mortem oſten-
dunt, cum mitiore autem, diuturnitatem
morbi. Tum etiam quibus frigidis totum
eſt madens corpus. Eodem pertinent
& qui ex ſolo capite manant. Iam verò
& miliares ſudores, & qui circa cerui-
cem erumpunt, praui. At ſi ſtillatim
calidi manant (ac toto corpore) bonum.
Iam verò de ſudoribus hîc vniuerſim
complecti oportet animo: nam alij reſo-
lutione corporis, alij inflammationis vi
accidunt.

Hypochondrium verò optimum qui- 19
dem eſt doloris expers, & molle, &
æquale, dextra & ſiniſtra parte. Quod ſi
incendio conflagrat, aut doloris ſit parti-
ceps, aut diſtentum ſit, aut etiam dextra
inæqualiter ſint affecta erga ſiniſtra: hæc
cuncta vereri oportet. Quod ſi etiam pul-
ſus in hypochondrio inſit, perturbatio-
nem ſignificat, aut delirium. Sed oculos
contemplari oportet talium hominum:
nam ſi volubiles ſunt atque inſtabiles,
phreniticos eos fore ſpes eſt.

Tumor verò in hypochondrio durus & 20
dolorificus, peſſimus quidem eſt, ſi totum
occupet hypochondrium. Si verò al-
terutra tantum pars obſeſſa fuerit minus
formidabilis erit tumor, qui in regione
ſiniſtra conſiſtit.

Significant autem huiuſmodi tumores 21

ἀρχὴ ἢ θάνατον ὀλιγοχρόνιον ἔσεσθαι. Ἢν δὲ ὑπερβάλλῃ εἴκοσιν ἡμέρας ὅ, τε πυρετὸς ἔχων, καὶ τὸ οἴδημα μὴ καθιστάμενον, εἰς διαπύησιν τρέπεται.

22 Γίνεται δὲ τελέως ἐν τῇ πρώτῃ περιόδῳ, καὶ αἵματος ῥῆξις ἐκ τῶν ῥινῶν, καὶ κάρτα ὠφελεῖ.

23 Ἀλλ' ἐπανερωτᾷν χρή, εἰ τὴν κεφαλὴν ἀλγέουσιν, ἢ ἀμβλυωττοῦσιν· ἢν γάρ τι τοιοῦτον εἴη, ἐνταῦθα ῥέπει. Μᾶλλον δὲ τοῖσι νεωτέροισι πέντε καὶ τριήκοντα ἐτέων, τὴν τοῦ αἵματος ῥῆξιν προσδέχεσθαι χρή.

24 Τὰ δὲ μαλθακὰ τῶν οἰδημάτων καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ ὑπείκοντα, χρονιωτέρας τὰς κρίσιας ποιέεται, καὶ ἧσσον ἐκείνων δεινότερά ἐστιν. Εἰ δὲ ὑπερβάλλοι ἑξήκοντα ἡμέρας ὅ, τε πυρετὸς ἔχων, καὶ τὸ οἴδημα μὴ καθίσταται, ἔμπυον ἔσεσθαι σημαίνει· καὶ τοῦτο καὶ τὸ ἐν τῇ ἄλλῃ κοιλίῃ κατὰ τ' αὐτό. Ὁκόσα μὲν οὖν ἐπώδυνά τε ἐστι, καὶ σκληρὰ καὶ μεγάλα, σημαίνει κίνδυνον θανάτου ὀλιγοχρόνιον. Ὁκόσα δὲ μαλθακά τε καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ πιεζόμενα ὑπείκει, χρονιώτερα ἐκείνων.

25 Τὰς δὲ λοιπὰς ἀποστάσιας ἁπάσας τὰς ἐν τῇ

γαστέρι

Ineunte quidem morbo mortem breui adfuturam. Quodſi vigeſimum diem exceſſerint, tamen ipſa febris duret, tum ipſe tumor nihil conſederit, in ſuppuratum vertitur.

Veruntamen his prima morbi periodo 22
ſanguis profuſè fluit è naribus, atque illud profluuium præclarè ad ſalutem facit.

Verùm tum quærere licet, num & illis 23
caput doleat, an oculorum hebetudine teneantur: nam ſi quid eorum adfuerit, eò ſanguis repit. Maximè tamen quinque ac triginta annis minoribus, ſanguinis eruptionem è naribus expectare oportet.

Ex tumoribus autem quicumque ſunt 24
molles & doloris expertes, & quibus impreſſa manent digitorum veſtigia, tardiores illi quidem criſes efficiunt, ſed tamen minùs illis verendi ſunt. Quodſi quæ detinet febris vltra ſexageſimum diem procedat, nec ipſe tumor ſubſidat, ſuppuratum iri ſignificat: tum hunc ipſum tumorem, & eum qui in alia parte ventris conſtiterit eodem modo. Ex quo efficitur, eos tumores qui & dolorem faciunt & duri ſunt & magni, periculum mortis breui ſignificare. Contrà verò, quicumque & molles ſunt, & doloris expertes, & quibus impreſſa manent digiti veſtigia, illos his diuturniores eſſe.

Cæterùm tumores qui in ventre conſi- 25

γ τρεῖ οἰδήματα πείσεται, τῶν ἐν τοῖσιν ὑποχονδρίοισιν. Ἥκιστα δὲ τὰ ὑποκάτω τοῦ ὀμφαλοῦ εἰς ἀποπύησιν τρέπεται. Αἵματος δὲ ῥῆξιν ἐκ τῶν ἄνω τόπων μάλιστα προσδέχεσθαι.

26 Ἀπὸ τούτων δὲ χρὴ τῶν οἰδημάτων χρονιζόντων περὶ ταῦτα τὰ χωρία ὑποσκέπτεσθαι τὰς ἐκπυήσιας. Τὰ δὲ διαπυήματα ὧδε δεῖ σκέπτεσθαι τὰ ἐντεῦθεν. Ὁκόσα μὲν ἔξω τρέπεται, ἄριστά ἐστι, μικρά τε ἐόντα, καὶ ὡς μάλιστα ἐκκλίνοντα ἔξω, καὶ ἐς ὀξὺ ἀποκυρτούμενα. Τὰ δὲ μεγάλα τε ἐόντα καὶ πλατέα, καὶ ἥκιστα ἐς τὸ ὀξὺ ἀποκορυφούμενα, κάκιστα. Ὅσα δὲ εἴσω ῥήγνυται, ἄριστά ἐστιν, ἃ μηδὲν τῷ ἔξω χωρίῳ ἐπικοινωνεῖ· ἀλλ᾽ ἐστὶ προσεσταλμένα τε καὶ ἀνώδυνα, καὶ πᾶν τὸ ἔξω χωρίον ὁμόχροον φαίνεται.

27 Τὸ δὲ πῦον ἄριστον, λευκόν τε εἶναι, καὶ ὁμαλὸν, καὶ λεῖον, καὶ ὡς ἥκιστα δυσῶδες. Τὸ δὲ ἐναντίον τούτῳ, κάκιστον.

ſtunt minùs abſceſſus faciunt, quàm hi qui obſident hypochondria. Sed omnium minimùm partium infra vmbilicum tumores in ſuppuratum vertuntur. Nec illud prætereundum eſt, narium, iam commemoratum, profluuium, ex ſuperioribus (abdominis) partibus potiſſimùm expectare oportere.

Omnium autem tumorum qui in his 16 cunctantur partibus expurata conſiderare oportet. At verò ſuppurata quæ hic ſunt, indéque manant, ad hanc rationem ſunt exquirenda. Nam quæcumque ad exteriorem partem firmantur, optima ſunt quæ parua, & quæ maximè foras viam affectant, & maximè acuuntur. Contrà quæ magna ſunt ſuppurata & lata, minimúmque in acutum faſtigiata, peſſima. Quæcumque verò intrò, ex ſuppuratis, rumpuntur, leniora ſunt, quibus nulla cum externa parte communicatio eſt; ſed eſt adæquata cutis, & doloris expers; totáque pars exterior vniuſmodi videtur.

At verò pus ipſum optimum eſt, ſi 17 album ſit, & æquale, & læue, minimèque graueolens. Quodſi contrario modo ſe habuerit, peſſimum.

ἹΠΠΟΚΡΆΤΟΥΣ
ΚΩ͂ΟΥ
ΠΡΟΓΝΩΣΤΙΚΩ͂Ν
ΔΕΎΤΕΡΟΝ.

1 Οἱ δὲ ὕδρωπες, οἱ ἐκ τῶν ὀξέων νοσημάτων πάντες κακοί. Οὔτε γὰρ τοῦ πυρὸς ἀπαλλάσσουσιν· ἐπώδυνοί τε εἰσὶ κάρτα καὶ θανατώδεες. Ἄρχονται δὲ οἱ πλεῖστοι ἀπὸ τῶν κενεώνων καὶ τῆς ὀσφύος· οἱ δὲ ἀπὸ τοῦ ἥπατος.

2 Οἷσι μὲν οὖν ἀπὸ τῶν κενεώνων καὶ τῆς ὀσφύος αἱ ἀρχαὶ γίνονται, οἵ τε πόδες οἰδέουσι, καὶ διάρροιαι πολυχρόνιοι ἴσχουσιν, οὔτε τὰς ὀδύνας λύουσαι τὰς ἐκ τῶν κενεώνων καὶ τῆς ὀσφύος, οὔτε τὴν γαστέρα λαπάσσουσαι. Ὁκόσοισι δὲ ἀπὸ τοῦ ἥπατος ὕδρωπες γίνονται, βῆχές τε καὶ θυμὸς τούτοισιν ἐγγίνεται. Καὶ οὐδέν τι ἀποπτύουσιν ἄξιον λόγου, καὶ οἱ πόδες οἰδέουσι, καὶ ἡ γαστὴρ οὐ διαχωρεῖ, εἰ μὴ σκληρά τε καὶ πρὸς ἀνάγκην. Καὶ περὶ τὴν κοιλίην γίνονται οἰδήματα, τὰ μὲν ἐπὶ δεξιά, τὰ δὲ ἐπ' ἀριστερά, ἱστάμενά τε καὶ καταπαυόμενα.

3 Κεφαλὴ δὲ καὶ χεῖρες καὶ πόδες,

ψυχρὰ

HIPPOCRATIS COI PROGNOSTICORVM

LIBER II.

At verò Hydropes qui ex morbis acutis eueniunt omnes mali. Nam cùm nullam febris remiſſionem adferant: tum verò longè grauiſſimos dolores faciunt, valdéque funeſti ſunt. Cauſásque ducunt ab ilibus pleriquæ; & à lumbis. alij verò ab hepate. 1

Quibus itaque Hydropes ab ilibus & lumbis cauſas ducunt, iis & pedes intumeſcunt, & diuturno alui profluuio detinentur, quod neque doloris, ex ilibus & lumbis oborti remiſſionem adfert; nec ventrem reſtituunt. At verò quibus ab hepate Hydropes incidunt, hos tuſſis, vnáq. tuſſiendi cupiditas inceſſit. Sed nil memorabile excernunt, & pedes intumeſcunt, nec ab aluo ſecedunt niſi dura, & ægrè. Et in abdomine tumores excitantur, modò quidem dextra, modò ſiniſtra conſiſtentes, & conſidentes. 2

At verò ſi caput, manus & pedes refri- 3

ψυχρὰ ἐόντα, κακόν· τῆς δὲ κοιλίης καὶ τῶν πλευρέων θερμῶν ἐόντων. Ἄριστον δὲ καὶ ὅλον τὸ σῶμα θερμόν τε ἐὸν καὶ μαλθακόν.

4 Στρέφεσθαι δὲ χρὴ ῥηϊδίως τὸν ἀλγέοντα, καὶ ἐν τῇσι μετεωρισμοῖσιν ἐλαφρὸν εἶναι. Εἰ δὲ βαρὺ ἐὸν φαίνοιτο, καὶ τὸ ἄλλο σῶμα καὶ τὰς χεῖρας καὶ τοὺς πόδας, ἐπικινδυνότερον.

5 Εἰ δὲ πρὸς τῷ βάρει, καὶ οἱ ὄνυχες καὶ οἱ δάκτυλοι πελιδνοὶ γίνονται, προσδόκιμος ὁ θάνατος παραυτίκα. Μελαινόμενοι δὲ παντελῶς οἱ δάκτυλοι, καὶ οἱ πόδες, ἧσσον ὀλέθριοι τῶν πελιδνῶν εἰσίν. Ἀλλὰ καὶ τ' ἄλλα σημεῖα σκέπτεσθαι χρή. Ἢν γὰρ εὐπετέως φέρειν φαίνηται τὸ κακὸν, καὶ ἄλλο τι τῶν περιεστηκότων πρὸς τουτέοισι τοῖσι σημείοισιν ὑποδεικνύῃ, τὸ νόσημα ἐς ἀπόστασιν τραπῆναι ἐλπίς· ὥστε τὸν μὲν ἄνθρωπον περιγενέσθαι· τὰ δὲ μελανθέντα τοῦ σώματος ἀποπεσεῖν.

6 Ὄρχιες δὲ καὶ αἰδοῖα ἀνεσπασμένα, πόνους ἰσχυροὺς σημαίνει, καὶ κίνδυνον θανατώδεα.

7 Περὶ δὲ τῶν ὕπνων, ὥσπερ καὶ κατὰ φύσιν σύνηθες ἡμῖν ἐστι, τὴν μὲν ἡμέρην ἐγρηγορέναι χρὴ· τὴν δὲ νύκτα, καθεύδειν.

8 Ἢν δὲ ᾖ τοῦτο μεταβεβλημένον, κάκιον.

Ἥκιστα

gerentur, & contrà ſi venter & coſtæ incendio conflagrent, malum. Saluberrimum verò eſt, vniuerſum corpus calidum eſſe & molle.

4 Ipſum verò ægrum in omnem partem facilè verſari, & in aſſurgendo alacrem eſſe decet. Quòd ſi grauis & torpidus videatur; cùm toto corpore tum manibus & pedibus, in anguſto ſpes eſt.

5 Quòd ſi ad eam grauitatem & lentitudinem, vngulum & digitorum liuor acceſſerit, tum in propinquo mors eſt. Quòd ſi omnino digiti ſunt nigricantes & pedes, minùs tunc funeſti ſunt, quàm ſi eſſent liuidi. Sed & aliorum ſignorum ratio exquirenda eſt. Nam ſi ex facili morbum perferre videatur, ac ſalutare quodpiam aliud ſignum ad hæc ſigna acceſſerit, tunc ſpes eſt, morbum ad abſceſſum mutatum iri, ex quo homo ſuperſtes ſit euaſurus: ipſæ verò partes ſyderatæ ſunt caſuræ.

6 Teſticuli & pudenda contracta, ingentium dolorum, periculíque funeſti ſigna ſunt.

7 Iam verò quod ad ſomnos attinet, quemadmodum è natura nobis ex more eſt, interdiu quidem vigilare decet; de nocte verò dormire.

8 Quodſi hæc dormiendi ratio ſit muta-

Ἥκιστα δ' ἂν λυπέοιτο, εἰ κοιμῷτο τὸ πρωῒ ἐς τὸ τρίτον μέρος τῆς ἡμέρης.

9 Οἱ δὲ ἀπὸ τουτέου τοῦ χρόνου ὕπνοι πονηρότεροί εἰσι.

10 Κάκιστον δὲ μὴ κοιμᾶσθαι, μήτε τῆς νυκτὸς, μήτε τῆς ἡμέρης· ἢ γὰρ ὑπὸ ὀδύνης τε καὶ πόνου ἀγρυπνέει, ἢ παραφρονήσει ἔσται ἀπὸ τουτέου τοῦ σημείου.

11 Διαχώρημα δὲ ἐστὶν ἄριστον, τὸ μαλθακόν τε καὶ ξυνεστηκὸς, καὶ τὴν ὥρην ἣν καὶ ὑγιαίνοντι ὑπεχώρει. Πλῆθος δὲ πρὸς λόγον τῶν εἰσιόντων. Τοιαύτης γὰρ ἐούσης τῆς διεξόδου, ἡ κάτω κοιλίη ὑγιαίνοι ἄν.

12 Εἰ δὲ εἴη ὑγρὸν τὸ διαχώρημα, ξυμφέρει μήτε τρύζειν, μήτε πυκνόν τι εἶναι, καὶ κατ' ὀλίγον ὑποχωρέειν· κοπιῇ γὰρ ὁ ἄνθρωπος, ὑπὸ τῆς ξυνεχέος ἐξαναστάσιος, καὶ ἀγρυπνέοι ἄν.

13 Εἰ δὲ ἀθρόον πολλάκις διαχωρέει, κίνδυνος λειποθυμῆσαι. Ἀλλὰ χρὴ κατὰ τὸ πλῆθος τῶν εἰσιόντων, ἢ δὶς, ἢ τρὶς, τῆς ἡμέρης ὑποχωρέειν· τῆς δὲ νυκτὸς ἅπαξ· πλεῖονα δ' ὑπὸ τὸ πρωῒ, ὥσπερ συνείθισται τῷ ἀνθρώπῳ.

14 Παχύνεσθαι δὲ χρὴ τὸ διαχώρημα, ἰούσης πρὸς κρίσιν τῆς νόσου. Ὑπόπυρρον δὲ ἔστω

καὶ

ta, deterius eſt. Sed minus tamen incommodi ſentiet, ſi manè ad tertiam diei partem ſomnum inierit.

Qui verò ab hoc tempore ſomni capiantur, deteriores ſunt. 9

Sed longè peſſimum eſt, neque interdiu, neque noctu dormire. nam talis vigilia, ex dolore vel naturæ labore erit, quæ cauſa ſunt vnde ab hoc ſymptomate delirij ſigna ducantur. 10

Deiectio ſaluberrima eſt mollis, & figurata, quæ eodem tempore quo ſano olim ſecedit ſeu fertur. Copia verò, his iis quæ ingeſta ſunt, analogiâ reſpondent: nam cùm huiuſmodi eſt deiectio, inferior venter ſanus ita fuerit. 11

Quodſi liquida fuerit ipſa deiectio, conſentaneum eſt, ipſam neque ſtridere, neque etiam crebrò & paucum ſecedere: nam ad hoc malum illud accedit etiam, quòd fatigatus homo, multúmque laborans, dum continenter exurgit, ſomni expers reddi poterit. 12

Sin verò ſæpe & multum aluus feratur, in deliquij animi periculo erit. Sed naturæ conſentaneum eſt, pro cibi aſſumpti modo, bis térve interdiu aluum deponere: de nocte verò ſemel: ſed ita tamen, vt maiori copia aluus feratur diluculo, quemadmodum homini ſano in more eſt. 13

Cæterùm alui excrementum debet craſſius fieri, morbo ad criſin euntè. Sed illud excrementum ſubruffum quidem ſit, 14

καὶ μὴ λίην δυσώδες. Ἐπιτήδειον δὲ καὶ ἕλμινθας στρογγύλας διεξιέναι μετὰ τοῦ διαχωρήματος, πρὸς κρίσιν ἰούσης τῆς νούσου.

15 Δεῖ δὲ ἐν παντὶ τῷ νουσήματι, λαπαρὴν τὴν κοιλίην εἶναι, καὶ εὔογκον.

16 Ὑδαρὲς δὲ κάρτα ἢ λευκὸν, ἢ χλωρὸν, ἢ ἐρυθρὸν ἰσχυρῶς, ἢ ἀφρῶδες διαχωρέειν, πονηρὰ ταῦτα πάντα.

17 Ἔστι δὲ πονηρὸν, καὶ σμικρόν τε ἐὸν, καὶ γλίσχρον, καὶ λευκὸν, καὶ ὑπόχλωρον, καὶ λεῖον.

18 Τουτέων δὲ θανατωδέστερα ἂν εἴη, τὰ μέλανα, ἢ λιπαρὰ, ἢ πελιδνὰ, ἢ ἰώδεα, ἢ κάκοδμα.

19 Τὰ δὲ ποικίλα, χρονιώτερα μὲν τουτέων, ὀλέθρια δὲ οὐδὲν ἧσσον. Ἔστι δὲ τὰ τοιαῦτα, ξυσματώδεα, καὶ χολώδεα, καὶ πρασοειδέα, καὶ μέλανα, ποτὲ μὲν ὁμοῦ διεξερχόμενα ἀλλήλοισι, ποτὲ δὲ κατὰ μέρος.

20 Φῦσαν δὲ ἄνευ ψόφου καὶ πορδῆς διεξιέναι, ἄριστον. Κρέσσον δὲ καὶ σὺν ψόφῳ διεξελθεῖν, ἢ αὐτοῦ εἰλέεσθαι. καίτοι οὕτω διεξιοῦσα, σημαίνει ἢ πονέειν τι τὸν ἄνθρωπον, ἢ παραφρονέειν. ἢν μὴ ἑκὼν ὁ ἄνθρωπος οὕτω τὴν ἄφεσιν τῆς φύσης ποιήσηται.

21 Τοὺς δὲ ἐκ τῶν ὑποχονδρίων πόνους τε καὶ κυρτώματα, ἢν ᾖ νεαρὰ, καὶ μὴ ξὺν φλεγμονῆς,

ſit, neque graueolens multum. Eſt et-
iam naturæ conſentaneum, lumbricos te-
retes vnà cum excrementis alui deſcende-
re, morbo ad criſin properante.

At verò in quouis morbo, & mollem, 15
& bene habitum ventrem eſſe oportet.

At verò deiectionibus præliquidis, al- 16
bidis, aut pallidis, aut prærubris, vel ſpu-
mantibus aluum ferri, hæc omnia ſunt
calamitoſa.

Sed illud calamitoſius eſt multò, pau- 17
cum, & lentum, & album, & ſubflauum,
& æquale excerni.

Sed his etiam magis funeſta ſuerint, 18
nigra, aut pinguia, aut liuida, aut ærugi-
noſa, aut graueolentia.

Deiectiones variæ, maiorem quàm il- 19
læ diuturnitatis ſpem adferunt, ſed ta-
men non minùs ſunt funeſtæ. Sunt au-
tem huiuſmodi ſtrigmentoſæ, bilioſæ,
porraceæ, & nigræ. Siue illæ recedant
ſimul, ſiue aliæ ab aliis ſegregatæ.

Cæterùm flatus, bombi & ſtridoris ex- 20
pertes emittere, optimum eſt. Sed ta-
men præſtabilius eſſet flatum vnà cum
bombo excludi, quàm illic reuolui. Et
cùm ita erumpit, aut dolere quid homi-
nem ſignificat, aut delirare. Niſi fortaſ-
ſe ſponte ſua flatum ſic emittendum du-
xerit.

Hypochondriorum autem tumores & 21
dolores, ſiquidem recens oborti fuerint,
& inflammationis expertes, ſoluit mur-

μετῇ, λύει βορβορυγμὸς ἐγγενόμενος ἐν τῷ ὑποχονδρίῳ. Καὶ μάλιστα μὲν διεξιὼν ξὺν κόπρῳ τε καὶ οὔρῳ, καὶ φύσῃ. Ἢν δὲ μὴ, καὶ αὐτὸς δὴ περαιωθεὶς, ὠφελεῖ. Ὠφελεῖ δὲ καὶ ὑποκαταβὰς ἐς τὰ κάτω χωρία.

22 Τὸ δὲ οὖρον ἄριστόν ἐστιν, ὅταν εἴη λευκή τε ἡ ὑπόστασις, καὶ λείη, καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον, ἐς τ' ἂν κριθῇ ἡ νοῦσος. σημαίνει γὰρ ἀσφάλειάν τε καὶ νόσημα ὀλιγοχρόνιον ἔσεσθαι.

23 Εἰ δὲ διαλείποι, καὶ ποτὲ μὲν καθαρὸν οὐρέοι, ποτὲ δὲ ὑφίσταιτο τὸ λευκὸν καὶ λεῖον, χρονιωτέρη γίνεται ἡ νοῦσος· καὶ ἧσσον ἀσφαλής.

24 Εἰ δὲ εἴη τό, τε οὖρον ὑπέρυθρον, καὶ ἡ ὑπόστασις αὐτοῦ ὁμοίη, καὶ λείη, πολυχρονιώτερον μὲν τοῦτο τοῦ προτέρου γίνεται, σωτήριον δὲ κάρτα.

25 Κριμνώδεες δὲ ἐν τοῖσιν οὔροισιν αἱ ὑποστάσιες, πονηραί. τουτέων δὲ εἶσι κακίους αἱ πεταλώδεες. Αἱ λευκαὶ δὲ καὶ λεπταὶ, κάρτα φλαῦραι. τουτέων δὲ ἔτι κακίους εἰσὶν αἱ πιτυρώδεες.

26 Νεφέλαι ἐμφερόμεναι τοῖσιν οὔροισι, λευκαὶ μὲν ἀγαθαί· μέλαιναι δὲ φλαῦραι.

27 Ἐς τ' ἂν δὲ πυῤῥόν τε εἴη τὸ οὖρον καὶ λεπτὸν, σημαίνει τὸ νόσημα ἄπεπτον εἶναι.

Ἢν δὲ

mur in ipſo hypochondrio conceptum. Maximéque ſi illud murmur cum ſtercore, vrinâ, & flatu eruperit. ſin minùs, & ſi ipſum per ſe ſeceſſerit, iuuat. Iuuat etiam cùm ab hypochondriis in imum ventrem deſcenderit.

Optima autem eſt vrina, cùm & alba fuerit hypoſtaſis, & læuis, & æqualis, inoffenſo curſu totius morbi hiſtoriâ, quoad iudicatus fuerit morbus: talis enim vrina ad ſecuritatem & ad breuitatem morbi præclarè apparet. 22

Sin talis vrinæ intermiſſio quædam ſit, vt modò pura reddatur, modò hypoſtaſis alba & læuis ſubſidat, diuturnior quidem eſt morbus, ac minùs res ægri in tuto ſunt. 23

Sin ſubrubra reddatur vrina, atque ipſius hypoſtaſis æqualis, & læuis, diuturnioris quidem morbi ea erit, quàm illa iam commemorata, ſed admodum ſalutaris. 24

At verò quæ in vrinis farinæ craſſioris ſpeciem hypoſtaſes referunt, prauæ ſunt. Sed his multo peiores ſunt lamineæ. Albæ verò & tenues, admodum ſunt perniciosæ. Sed his omnibus calamitoſiores & magis funeſtæ ſunt furfuraceæ. 25

Nubeculæ quæ in vrinis efferuntur, albæ quidem bonæ ſunt. nigræ verò calamitoſæ. 26

Quamdiu autem fuerit vrina rubra & tenuis, morbum adhuc pepaſmi expertem 27

 ſignifi-

ἢν δὲ καὶ πολυχρόνιον εἴη τοιοῦτον ἐόν, κίνδυνος μὴ οὐ δυνήσεται ὁ ἄνθρωπος διαρκέσαι, ἔστ' ἂν πεπανθῇ τὸ οὖρον.

28 Θανατωδέστερα δὲ τῶν οὔρων, τά τε δυσώδεα καὶ ὑδατώδεα, καὶ μέλανα, καὶ παχέα.

29 Ἔστι δὲ τοῖσι μὲν ἀνδράσι καὶ τῇσι γυναιξὶ, τὰ μέλανα τῶν οὔρων, κάκιστα. Τοῖσι δὲ παιδίοισι τὰ ὑδατώδεα.

30 Ὁκόσοι δ' ἂν οὖρα λεπτὰ καὶ ὠμὰ οὐρέωσι πολὺν χρόνον, ἤν τ' ἄλλα ὡς περιεσομένοισι σημεῖα ᾖ, τουτέοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι ἐς τὰ κάτω τῶν φρενῶν χωρία.

31 Καὶ τὰς λιπαρότητας δὲ τὰς ἄνω ἐφισταμένας ἀραχνοειδέας μέμφεσθαι· συντήξιος γὰρ σημεῖα.

32 Σκοπεῖν δὲ χρὴ τῶν οὔρων ἐν οἷσιν αἱ νεφέλαι, ἤν τε ἄνω ἤν τε κάτω ἔωσι, καὶ τὰ χρώματα ὁκοῖα ἔχουσι· καὶ τὰς μὲν κάτω φερομένας ξὺν τοῖσι χρώμασιν, οἷσιν εἴρηται, ἀγαθὰς εἶναι νομίζειν, καὶ ἐπαινέειν· τὰς δὲ ἄνω ξὺν τοῖσι χρώμασιν, οἷσιν εἴρηται, κακὰς εἶναι, καὶ μέμφεσθαι τὰς τοιαύτας.

33 Μὴ ἐξαπατάτω δέ σε, ἤν γε ἡ κύστις τι νόσημα ἔχουσα, τῶν οὔρων τὰ τοιαῦτα ἀποδιδῷ· οὐ γὰρ τοῦ ὅλου σώματος σημεῖόν ἐστιν, ἀλλ' αὐτῆς καθ' ἑαυτῆς.

Ἔμετος

ſignificat. Quodſi diu talis reddatur vrina, periculum eſt, ne vires ægri valere non poſſint, donec vrina mitificata fuerit.

Sed inter vrinas funeſtiſſimæ ſunt hæ; 28
grauceolentes & aqueæ, & nigræ, & craſſæ.

Sed tum viris tum mulieribus nigræ 29
vrinæ peſſimæ. Pueris verò aqueæ.

Quicumque tenues vrinas ac crudas 30
diu excernunt, ſi quidem alia vt conualituris ſigna appareant, his quidem in partibus diaphragmate inferioribus abſceſſum expectare oportet.

Sed & pinguedines quæ in vrinis ſu- 31
perſtant, aranearum telarum ſpeciem referentes, damnare oportet: ſunt enim colliquationis ſigna.

Sed vrinarum nebulæ, ſiue ſuperſtent 32
ſiue ſubſidant, ad hanc rem ſunt exquirendæ, tum ipſi colores quibus ſunt præditæ: & eas quidem quæ deorſum feruntur, iis quibus diximus coloribus præditas, eſſe ſalutares ducendas, ideóque laudandas: eas verò quæ ſurſum feruntur, cum iis coloribus iam commemoratis, prauas eſſe, ideóque damnandas.

Nec te verò fallat, ſi ipſa veſica morbo 33
obſeſſa, huiuſmodi vrinas commemoratas reddiderit: non enim hæc vniuerſi corporis eſt ſignum, ſed ipſius per ſe veſicæ.

34 Ἔμετος δὲ ὠφελιμώτατος, ὁ φλέγματος καὶ χολῆς ξυμμεμιγμένος ὡς μάλιστα, καὶ μὴ παχὺς κάρτα, μὴ δὲ πολύς· οἱ γὰρ ἀκρητέστεροι, κακίους εἰσίν.

35 Εἰ δὲ εἴη τὸ ἐμεύμενον πρασοειδὲς, ἢ πελιὸν, ἢ μέλαν, ὅ τι ἂν ᾖ τουτέων τῶν χρωμάτων νομίζειν χρὴ πονηρὸν εἶναι. Εἰ δὲ καὶ πάντα τὰ χρώματα ὁ αὐτὸς ἄνθρωπος ἐμέοι, κάρτα ὀλέθριον τοῦτο γίνεται.

36 Τάχιστα δὲ θάνατον σημαίνει τὸ πελιὸν τῶν ἐμεσμάτων εἰ ὄζοι δυσῶδες.

37 Πᾶσαι δὲ αἱ ὑπόσαπροι καὶ δυσώδεες ὀσμαὶ, κακαὶ ἐπὶ πᾶσι τοῖσιν ἐμεομένοισιν.

38 Πτύσμα χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι τοῖσι περὶ τὸν πλεύμονα καὶ τὰς πλευρὰς ταχέως τε ἀναπτύεσθαι, καὶ εὐπετέως.

39 Ξυμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς τῷ πτυέλῳ.

40 Εἰ γὰρ πολλῷ ὕστερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀναπτύοιτο, ξανθὸν ἐὸν, ἢ πυρρὸν, ἢ πολλὴν βῆχα παρέχον, καὶ μὴ ἰσχυρῶς ξυμμεμιγμένον, κάκιον γίνεται.

41 Τὸ δὲ γὰρ ξανθὸν ἄκρητον ἐὸν, κινδυνῶδες· τὸ δὲ λευκὸν καὶ γλίσχρον καὶ στρογγύλον, ἀλυσιτελές.

42 Κακὸν δὲ καὶ τὸ χλωρὸν ἐὸν κάρτα, καὶ τὸ ἀφρῶδες.

Εἰ δὲ

Vomitus ad ſalutem præclarè apparet, 34
qui pituita & bile permixtus eſt, nec ad-
modum craſſus, nec ita multus: nam me-
raciores deteriores ſunt.

Sin autem id quod vomitione excludi- 35
tur, porraceum ſit, aut liuidum, aut ni-
grum, quamcumque horum colorum ſpe-
ciem referat, in prauis habere oportet.
Quodſi omnes illos colores idem homo
vomitione exhibeat, valdè quidem id le-
thale eſt.

Sed mortem in propinquo eſſe ſignifi- 36
cat liuidus ille vomitus, qui tetrum odo-
rem ſpirat.

Nam omnes ſubputridi & graueolen- 37
tes odores in iis omnibus quæ vomitu
reiiciuntur, mali ſunt.

Expectoratum verò in omnibus mor- 38
bis qui in pulmones & thoracem incide-
runt, citò & expeditè expectorari debet.

Tum autem flauum exquiſitè permix- 39
tum videri illi ipſi expectorato.

Nam ſi multo poſt morbi ipſius prin- 40
cipium expectoretur aut flauum quid,
aut ruffum, aut quod multam tuſſim ad-
ferat, neque exquiſitè permixtum ſit, de-
terius eſt.

Tum id quod eſt flauum atque mera- 41
cum, periculi plenum eſt: quod verò eſt
album & lentum & rotundum, prorſus
eſt inutile.

Prauum eſt etiam pallidum admodum 42
& ſpumans.

43 Εἰ δὲ εἴη ἔτι ἄκρητον, ὥστε καὶ μέλαν φαίνεσθαι, δεινότερόν ἐστι τοῦτο ἐκείνου.

44 Κακὸν δὲ καὶ ἢν μηδὲν ἀνακαθαίρηται, μηδὲ προΐῃ ὁ πλεύμων, ἀλλὰ πλήρης ἐὼν ζέῃ ἐν τῇ φάρυγγι.

45 Κορύζας δὲ, καὶ πταρμοὺς ἐπὶ πᾶσι τοῖσι περὶ τὸν πλεύμονα νοσήμασι προγεγονέναι, ἢ ἐπιγενέσθαι, κακόν. Ἀλλ' ἐν τοῖσιν ἄλλοισι νοσήμασι τοῖσι θανατωδεστάτοισιν, οἱ πταρμοὶ λυσιτελέουσιν.

46 Αἵματι δὲ ξυμμεμιγμένον μὴ πολλῷ πτύελον ξανθὸν ἐν τοῖσι περιπλευμονικοῖσιν, ἐν ἀρχῇ μὲν τῆς νούσου πτυόμενον περιεστηκὸς καὶ κάρτα ὠφελέει. Ἑβδομαίῳ δὲ ἐόντι καὶ παλαιοτέρῳ ἧσσον ἀσφαλές.

47 Πάντα δὲ πτύελα πονηρά ἐστιν, ὁκόσα ἂν τὴν ὀδύνην μὴ παύῃ. Κάκιστα δὲ τὰ μέλανα, ὡς διαγέγραπται. Τὰ δὲ παύοντα τὴν ὀδύνην, πάντων ἀμείνω ἀναπτυόμενα.

48 Ὁκόσα δὲ τῶν ἀλγημάτων ἐκ τούτων τῶν χωρίων μὴ παύηται, μήτε πρὸς τὰς τῶν πτυέλων καθάρσιας, μήτε πρὸς τὴν τῆς κοιλίης ἐκκόπρωσιν, μήτε πρὸς τὰς φλεβοτομίας τε, καὶ φαρμακείας, καὶ διαίτας, εἰδέναι δεῖ ἐκπυήσοντα.

49 Τῶν δὲ ἐκπυημάτων ὁκόσα μὲν ἔτι χολώδεος ἐόντος τοῦ πτυέλου ἐκπυΐσκεται, ὀλέ-

θρια

Quodſi expectoratum ita meracum ſit, 43
vt nigrum videatur, de hoc omnium ma-
ximè vereri oportet.

Malum etiam eſt ſi nihil expectoretur, 44
nec quicquam pulmones excludant, ſed à
materia morbifica obſiti, in gutture fer-
ueant.

Grauedines & ſternutamenta pulmo- 45
nibus morbo obſeſſis aut præceſſiſſe, aut
incidiſſe, malum. Sed tamen in aliis
morbis, alioqui funeſtiſſimis, quæ inci-
dunt ſternutamenta iuuant.

Expectoratum flauum ſanguine non 46
tam multo perfuſum, quod peripneumo-
nicis ineunte morbo expectoratur, ad ſa-
lutem apparet, mirificéque prodeſt. Se-
ptimum verò diem agenti aut vlteriùs
progreſſo, minùs à metu ſecurum eſt.

Expectorata verò omnia ſunt calami- 47
toſa, quæcumque doloris & morbi remiſ-
ſionem non adferunt. Sed peſſima ſunt
nigra, vt antè à nobis proditum eſt. Quæ
verò dolorem ſedant, omnium maximè
ad ſalutem expectorantur.

Iamverò quorum dolorum, qui in tho- 48
racem & pulmones incidunt, remiſſio nul-
la adfertur, neque materiæ expectorabi-
lis purgatione, neque alui deiectione, ne-
que venæ ſectione, & medicamento pur-
gante, atque etiam diætâ ipſâ, ſuppura-
tum futurum ſcire oportet.

At ſuppuratorum quæcumque bilioſo 49
adhuc expectorato ſuppurant, periculi
plena

δίψα κάρτα, ἤν τε ἐν μέρει τι χολῶδες τοῦ φύσει ἀναπτύοιτο, ἤν τε ὁμοῦ. Μάλιστα δὲ ἢν ἄρξηται χωρίζειν τὸ ἐμπύημα ἀπὸ τουτέου τοῦ πτυέλου. ἑβδομαίου ἐόντος τοῦ νοσήματος. Ἐλπὶς δὲ τὰ τοιαῦτα πλεῖστα ἀποθανεῖσθαι τεσσαρεσκαιδεκαταῖον ἢν μή τι αὐτέῳ ἐπιγένηται ἀγαθόν.

50 Ἔστι δὲ τὰ μὲν ἀγαθὰ, τάδε. εὐπετέως φέρειν τὸ νόσημα· εὔπνοον εἶναι· τῆς ὀδύνης ἀπηλλάχθαι· τό, τε πτύελον ῥηϊδίως ἀναβήσσειν· τό, τε σῶμα ὁμαλῶς φαίνεσθαι θερμόν τε εἶναι καὶ μαλθακόν· καὶ δίψαν μὴ ἔχειν. οὖρα δὲ καὶ διαχωρήματα, καὶ ὕπνους, καὶ ἱδρῶτας ὡς διαγέγραπται· ἕκαστα εἰδέναι ἀγαθὰ ἐόντα ἐπιγίνεσθαι· οὕτω μὲν γὰρ ἁπάντων τουτέων ἐπιγινομένων, οὐκ ἂν ἀποθάνοι ὁ ἄνθρωπος.

51 Ἢν δὲ τὰ μέν τοι αὐτέων ἐπιγίνοιτο, τὰ δὲ μή. οὐ πλείονα χρόνον ζήσας ἢ τεσσαρεσκαίδεκα ἡμέρας, ἀπόλοιτ' ἂν ὁ ἄνθρωπος

52 Κατὰ δὲ τὰ ἐναντία τουτέων, δυσπετέως φέρειν τὴν νοῦσον, πνεῦμα μέγα καὶ πυκνὸν εἶναι τὴν ὀδύνην μὴ παύεσθαι, τὸ πτύελον μόλις ἀναβήσσειν, δίψην κάρτα, τό, τε σῶμα ὑπὸ πυρὸς ἀνωμάλως ἔχεσθαι, καὶ τὴν μὲν κοιλίην καὶ τὰς πλευρὰς θερμὰς εἶναι ἰσχυρῶς, τὸ δὲ μέτωπον καὶ τὰς

χεῖρας

plena ſunt, ſiue illud bilioſum per ſe, ſiue puri permixtum; expectoretur. Ac ſanè potiſſimùm ſi illud ſuppuratum cœperit expectorari ab eiuſmodi ſputo, morbo ad ſeptimum diem progreſſo. Atque eum qui talia expectorat, metus eſt interiturum decimoquarto morbi die: niſi aliquod bonum ſignum ſuperuenerit.

50 Sunt autem ea quæ ſequuntur bona & ſalutaria: modicè & leuiter morbum perferre: ſpirare facilè: dolorem ſedatum eſſe: tum etiam expectoratum facilè tuſſiendo reiicere: tum corpus videri æqualiter calidum & molle: & ſitis expertem eſſe: tum etiam vrinas & deiectiones, & ſomnos, & ſudores, vt antè à nobis eſt definitum. hæc omnia per ſe quæque intelligere commodo naturæ fieri. Nam ſi hæc ita ſuperueniant, fieri non poteſt vt homo moriatur.

51 Quod ſi eorum quædam inciderint, alia verò non, non vltra decimumquartum morbi diem vitam producens, fieri non poterit, quin intra illud tempus moriatur.

52 Sunt autem contraria his mala ſigna, grauiter & cum anxietudine morbum perferre ac pati, reſpirationem magnam & frequentem eſſe, dolorem nullo modo ſedari, expectoratum vix tuſſiendo educi, ardere ſiti, ipſumque corpus à calore inæqualiter affici, vt tamen venter & thorax conflagrare incendio videantur, frons autem

χεῖρας καὶ τοὺς πόδας ψυχροὺς, καὶ δὲ καὶ διαχωρήματα, καὶ ὕπνους, καὶ ἱδρῶτας ὡς διαγέγραπται, ἕκαστα εἰδέναι κακὰ ἐόντα. Οὕτως γὰρ εἰ ἐπιγένοιτό τι τῷ πτυέλῳ τουτέων, ἀπόλλοιτο ἂν ὁ ἄνθρωπος πρὶν ἢ ἐς τὰς τεσσαρεσκαίδεκα ἡμέρας ἀφικέσθαι, ἢ ἐναταῖος, ἢ ἑνδεκαταῖος. Οὕτως οὖν ξυμβάλλεσθαι χρὴ, ὡς τοῦ πτυέλου τουτέου θανατώδεος ἐόντος μάλα, καὶ οὐ περιάγοντος ἐς τὰς τεσσαρεσκαίδεκα ἡμέρας.

53 Τὰ δὲ ἐπιγινόμενα τὰ κακὰ καὶ ἀγαθὰ ξυλλογιζόμενον ἐκ τουτέων, χρὴ τὰς προῤῥήσιας προλέγειν. Οὕτω γὰρ ἄν τις ἀληθεύοι μάλιστα.

54 Αἱ δὲ ἄλλαι ἐκπυήσιες, ῥήγνυνται αἱ πλεῖσται, αἱ μὲν εἰκοσταῖαι, αἱ δὲ τριηκοσταῖαι, αἱ δὲ τεσσαρακονθήμεροι, αἱ δὲ πρὸς τὰς ἑξήκοντα ἡμέρας ἀφικνέονται.

55 Ἐπισκέπτεσθαι δὲ χρὴ τὴν ἀρχὴν τοῦ ἐμπυήματος ἔσεσθαι, λογιζόμενον, ἀπὸ τῆς ἡμέρης ἧ τὸ πρῶτον ὁ ἄνθρωπος ἐπύρεξεν, ἢ εἴποτε αὐτὸν πρῶτον ῥῖγος ἔλαβε· καὶ εἰ φαίη ἀντὶ τῆς ὀδύνης αὐτῷ βάρος γεγενῆσθαι ἐν τῷ τόπῳ ἐν ᾧ ἤλγεεν. Ταῦτα γὰρ ἐν ἀρχῇσι γίνεται τῶν ἐμπυημάτων.

50 Ἐξ οὖν τουτέων τῶν χρόνων τὴν ῥῆξιν

χρὴ

autem, manus, & pedes frigore contra naturam obrigeant, vrinæ etiam, deiectiones, & ſudores, vt à nobis definitum eſt, ſuo proprio quæque vitio laborare videantur. Nam ſi quid horum ſymptomatum, vnà cum ſputo illo ſeptimo die expectorato inciderit, fieri non poteſt quin moriatur æger, priuſquam ad decimumquartum diem peruenerit, aut nono, aut vndecimo. Atque ita hoc modo ſigna inter ſe conferre oportet, cùm hoc ſputum maximè ſit funeſtum, nec ad decimumquartum diem morbi ægrum relinquat ſuperſtitem.

Cùm itaque ex iis quæ mala bonáque incidunt, ſubducta omni ratione, collegeris, tum præſenſiores effari oportet. ſic enim maximè vera prædixeris. 53

Aliorum autem ſuppuratorum vomicæ, ſæpe rumpuntur aliæ quidem vigeſimo die, aliæ verò trigeſimo, aliæ etiam quadrageſimo; exiſtunt etiam quæ ad ſexageſimum diem perueniunt. 54

At omni ratione ſubducta colliges initium fore cuiuſque ſuppurati, ab eo die quo primùm quis febricitare inceperit, aut etiam cùm primùm rigor inuaſit hominem: quibus accedit illud, ſi æger fateatur ſe loco doloris pondus quoddam graue ſentire, parte illa quæ ſibi dolebat. Hæc autem ſunt ineuntis ſuppurati certiſſima ſigna. 55

Atque itaque perfecto ſuppurati tem- 56

 pore,

χρὴ προσδέχεσθαι τὴν ἐμπυημάτων ἔκρηξιν ἐς τοὺς χρόνους τοὺς προειρημένους.

57 Εἰ δὲ εἴη τὸ ἐμπύημα ἐπὶ θάτερα μοῦνον, στρέφειν τε καὶ καταμανθάνειν χρὴ ἐπὶ τούτοισι, μή τι ἔχῃ ἄλγημα ἐν τῷ ἑτέρῳ πλευρῷ. Καὶ ἢν θερμότερον ᾖ τὸ ἕτερον τοῦ ἑτέρου, κατακλινομένου ἐπὶ τὸ ὑγιαῖνον πλευρὸν, ἐρωτᾷν εἴ τι αὐτῷ δοκέει βάρος ἐκκρέμασθαι ἐκ τοῦ ἄνωθεν. Εἰ γὰρ εἴη τοῦτο, ἐπὶ θάτερόν ἐστι τὸ ἐμπύημα, ἐπὶ ὁκοῖον ἂν πλευρὸν τὸ βάρος γίνηται.

58 Τοὺς δὲ ξυμπάντας ἐμπύους γινώσκειν χρὴ τοῖσιδε τοῖσι σημείοισι. Πρῶτον μὲν, εἰ ὁ πυρετὸς οὐκ ἀφίησιν, ἀλλὰ τὴν μὲν ἡμέρην λεπτὸς ἴσχει, τὴν δὲ νύκτα πλείων.

59 Καὶ ἱδρῶτες πολλοὶ ἐπιγίνονται, βῆχές τε καὶ θυμὸς ἴσχειν γίνεται αὐτοῖσι· καὶ ἀποπτύουσιν οὐθὲν ἄξιον λόγου.

60 Καὶ οἱ μὲν ὀφθαλμοὶ ἔγκοιλοι γίνονται· αἱ δὲ γνάθοι ἐρυθήματα ἴσχουσι.

61 Καὶ οἱ μὲν ὄνυχες τῶν χειρῶν, γρυποῦνται· οἱ δὲ δάκτυλοι, θερμαίνονται· καὶ μάλιστα ἄκροι· καὶ ἐν τοῖσι ποσὶν οἰδήματα γίνεται.

62 Καὶ σιτίων οὐκ ἐπιθυμέουσι· καὶ φλύκταιναι γίνονται ἀνὰ τὸ σῶμα.

63 Ὁκόσα μὲν οὖν ἐγχρονίζει τῶν ἐμπυημάτων,

pore, vomicæ ipſius rupturam fore intelliges, illis temporibus quæ definita ſunt.

Si verò ſuppuratum alteram thoracis tantùm occupat partem, in vtrumque latus ægrum conuertere, & ex ægro diſcere oportet, num quid doloris percipiat in altero latere. Ac ſi quidem alterum altero calidius ſit, tum ex eo in latus integrum decumbente quærere oportet, an quod ipſi pondus graue ex ſuperiori loco pendere videatur. Nam ſi hoc ita ſit, altera eius thoracis pars ſuppurato eſt obſeſſa, qua pondus illud graue percipitur. 57

Omnes autem ſuppuratus ex his ſanè ſignis cognoſcere oportet. Primùm quidem ſi febris non depellatur, ſed quæ interdiu quidem leuior eſt, de nocte verò grauior. 58

Tum verò ſudores incidunt multi, & etiam tuſſes, tuſſiendique cupiditas iis oboritur: ſed tamen nihil tuſſiendo commemorabile expectorant. 59

Quin etiam oculi fiunt concaui: ac genæ rubore perfuſæ apparent. 60

Et manuum vngues fiunt adunci: ſed tamen digiti ardore conflagrant: potiſſimúmque extimi: tum etiam in pedibus tumores oboriuntur. 61

Quin etiam cibos non appetunt: tum verò puſtulæ per totum corpus erumpunt. 62

Igitur diuturna (pectoris & pulmonis) 63

υγάτων, ἔχει τὰ σημεῖα ταῦτα, καὶ πιέζει (?) αὐτέοισι χρὴ κάρτα.

64 Ὁκόσα δὲ ὀλιγοχρόνιά ἐστι, σημαίνεται, πλείων ἤν τι ἐπιφαίνηται, οἷα καὶ τοῖσιν ἐν ἀρχῇσι γινομένοισιν· εἴη δὲ καὶ ἤν τι δυσαπόστερος (?) ἢ ὁ ἄνθρωπος.

65 Τὰ δὲ ταχύτερον αὐτέων καὶ βραδύτερον ῥηγνύμενα, τοῖσδε γινώσκειν χρή· Ἢν μὲν ὁ πόνος ἐν ἀρχῇσι γένηται, καὶ ἡ δύσπνοια, καὶ ἡ βὴξ, καὶ ὁ πτυαλισμὸς διατελέῃ, ἐς τὰς εἴκοσιν ἡμέρας ἔχων, προσδέχεσθαι τὴν ῥῆξιν ἢ καὶ ἔτι πρόσθεν. Ἢν δὲ ἡσυχαίτερος ὁ πόνος ᾖ, καὶ τἆλλα πάντα τουτέοισι κατὰ λόγον τουτέου, προσδέχεσθαι τὴν ῥῆξιν ἐς ὕστερον.

66 Γίνεσθαι δὲ ἀνάγκη καὶ πόνον, καὶ δύσπνοιαν, καὶ πτυαλισμὸν περὶ τὴν τοῦ πύου ῥῆξιν.

67 Περιγίνονται δὲ τουτέων μάλιστα μὲν, οὓς ἂν ἀφῇ ὁ πυρετὸς αὐθημερὸν μετὰ τὴν ῥῆξιν, καὶ σιτίων ταχέως ἐπιθυμέωσι· καὶ δίψης ἀπηλλαγμένοι ἔωσι· καὶ ἡ γαστὴρ σμικρά τε καὶ ξυνεστηκότα ὑποχωρέῃ. καὶ τὸ πύον λευκόν τε, καὶ λεῖον, καὶ ὁμόχροον ᾖ, καὶ φλέγματος ἀπηλλαγμένον, καὶ ἄτερ πόνου τε καὶ βηχὸς ἰσχυρῆς ἀνακαθαίρηται.

68 Ἄριστα μὲν οὕτως καὶ τάχιστα ἀπαλλάσ-
σουσιν·

nis) ſuppurata,iis maximè ſignis deprehenduntur, maximéq; illis fidendum eſt.

Quæ verò breui eruperunt, his ſignis ea (ſuppurata) cognoſcuntur,ſi quæ appareant,qualia (ſuppuratorum) principio apparere diximus: Quibus & illud (accedit,) ſi tunc maiori,quàm antè,difficultate ſpirandi laboret. 64

Quorum verò (ſuppuratorum vomicæ) maturiùs tardiúsve rumpuntur,his ſignis cognoſcere licet. Nam ſi ineunte morbo (thoracis) dolor infeſtet,& cum ſuſpirioſo anhelitu, atque tuſſi, & expectoratum ad vigeſimum vſque diem differatur, tum puris eruptionem expectare oportet, aut etiam celeriùs. Sin dolor remiſſior fuerit, omniáque reliqua pro huius ratione, tardiùs ſuppurati eruptionem expectare oportet. 65

Sed tamen neceſſariò dolor cum ſuſpirioſo anhelitu & expectorato ante puris eruptionem incidit. 66

Ex his autem illi ſuperſunt maximè, quos eo ipſo die, quo rupta eſt vomica, febris dimiſit: & ilicò cibos appetunt: ac ſitis ſunt planè expertes: tum aluus pauca & figurata reddit: tum pus ipſum album eſt,& læue,& vniuſmodi, & pituitæ expers, tum & ſi abſque dolore & vehementiori tuſſi expectoretur. 67

Itaque qui ita ſunt affecti, optimè at- 68

 que

σωσιν· ἢν δὲ μὴ, οἷσιν ἂν ἐξ ὑστάτων τουτέων γίνηται.

69 Ἀπόλλυνται δὲ ὡς ἂν ὅ, τε πυρετὸς μὴ ἀφείῃ· ἢ δοκέων αὐτέους ἀφιέναι, αὖθις φαίνηται ἀναθερμαινόμενος· καὶ δίψαν μὲν ἔχωσι, σιτίων δὲ μὴ ἐπιθυμέωσι· καὶ ἡ κοιλίη ὑγρὴ ᾖ· καὶ τὸ οὖρον χλωρὸν καὶ πέλιον πλύῃ, ἢ φλεγματῶδες καὶ ἀφρῶδες. Ἢν ταῦτα πάντα γίγνηται, ἀπόλλυνται.

70 Ὁκόσοισι δ' ἂν τουτέων τὰ μὲν ἐπιγίνηται, τὰ δὲ μὴ, οἱ μὲν αὐτέων ἀπόλλυνται, οἱ δὲ ἐν πολλῷ χρόνῳ περιγίνονται. Ἀλλ' ἐκ πάντων τῶν τεκμηρίων, τῶν ἐόντων ἐν τουτέοισι, σημαίνεσθαι, καὶ τοῖσιν ἄλλοισι πᾶσιν.

71 Ὁκόσοισι δὲ ἀποστάσιες γίγνονται ἐκ τῶν περιπλευμονικῶν νοσημάτων, παρὰ τὰ ὦτα, καὶ ἐμπυΐσκονται, ἐς τὰ κάτω χωρία, καὶ συριγγοῦνται, οὗτοι δὲ περιγίνονται.

72 Ἐπισκέπτεσθαι δὲ χρὴ τὰ τοιαῦτα, ὧδε. Ἢν ὅ, τε πυρετὸς ἔχῃ, καὶ ἡ ὀδύνη μὴ παύηται, καὶ τὸ πτύελον μὴ ἐκχωρέῃ κατὰ λόγον, μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες, μηδ' εὔλυτοί τε καὶ ἄκρητοι γίγνοιντο, καὶ μηδὲ τὸ οὖρον παχύ τε κάρτα καὶ πολλὴν ὑπόστασιν ἔχον, ὑπηρετῆται δὲ περιεστικῶς ὑπὸ τῶν λοιπῶν πάν-

των

que celerrimè liberantur: ſin minùs,quo propiùs ad hæc (ſigna) accedunt.

Sed (à ſuppurato) intereunt,quos (à 69 rupta vomica) febris non dimiſit: aut ſi febricitandi finem feciſſe videantur, iteratò incendio conflagrant: & ſiti ardent, nec vllo edendi amore tenentur: tum aluo ſunt profuſiore; pus autem viride & liuidum expectoratur,aut pituitoſum & ſpumans. Nam ſi hæc omnia inciderint, (breui) intereunt.

Sed quibus horum (ſymptomatum) alia 70 quidem apparent, alia verò non, ex iis quidam intereunt, alij verò in multo tempore tandem ſuperſunt. Sed ex illis omnibus ſignis ſyllogiſticis,quæ in iis apparent, ſignificatio fiet, omnibúsque aliis.

Quibus verò ex peripneumonicis mor- 71 bis abſceſſus incidunt ponè aures,& ſuppurant,aut ad infernas partes decumbit & fiſtula excitatur,hi ſanè ſuperſunt.

Sed huiuſmodi (abſceſſus) fore intelli- 72 ges, hoc modo. Si febris detineat, nec vlla doloris remiſſio adferatur,nec expectoratum conuenienter feratur, nec bilioſa aluo ſecedant, nec facilè aluus meracis feratur, nec verò vrina profusè reddatur cum multa hypoſtaſi,atque certa ſalutis ſpes ab aliis ſignis ſalutaribus

τῶν τῶν περιεστικῶν σημείων τυχέοισι χρὴ τὰς τοιαύτας ἀποστάσιας ἐλπίζειν ἔσεσθαι. Γίνονται δὲ αἱ μὲν ἐς τὰ κάτω χωρία, οἷσιν ἂν περὶ τὰ ὑποχόνδρια τοῦ φλέγματός τι ἐγγένηται· αἱ δὲ ἄνω, οἷσι τὸ ὑποχόνδριον λαπαρόν τε καὶ ἀνώδυνον διατελέῃ. Δύσπνους δέ τινα χρόνον γενόμενος παύσηται, ἄτερ φανερῆς προφάσιος ἄλλως.

73 Αἱ δὲ ἀποστάσιες αἱ ἐς τὰ σκέλεα ἐν τῇσι περιπλευμονίῃσι τῇσιν ἰσχυρῇσί τε καὶ ἐπικινδυνώδεσι λυσιτελέες μὲν πᾶσαι· ἄρισται δὲ αἱ τοῦ πτυέλου ἐν μεταβολῇ ἐόντος γενόμεναι. Εἰ γὰρ τὸ οἴδημα καὶ ἡ ὀδύνη γίγνοιτο, τοῦ πτυέλου ἀντὶ ξανθοῦ πυώδεος γενομένου, καὶ ἐκχωρέοντος ἔξω· οὕτως ἂν ἀσφαλίστατα ὅ τε ἄνθρωπος περιγίνοιτο, καὶ ἡ ἀπόστασις ἀνώδυνος τάχιστα παύσεται.

74 Εἰ δὲ τὸ πτύελον μὴ ἐκχωρέῃ καλῶς, μηδὲ τὸ οὖρον ὑπόστασιν ἀγαθὴν ἔχον φαίνοιτο, κίνδυνος χωλὸν γενέσθαι τὸ ἄρθρον, ἢ πολλὰ πρήγματα παρασχεῖν.

75 Ἢν δὲ ἀφανίζωνται καὶ παλινδρομέωσιν αἱ ἀποστάσιες, τοῦ πτυέλου μὴ ἐκχωρέοντος,

καὶ τοῦ

affulgeat,tum iis commemoratos abſceſſus fore ſpes eſt. Eorum verò (abſceſſuum) alij quidem imis in partibus oboriuntur,nimirum quorum hypochondria inflammatione ſunt obſeſſa: alij verò ſuperioribus partibus erumpunt, quibus hypochondrium molle eſt & doloris expers perſeuerat. Sed tamen cùm anteà ſuſpirioſo anhelitu laboraret, anhelandi finem fecerit, ſine alia quapiam manifeſta (illius remiſſionis) cauſa.

Cæterùm qui in crura decumbunt abſceſſus, à peripneumonia vehementi & calamitoſa, præclarè quidem omnes ad ſalutem faciunt. Sed illi optimi qui in expectorati mutationem incidunt. Nam ſi tumore contra naturam cum dolore coniuncto (obſeſſa fuerint crura,) poſtquam expectoratum è flauo purulentum eſt redditum, nec non (bona illius pars) excretione iam ſeceſſit: Sic enim valetudine integra (peripneumonicus) homo ipſe victor euadet, tum abſceſſus doloris expers concèdet celerrimè. 73

Contrà ſi expectoratum non antè conuenienter ſeceſſerit, nec ipſa vrina bona hypoſtaſi prædita ſit, tum ſanè membrum ipſum (tumore obſeſſum) in claudicationis eſt periculo, aut multum negotij, multúmque moleſtiæ faceſſet. 74

Quodſi euaneſcant abſceſſus, & intrò recurrant, ſiquidem expectorati omnis ratio deſideretur, & febris detineat, calamito- 75

καὶ τοῦ πυρετοῦ ἔχοντος, δεινόν· κίνδυνος γὰρ, μὴ παραφρονήσῃ, καὶ ἀποθάνῃ ὁ ἄνθρωπος.

76 Τῶν δὲ ἐμπύων, τῶν ἀπὸ τῶν περιπλευμονικῶν, οἱ γεραίτεροι μᾶλλον ἀπόλλυνται. Ἐκ δὲ τῶν ἄλλων ἐμπυημάτων, οἱ νεώτεροι μᾶλλον ἀποθνήσκουσιν.

77 Αἱ δὲ ξὺν πυρετῷ γινόμεναι ὀδύναι περὶ τὴν ὀσφύν τε καὶ τὰ κάτω χωρία, ἢν τῶν φρενῶν ἅπτωνται, τὰ κάτω ἐκλείπουσαι, ὀλέθρια κάρτα. Προσέχειν οὖν δεῖ τὸν νόον τοῖσιν ἄλλοισι σημείοισιν· ὡς ἤν τι καὶ τῶν ἄλλων σημείων ἐπιφαίνηταί τι πονηρὸν, ἀνέλπιστος ὁ ἄνθρωπος.

78 Εἰ δὲ ἀναΐσσοντος τοῦ νοσήματος ὡς πρὸς τὰς φρένας, τὰ ἄλλα σημεῖα μὴ πονηρὰ ἐπιγίνηται, ἔμπυον ἔσεσθαι τοῦτον πολλαὶ ἐλπίδες.

79 Ὁκόσοι δὲ τῶν ἐμπύων καίονται, οἷσιν ἂν καθαρὸν μὲν τὸ πῦον ᾖ, καὶ λευκὸν, καὶ μὴ δυσῶδες, σώζονται. Οἷσι δὲ ὕφαιμόν τε καὶ βορβορῶδες, ἀπόλλυνται.

80 Κύστιες δὲ σκληραί τε καὶ ἐπώδυνοι, δειναὶ μὲν [illegible] καὶ ὀλέθριαι. Ὀλεθριώταται δὲ ὁκόσαι ξὺν πυρετῷ συνεχεῖ γίνονται· Καὶ γὰρ οἱ ἀπ᾽ αὐτέων τῶν κυστίων πόνοι, ἱκανοὶ ἀποκτεῖναι. Καὶ αἱ κοιλίαι

mitoſum id eſt: tunc enim delirio & morte periclitatur æger.

Eorum verò qui à peripneumonia ſunt purulenti, ſeniores magis intereunt. (Contrà verò) ex aliis omnibus ſuppuratis iuniores (inter cæteras ætates) omnium facillimè celerrimèque moriuntur. 76

Cum febre dolores qui lumbos ſedéſque inferas occupant, ſi illis relictis præcordia inuadant, pernicioſi ſunt. At huius rei veritas ad aliorum ſignorum rationem eſt exquirenda, vt ſi quod aliud malum acceſſerit ſignum, deſperatus homo videatur. 77

Sin verò morbi (lumborum) ad diaphragma appulſu, alia quæ apparent ſigna haud mala fuerint, ſuppuratum fore multa ſpes eſt. 78

Quicumque purulenti vruntur, ſi purum quidem pus fuerit, & album, nec tetri odoris, conualeſcunt. At quibus ſubcruentum & cœnoſum (manat pus,) moriuntur. 79

Veſicæ durities cum ſummo dolore coniuncta, valdè eſt metuenda & omninò calamitoſa. Sed planè funeſta eſt (illa durities cum ſummo dolore coniuncta) quæ vnà cum febre continua incidit: nam veſicæ dolores per ſe ipſi necando ſufficiunt. Huc accedit, quod eo mor- 80

λίαι οὐ διαχωρέει ἐν τελέῳ τῷ χρόνῳ, εἰ μὴ σκληρόν τι καὶ πρὸς ἀνάγκην.

81 Λύει δὲ οὖρον πυῶδες οὐρηθὲν, λευκὸν καὶ λεῖον ἔχον τὴν ὑπόστασιν.

82 Ἢν δὲ μήτε τῷ οὔρῳ μηδὲν ἐνδιδῷ ὁ πόνος, μή τε ἡ κύστις μαλάσσοιτο, ὅ, τε πυρετὸς ξυνεχὴς ᾖ ἐν τῇσι πρώτῃσι περιόδοισι τοῦ νοσήματος, ἐλπὶς τὸν ἀλγέοντα ἀπολέσθαι.

83 Ὁ δὲ τρόπος οὗτος ἅπτεται τῶν παιδίων μάλιστα τῶν ἑπταετέων, ἕως αἱ ἐς τὰ πεντεκαίδεκα ἔτεα γένωνται.

ΙΠΠΟΚΡΑ´ΤΟΥΣ

ΚΩ´ΟΥ

ΠΡΟΓΝΩΣΤΙΚΩ͂Ν

ΤΡΙ´ΤΟΝ.

1 Οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτῇσιν ἡμέρῃσι τὸν ἀριθμὸν, ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι, καὶ ἐξ ὧν ἀπόλλυνται. Οἵ, τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν, καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες, τεταρταῖοι παύονται, ἢ πρόσθεν. Οἵ, τε κακοηθέστατοι,

τες,

eo morbi tempore nihil prorſus alui ferantur, niſi duris quibuſdam, & cum ſumma egerendi difficultate.

21 Sed (illius inflammationis) remiſſionem adfert, purulenta vrina, alba, & læui hypoſtaſi prædita.

22 Quòd ſi vrinæ illi purulentæ dolor nihil conceſſerit, nec veſica mollior percipiatur, tum ipſa febris continenter infeſtet primis morbi diebus, metus eſt ægrū interiturum.

23 Sed hæc morbi ſpecies vel idea ſeptennes pueros potiſſimùm inuadit, donec ad decimumquintum ætatis annum peruenerint.

HIPPOCRATIS COI PROGNOSTICON

LIBER III.

1 At verò febres iudicantur eiſdem ipſis numero diebus, quibus fit vt ſuperſint homines, aut moriantur. Etenim febres mitiſſimæ, & cum ſignis coniunctæ tutiſſimis, quarto die ceſſant, aut etiam celeriùs. Contrà verò quæ admodum

τοι, καὶ ἐπὶ σημείων ὀξυτάτων γινόμενα, τεταρταῖοι κτείνουσιν, ἢ πρόσθεν. Ἡ μὲν οὖν πρώτη ἔφοδος αὐτέων οὕτω τελευτᾷ. Ἡ δὲ δευτέρη, ἐς τὴν ἑβδόμην περιάγεται. Ἡ δὲ τρίτη, ἐς τὴν ἑνδεκάτην. Ἡ δὲ τετάρτη, ἐς τὴν τεσσαρεσκαιδεκάτην. Ἡ δὲ πέμπτη, ἐς τὴν ἑπτακαιδεκάτην. Ἡ δὲ ἕκτη, ἐς τὴν εἰκοστήν. Αὗται μὲν οὖν ἐκ τῶν ὀξυτάτων νοσημάτων διὰ τεσσάρων ἐς τὰς εἴκοσιν, ἐκ προσθέσιος τελευτῶσιν.

8 Οὐ δύναται δὲ ὅλῃσιν ἡμέρῃσιν οὐδὲν τουτέων ἀριθμέεσθαι ἀτρεκέως· οὐδὲ γὰρ ὁ ἐνιαυτός τε καὶ οἱ μῆνες ὅλῃσιν ἡμέρῃσιν πεφύκασιν ἀριθμέεσθαι. Μετὰ δὲ ταῦτα ἐν τῷ αὐτῷ τρόπῳ κατὰ τὴν αὐτὴν πρόσθεσιν ἡ πρώτη περίοδος τεσσάρων καὶ τριήκοντα ἡμερέων. Ἡ δὲ δευτέρη, τεσσαράκοντα ἡμερέων. Ἡ δὲ τρίτη ἑξήκοντα ἡμερέων. Τουτέων δ' ἐν ἀρχῇσιν ἐστὶ χαλεπώτατον διαγινώσκειν, τὰ μέλλοντα ἐν πλείστῳ χρόνῳ κρίνεσθαι· ὁμοιόταται γὰρ αἱ ἀρχαί εἰσιν αὐτέων. ἀλλὰ χρὴ ἀπὸ τῆς πρώτης ἡμέρης ἐνθυμέεσθαι, καὶ καθ' ἑκάστην τετράδα προστιθεμένην σκέπτεσθαι. καὶ οὐ λήσεται ὅπῃ τρέψεται τὸ νόσημα. Γίνεται δὲ ἡ τῶν τεταρταίων

ſunt malignæ febres, & quæ cum ſignis calamitoſis exiſtunt, quarto die interſiciunt, aut etiam priùs. Ergo primum naturæ & morbi certamen ſic definitur. Alterum verò ad ſeptimum diem producitur. Tertium verò vndecimo definitur die. Quartum ad decimumquartum producitur. Quintum verò in decimum ſeptimum deſinit. Sextum autem ad vigeſimum. Atque huiuſmodi inſultus ex acutiſſimis morbis in vigeſimum totius hiſtoriæ morbi diem ex acceſſione, per quaterniones finiuntur.

Sed nullus horum (quaternionum) poteſt perfectè & verè diebus integris numerari: non enim annus & menſes integris diebus definiri poſſunt. His autem (viginti diebus) exactis in eadem ſpecie morbi, per eandem (dierum & ſignorum) acceſſionem prima (quæ ſequitur) periodus trigeſimo quarto die definitur. Secunda verò periodus quadrageſimo die finitur. Tertia verò periodus eſt ſexaginta dierum. Sed eorum ineunte quidem morbo difficillimum eſt præſentire, quæ longo ſpacio veniunt iudicanda: horum enim principia ſui ſimillima exiſtunt. Sed tamen oportet (antè) diligenter à primo die attendere: & ex conjunctis inter ſe quaternionibus, ad eam rationem (morbi exitum) conſiderare, nec te latebit quorſum euaſurus ſit morbus. Quin & quar-

 tana-

Ἰασπαίον καλέσαντες, ἐκ τοῦ τοιούτου κόσμου.

3 Τὰ δὲ ἐν ἐλαχίστῳ χρόνῳ μέλλοντα κρίνεσθαι, εὐπετέστερα γινώσκεσθαι· μέγιστα γὰρ τὰ διαφέροντα ἀπ' ἀρχῆς αὐτέων ἐστίν. Οἱ μὲν γὰρ περιεσόμενοι, εὔπνοοί τε, καὶ ἀνώδυνοί εἰσι, καὶ κοιμῶνται τὰς νύκτας· τά τε ἄλλα σημεῖα ἔχουσιν ἀσφαλέστατα. Οἱ δὲ ἀπολλύμενοι δύσπνοοι γίνονται, ἀλλοφάσσοντες, ἀγρυπνέοντες, τά τε ἄλλα σημεῖα κάκιστα ἔχοντες. Ὡς οὖν τούτων οὕτω γινομένων, ξυμβάλλεσθαι χρὴ κατά τε τὸν χρόνον· κατά τε τὴν πρόσθεσιν ἑκάστην, ἐπὶ τὴν κρίσιν ἰόντων τῶν νοσημάτων. Κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τῇσι γυναιξὶν, αἱ κρίσιες ἐκ τῶν τόκων γίνονται.

4 Κεφαλῆς δὲ ὀδύναι ἰσχυραί τε καὶ ξυνεχέες, ξὺν πυρετῷ, ἢν μέν τι τῶν θανατωδέων σημείων προσγίνηται, ὀλέθριον κάρτα.

5 Εἰ δὲ ἄτερ τῶν τοιούτων σημείων ἡ ὀδύνη ὑπερβάλλοι εἴκοσιν ἡμέρας, ὅ τε πυρετὸς ἔχοι, ὑποσκέπτεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἄλλην τινὰ ἀπόστασιν, ἐς τὰ κάτω χωρία.

6 Ἔστ' ἂν δὲ καὶ ἡ ὀδύνη ἡ νεαρὴ, προσδέχεσθαι χρὴ ὡσαύτως, αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἐκπύησιν. Ἄλλως τε, ἢν ἡ ὀδύνη περὶ

τὸν

tanarum febrium hiſtoria ad hanc exqui-
rendi rationem eſt reuocanda.

Qui autem morbi breui temporis ſpa- 3
cio iudicari debent, eorum præſenſio in
promptu eſt: nam ab ineunte morbo
multum differunt. Qui autem ſuperſti-
tes ſunt euaſuri, tum ex facili ſpirant,
tum doloris ſunt expertes: ac de nocte
dormiunt: omniáque ſigna poſſident ſe-
curiſſima. At verò qui moriuntur, diffi-
cultate ſpirandi tenentur, abſurda lo-
quentes, ſomni expertes, aliaque ſigna
poſſident calamitatis plena. Quæ cùm
ita ſint, ad hanc (præſcriptam) temporis
& proſtheſeos cuiuſque rationem (futuri
exitus præſenſio) eſt exquirenda, morbis
ad criſim euntibus. Eadem quoque ra-
tione, puerperis à partu criſes incidunt.

Cæterùm capitis immenſi dolores, & 4
pertinaces, cum febre coniuncti, ſi quidem
funeſtum aliquod ſignum acceſſerit, valdè
pernicioſi exiſtunt.

Si verò abſque illa (funeſtorum) ſigno- 5
rum acceſſione, vigeſimum (morbi) diem
dolor exceſſerit, febriſque ipſa detineat,
narium profluuium, aut imis in partibus
abſceſſum fore ſuſpicionem adfert.

Verùm dolore adhuc recenti æquè 6
profluuium ſanguinis (atque vigeſimo die
exacto) aut ſuppuratum ſperari poteſt.

τοὺς κροτάφους, καὶ τὸ μέτωπον ᾖ.

7 Μᾶλλον δὲ χρὴ προσδέχεσθαι τὴν μὲν αἵματος ῥῆξιν τοῖσι νεωτέροισι πέντε καὶ τριήκοντα ἐτέων· τοῖσι δὲ γεραιτέροισι, τὴν ἐκπύησιν.

8 Ὠτὸς δὲ ὀξείη ὀδύνη ξὺν πυρετῷ ξυνεχεῖ τι καὶ ἰσχυρῷ, δεινόν. κίνδυνος γὰρ παραφρονῆσαι τὸν ἄνθρωπον, καὶ ἀπολέσθαι. Ὡς οὖν τούτου τοῦ τρόπου σφαλεροῦ ἐόντος, ταχέως δεῖ προσέχειν τὸν νόον τοῖσι σημείοισι πᾶσιν, ἀπὸ πρώτης ἡμέρης.

9 Ἀπόλλυνται δὲ οἱ μὲν νεώτεροι τῶν ἀνθρώπων, ἑβδομαῖοι, καὶ ἔτι θᾶσσον ὑπὸ τουτέου τοῦ νοσήματος· οἱ δὲ γέροντες, πολλῷ βραδύτερον. Οἵ τε γὰρ πυρετοὶ, καὶ αἱ παραφροσύναι ἧσσον αὐτέοισιν ἐπιγίνονται· καὶ τὰ ὦτα διὰ τοῦτο φθάνει ἐκπυΐσκεσθαι. Ἀλλὰ ταύτῃσι μὲν τῇσιν ἡλικίῃσιν ὑποστροφαὶ τοῦ νοσήματος ἐπιγενόμεναι, ἀποκτείνουσι τοὺς πλείστους. Οἱ δὲ νεώτεροι πρὶν ἐκπυῆσαι τὸ οὖς, ἀπόλλυνται. Ἐπὴν γε ῥυῇ πύον λευκὸν ἐκ τοῦ ὠτὸς, ἐλπὶς τῷ νεωτέρῳ περιγενέσθαι, ἤν γε καὶ ἄλλο τι αὐτέῳ ἐπιγένηται χρηστὸν σημεῖον.

10 Φάρυγξ δὲ ἑλκουμένη σὺν πυρετῷ, δεινόν· ἀλλ' ἤν τι καὶ ἄλλο σημεῖον γένηται τῶν προκεκριμένων πονηρῶν εἶναι,

προλέ-

Idque cùm aliàs, tum ſi ad tempora & frontem dolor peruenerit.

Sed multo celeriùs narium profluuium 7
triginta quinque annis minoribus expectare oportet: grandioribus verò, ſuppuratum.

Aurium dolor acutus cum febri conti- 8
nua & vehementi coniunctus, eſt formidabilis: nam qui ſic affectus eſt, delirio & morte periclitatur. Cùm igitur hæc mali ſpecies periculi plena ſit, protinùs ineunte morbo, ad omnia quæ apparent ſigna mentem conuertere oportet.

Hoc morbo iuuenes ſeptimum diem 9
agentes, aut etiam celeriùs moriuntur: ſenes autem multo tardiùs. Nam minor vis delirij & febris in ſenes incidit: eámque ob cauſam aures ſuppurato anteuertunt. Sed in his ætatibus morbi qui iteratò recrudeſcunt, plures quidem interimunt. Iuuenes contrà ſuppuratum auris morte præueniunt. Si verò pus album ex aure manârit, tum iuueni ſalutis ſpes affulget, ſiquidem aliud bonum ſignum acceſſerit.

Faucium exulceratio cum febre con- 10
iuncta, formidabilis quidem eſt: ſi quod aliud acceſſerit ſignum prauum, cuiuſmodi iam à nobis definita ſunt, de homi-

προλέγειν ὡς ἐν κινδύνῳ ἐόντος τοῦ ἀνθρώπου.

21 Αἱ δὲ κυνάγχαι δεινόταται μέν εἰσι, καὶ τάχιστα ἀναιρέουσιν, ὁκόσαι μήτε ἐν τῇ φάρυγγι μηδὲν ἔκδηλον ποιέουσι, μήτε ἐν τῷ αὐχένι. Πλεῖστον δὲ πόνον παρέχουσι, καὶ ὀρθόπνοιαν· αὗται γὰρ καὶ αὐθημερὸν ἀποπνίγουσι, καὶ δευτεραῖαι, καὶ τριταῖαι, καὶ τεταρταῖαι. Ὅσαι δὲ τὰ μὲν ἄλλα παραπλησίως πόνον παρέχουσιν, ἐπαίρεται δὲ, καὶ ἐρυθήματα ἐν τῇ φάρυγγι ποιέουσιν, ὀλέθριαι μὲν κάρτα· χρονιώτεραι δὲ μᾶλλον τῶν προτέρων, ἢν τὸ ἐρύθημα μέγα γένηται.

22 Ὁκόσοισι δὲ ξυνεξερευθείη ἡ φάρυγξ καὶ ὁ αὐχὴν, αὗται δὴ χρονιώτεραι· καὶ μάλιστα ἐξ αὐτέων τινὲς περιφεύγουσιν, ἢν ὅ, τε αὐχὴν, καὶ τὸ στῆθος ἐρύθημα ἔχῃ, καὶ μὴ παλινδρομέῃ τὸ ἐρυσίπελας εἴσω.

23 Ἢν δὲ μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν ἀφανίζηται τὸ ἐρυσίπελας, μήτε φύματος ξυστραφέντος ἐν τῷ ἔξω χωρίῳ, μήτε πῦον ἀποβήσσῃ, ῥηϊδίως τε καὶ ἀπόνως ἔχειν δοκέῃ, θάνατον σημαίνει, ἢ ὑποστροφὴν τοῦ ἐρυθήματος. Ἀσφαλέστερον δὲ τὸ οἴδημα καὶ τὸ ἐρύθημα ὡς μάλιστα ἔξω τρέπεσθαι. Ἢν δὲ ἐς τὸν πλεύμονα τραπῇ, παράνοιάν τε ποιέει, καὶ ἔμπυοι ἐξ αὐτέων τινὲς ὡς τὰ πολλὰ γίνονται.

Οἱ δὲ

ne ita pronunciare oportet, vt qui in periculo ſit.

At verò anginæ terribiles maximè ſunt 11
illæ, celerrimeque hominem de medio tollunt, quæcumq. in faucibus nihil, neque in ceruicibus aſpectabile relinquunt: ſæuiſſimos autem dolores excitant, & ſuſpirioſos anhelitus: tales autem eodem ipſo die quo inuaſerant, ſtrangulant; & ſecundo, & tertio, & quarto. Quæ verò anginæ cæteræ, parem doloris vim adferunt, ſed tamen intumeſcunt, & fauces rubore ſuffundunt, pernicioſæ quidem valdè ſunt illæ, ſed tamen diuturniores iis quas iam deſcripſimus, præſertim ſi (fauces) inſigniter rubeant.

At quibuſcumque vnà fauces & vnà 12
ceruices inſigniter rubent; huiuſmodi (anginæ) ſunt diuturniores: maximèque nonnulli ab eis euadunt, ſi & ceruices & pectus rubore perfuſa ſint, nec eryſipelatis fiat intro refluxus.

Quodſi nec diebus criticis eriſypelas 13
euaneſcat, nec tumor ad externas partes prorumpat, nec pus expectorârit, nec leuiùs ac doloris expers degere videatur, mortem ſignificat, aut ruboris ipſius recidiuam. Sed longè tum res ægri meliori ſunt loco, cùm tumor rubore perfuſus maximè foras prorumpit. Sin verò ad pulmones ſeſe conuerterit, & delirium excitat, & purulenti nonnulli maximam partem ex eo fiunt.

At verò

14 Οἱ δὲ γαργαρεῶνες ἐπικίνδυνοι καὶ ἀποτάμνεσθαι καὶ ἀποχάζεσθαι, ἔστ' ἂν ἐρυθροί τε ἔωσι καὶ μεγάλοι· καὶ γὰρ φλεγμοναὶ ἐπιγίνονται τουτέοισι καὶ αἱμοῤῥαγίαι. Ἀλλὰ χρὴ τὰ τοιαῦτα τῇσιν ἄλλοισι μηχανήμασι πειρᾶσθαι κατισχναίνειν ἐν τουτέῳ τῷ χρόνῳ.

15 Ὁπόταν δὲ ἀποκριθῇ ἤδη πᾶν, ὃ δὴ σταφυλὴν καλέουσι, καὶ γένηται τὸ μὲν ἄκρον τοῦ γαργαρεῶνος μεῖζόν τε καὶ περιφερές, τὸ δὲ ἀνωτέρω λεπτότερον, ἐν τουτέῳ τῷ καιρῷ ἀσφαλὲς διαχειρίζειν. Ἄμεινον δὲ καὶ τὴν κοιλίην ὑποκενώσαντα χειρουργίῃ χρῆσθαι, ἢν ὅ, τε χρόνος ξυγχωρέῃ, καὶ μὴ ἀποπνίγηται ὁ ἄνθρωπος.

16 Ὁκόσοισι δ' ἂν οἱ πυρετοὶ παύονται, μή τε σημείων γενομένων λυτηρίων, μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν, ὑποστροφὴν προσδέχεσθαι χρὴ τουτέοισιν.

17 Ὅστις δ' ἂν τῷ πυρετῷ μηκυνομένῳ περιεστικῶς διακειμένου τοῦ ἀνθρώπου, μηκέτι ὀδύνης ἐχούσης διὰ φλεγμονήν τινα, μήτε διὰ πρόφασιν ἄλλην μηδεμίην ἐμφανέα, τουτέῳ προσδέχεσθαι ἀπόστασιν μετ' οἰδήματός τε καὶ ὀδύνης εἴς τι τῶν ἄρθρων, καὶ οὐχ ἥκιστα ἐκ τῶν κάτω.

18 Μᾶλλον δὲ γίνονται καὶ ἐλάσσοσι χρόνοις

αἱ τοιαῦ-

At verò gurguliones formidabiles ſunt & inciſione & ſcarificatione, quamdiu & rubri & magni ſunt: nam tum inflammationes incidunt ſanguiniſque profluuia. Sed huiuſmodi aliis remediis artificioſe excogitatis attenuare conandum eſt tunc temporis. 14

At verò cùm iam tota (columella) abſceſſerit (à palato) quem (morbum) vuam vocant, appareátque pars ima gurgulionis maior atque rotunda, ſuperior autem pars tenuior, ibi tum tutò manus admouere poteris. Sed tamen præſtiterit ſubducta aluo chirurgia vti: ſiquidem & tempus conſentiat, nec ſtranguletur æger. 15

Quicunque verò febricitandi finem faciunt, ſine ſalutaribus ſignis, (& cauſis) neque diebus criticis (quicquam appareat aut factum fuerit) his recidiuus morbus eueniet. 16

Iam verò quæcunque febris diuturna eſt ægro ſalutis ſecuro, nec tamen doloris aut phlegmone, aut rei externæ vis aliqua inciderit, huic abſceſſum cum tumore & dolore coniunctum, in articulis, maximéque in iis in partibus expectare oportet. 17

Sed his potiſſimùm fiunt breuiores abſ- 18

ceſſus,

αἱ τοιαῦται ἀποστάσιες τοῖσι νεωτέροισι τριήκοντα ἐτέων.

19 Ὑποσκέπτεσθαι δὲ χρὴ ἀσθενέος τὰ περὶ τῆς ἀποστάσιος, ἢν εἴκοσιν ἡμέρας ὁ πυρετὸς ἔχων ὑπερβάλλῃ. Τοῖσι γὰρ γεραιτέροισιν ἧσσον γίνεται, πολυχρονιωτέρου ἐόντος τοῦ πυρετοῦ.

20 Χρὴ δὲ τὰς μὲν τοιαύτας ἀποστάσιας προσδέχεσθαι, συνεχέος ἐόντος τοῦ πυρετοῦ· ἐς δὲ τεταρταῖον καταστήσεσθαι, ἢν διαλείπῃ τε καὶ καταλαμβάνῃ πεπλανημένον τρόπον, καὶ ταῦτα ποιέων τῷ φθινοπώρῳ προσπελάσῃ.

21 Ὥσπερ δὲ τοῖσι νεωτέροισι τῶν τριήκοντα ἐτέων αἱ ἀποστάσιες γίγνονται, οὕτως οἱ τεταρταῖοι μᾶλλον τοῖσι τριήκοντα ἐτέων, καὶ γεραιτέροισι.

22 Τὰς δὲ ἀποστάσιας εἰδέναι χρὴ, τοῦ χειμῶνος μᾶλλον γινομένας, χρονιώτερόν τε παυομένας, ἧσσον δὲ παλινδρομεούσας.

23 Ὅστις δ' ἂν ἐν πυρετῷ μὴ θανατώδεϊ φῇ τὴν κεφαλὴν ἀλγέειν, ἢ καὶ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἢ καρδιωγμὸς τούτῳ προσγένηται, χολώδης ἔμετος παρέσται.

24 Ἢν δὲ καὶ ῥῖγος προσγένηται, καὶ τὰ κάτω μέρεα τοῦ ὑποχονδρίου ψυχρὰ ἔχῃ, καὶ θᾶσσον ἔτι ὁ ἔμετος παρέσται.

Ἢν δέ

ceſſus, qui annis triginta minores exi-
ſtunt.

Ac ſanè tum abſceſſus expectandi locus 19
in promptu eſt, ſimulátque viceſimum
diem febris exceſſerit. Senioribus enim
rarò abſceſſus fiunt, quamuis eorum fe-
bres diuturnæ fuerint.

Sed huiuſmodi abſceſſus potiſſimùm 20
expectare oportet in febre continua: in
quartanas verò, ſi intermittentes & erra-
ticæ fuerint, degeneraturas: maximéque
ſi febris illa intermittens in autumnum
inciderit.

Quemadmodum autem minoribus tri- 21
ginta annis fiunt abſceſſus, ſic & quarta-
næ trigenariis potiùs, & prouectioribus
ea ætate fiunt.

Iam verò illud notandum, quòd com- 22
memorati abſceſſus hyeme potiùs inua-
dunt, & ſeriùs deſinunt, & minùs intrò
reuertuntur.

Iam quicumque in febri nullo modo 23
funeſta dixerit ſibi dolere caput, aut e-
tiam oculorum aciem, ſeu caligine qua-
dam perſtringi, & ad eam (caliginem ca-
pitíſque dolorem) ſtomachi dolor acceſ-
ſerit, tum bilioſa vomitio aderit.

Quod ſi etiam rigor (cum illis ſympto- 24
matis) coniunctus fuerit: ac inferas par-
tes hypochondrii frigidiores ſentiant,
multo etiam celerrimè vomitio aderit.

35 Ἢν δέ τι σίνη ἢ φάγῃ ὑπὸ τοῦτον τὸν χρόνον, κάρτα τοῦτο ταχέως ἰᾶται.

36 Τουτέων δὲ οἷσιν ἂν ἄρξηται ὁ πόνος τῇ πρώτῃ ἡμέρῃ γίνεσθαι, τεταρταῖοι πιέζονται μάλιστα καὶ πεμπταῖοι, ἐς δὲ τὴν ἑβδόμην ἀπαλλάσσονται.

37 Οἱ μέντοι πλείους αὐτῶν, ἄρχονται μὲν πονέεσθαι τριταῖοι· χειμάζονται δὲ μάλιστα πεμπταῖοι· ἀπαλλάσσονται δὲ ἐναταῖοι, ἢ ἑνδεκαταῖοι.

38 Οἱ δ' ἂν ἄρξωνται πεμπταῖοι πονέεσθαι, καὶ τ' ἄλλα κατὰ λόγον αὐτέοισι τῶν προειρημένων γίνηται, ἐς τὴν τεσσαρεσκαιδεκάτην κρίνεται ἡ νοῦσος. Γίνεται δὲ ταῦτα τοῖσι μὲν ἀνδράσι καὶ τῇσι γυναιξὶν, ἐν τοῖσι τριταίοισι μάλιστα· τοῖσι δὲ νεωτέροισι, γίνεται μὲν καὶ ἐν τούτοισι, μᾶλλον δὲ ἐν τοῖσι ξυνεχεστέροισι πυρετοῖσιν, καὶ ἐν τοῖσι γνησίοισι τριταίοισι.

39 Οἷσι δ' ἂν τοιουτοτρόπῳ πυρετῷ κεφαλὴν ἀλγέουσιν, ἀντὶ μὲν τοῦ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἀμβλυωγμὸς γίνεται, ἢ μαρμαρυγαὶ προφαίνονται· ἀντὶ δὲ τοῦ καρδιώσσειν, ἐν τῷ ὑποχονδρίῳ ἐπὶ δεξιὰ, ἢ ἐπ' ἀριστερὰ ξυντείνηταί τι, μήτε ξὺν ὀδύνῃ, μήτε ξὺν φλεγμονῇ, αἷμα διὰ τῶν ῥινῶν τούτοισι ῥυῆναι προσδόκιμον, ἀντὶ τοῦ ἐμέτου. Μᾶλλον δὲ καὶ

ἐνταῦ-

Sed ſi quid iſ biberit ederitve ſub hoc 25
(perturbationis criticæ) tempus, id etiam multo celerrimè vomitu reiicietur.

Ex iis autem, quibus ineunte morbo 26
caput dolere cepit, quarto morbi die magis premuntur quàm quinto; ſeptimò autem remiſſionem conſequuntur.

Atque plerique eorum tertio morbi 27
die laborare incipiunt, atquè hi maximè vexantur die quinto: morbo autem, nono aut vndecimo liberantur.

Quicumque verò quintum diem morbi 28
agentes laborare ceperint, cæteráque conuenienter iis quæ dicta ſunt apparuerint, decimoquarto die morbus iudicabitur. Sed hæc potiſſimùm viris & mulieribus accidunt in tertiana febre, ſed minoribus & (hæc ſymptomata) in huiuſmodi (febribus) accidunt, ſed multo potiùs in continuis, & in tertianis exquiſitis.

At verò quibus in huiuſmodi febre ca- 29
put dolet, & ſuffuſionis caliginoſæ loco hebeſcunt oculi, aut etiam ignes micant ex oculis: & cardialgiæ loco dextra aut ſiniſtra hypochondriorum parte diſtentio quædam percipitur, doloris & inflammationis expers, his narium profluuium, vomitionis loco, iam iam adfuturum ſpes

ἐνταῦθα τοῖσι νέοισι τοῦ αἵματος τὴν ῥῆξιν προσδέχεσθαι. Τοῖσι δὲ τριήκοντα ἔτεσι καὶ γεραιτέροισιν, ἧσσον. ἀλλὰ τοὺς ἐμέτους τούτοις προσδέχεσθαι.

30 Τοῖσι δὲ παιδίοισι σπασμοὶ γίνονται, ἢν ὁ πυρετὸς ὀξὺς ᾖ, καὶ ἡ γαστὴρ μὴ διαχωρέῃ, καὶ ἀγρυπνέωσί τε, καὶ ἐκπλαγέωσι, καὶ κλαυθμυρίζωσι, καὶ τὸ χρῶμα μεταβάλλωσι, καὶ χλωρὸν ἢ πελιδνὸν, ἢ ἐρυθρὸν ἴσχωσι. Γίνεται δὲ ταῦτα ἐξ ἑτοιμοτάτου μὲν τοῖσι παιδίοισι τοῖσι νεωτάτοισιν, ἐς τὰ ἑπτὰ ἔτεα. Τὰ δὲ πρεσβύτερα τῶν παιδίων, καὶ οἱ ἄνδρες, οὐκ ἔτι ἐν τοῖσι πυρετοῖσιν ὑπὸ τῶν σπασμῶν ἁλίσκονται, ἢν μή τι τῶν σημείων προσγένηται τῶν ἰσχυροτάτων τε καὶ κακίστων, οἷά περ ἐν τῇσι φρενίτισι γίνεται.

31 Τοὺς δὲ ἀπολουμένους τε, καὶ περιεσομένους τῶν παιδίων τε, καὶ τῶν ἄλλων τεκμαίρεσθαι τοῖς ξύμπασι σημείοισιν, ὡς ἐφ᾿ ἑκάστοισιν ἕκαστα διαγέγραπται. Ταῦτα δὲ λέγω, περί τε τῶν ὀξέων νοσημάτων, καὶ ὅσα ἐκ τούτων γίνεται.

32 Χρὴ δὲ τὸν μέλλοντα ὀρθῶς προγινώσκειν τοὺς περιεσομένους, καὶ τοὺς ἀποθανουμένους, ὅσοισί τε ἂν μέλλῃ πλείονας ἡμέρας παραμένειν τὸ νόσημα, καὶ ὅσοισιν ἂν ἐλάσσους, τὰ σημεῖα ἐκμανθάνοντα πάντα δύνα-

σθαι

eſt. Sed ibi tum potiùs illud profluuium
iuuenibus expectare oportet. Nam iis
qui triginta (quinque) annos nati ſunt,&
prouectioribus,minùs. Sed potiùs vo-
mitiones expectare oportet.

At verò puerulis conuulſiones inci- 10
dunt, ſi febris acuta fuerit,nec aluus fe-
ratur, & ſomni ſint expertes,& terrean-
tur, & eiulârint, tum etiam ſi colorem
mutent,ac pallido, vel liuido, vel etiam
rubro ſuffundantur. Hæ autem (con-
uulſiones) ex facili incidunt puerulis
nuper in lucem editis, ad ſeptimum æta-
tis annum vſque. Grandiores verò pue-
ri, & viri ipſi, non ita facilè per febres
conuulſione tentantur, niſi quod aliud
acceſſerit ſignum valentiſſimum ac peſſi-
mum, ac potiſſimùm qualia phreniticis
eueniunt.

Cæterùm inter pueros & cuiuſque æta- 11
tis homines ſalutis quidem & interitus
rationem ſignis ſyllogiſticis animo com-
plecti oportet, vt de quibus ſingula ſunt
à nobis tradita. Hæc autem à me di-
cuntur de morbis acutis, & qui à morbis
acutis principia cauſáſque ducunt.

Sed tamen neceſſe eſt eum qui ſalutis 12
aut mortis, breuitatis aut diuturnitatis
morborum præſenſionem tenere ſe profi-
tetur,omnium ſignorum rationem ſic ex-
ploratam habere, vt diiudicare omnia

σθαι κρίνειν, λογιζόμενον τὰς δυνάμιας αὐτέων πρὸς ἀλλήλας, ὥσπερ διαγέγραπται, περί τε τῶν ἄλλων, καὶ τῶν οὔρων, καὶ τῶν πτυέλων· ὅταν ὁμοῦ πῦόν τε ἀναβήσσῃ καὶ χολήν.

51 Χρὴ δὲ καὶ τὰς φορὰς τῶν νοσημάτων ἀεὶ ἐπιδημεόντων, ταχέως ἐνθυμεῖσθαι, τήν τε τῆς ὥρης κατάστασιν. Εὖ μέντοι χρὴ εἰδέναι περὶ τῶν τεκμηρίων καὶ τῶν ἄλλων σημείων, καὶ μὴ λανθάνειν ὅτι ἐν παντὶ ἔτει καὶ πάσῃ ὥρῃ, τά τε κακὰ κακὸν σημαίνει, τά τε χρηστὰ ἀγαθόν. Ἐπεὶ καὶ ἐν Λιβύῃ, καὶ ἐν Δήλῳ, καὶ ἐν Σκυθίῃ φαίνεται τὰ προγεγραμμένα ἀληθεύοντα σημεῖα. Ἐξ ὧν δεῖ εἰδέναι, ὅτι ἔν τε τοῖσιν αὐτοῖσι χωρίοισιν, οὐδὲν δεινὸν, τὰ πολλαπλάσια αὐτῶν ἐπιτυγχάνειν· ἢν ἐκμαθών τις αὐτὰ, κρίνειν τε καὶ λογίζεσθαι ὀρθῶς ἐπίσταται. Ποθέειν δὲ χρὴ οὐδενὸς νοσήματος ὄνομα, ὅ, τι μὴ τυγχάνῃ ἐνθάδε γεγραμμένον. Πάντα γὰρ ὁκόσα ἐν τοῖσι χρόνοισι τοῖσι προειρημένοισι κρίνεται, γνώσῃ τοῖσιν αὐτέοισι σημείοισιν.

Προγνωστικῶν τέλος.

poſſit, eorum vires inter ſe comparando; quemadmodum à nobis præſcriptum eſt, cum de aliis omnibus, tum verò de vrinis & expectoratis: cùm ſcilicet expectoratum bile perfuſum (ſeptimo die) excluditur.

Quin etiam quò fiant epidemiorum morborum inclinationes ſimul atque ingruerint, animo complecti oportet, tum ipſius anni hiſtoriam. Sed tamen ea ſignorum & argumentorum ratio ſic eſt tenenda, vt non te fugiat quòd omnibus annis omnibúsque anni partibus, mala quidem ſigna malum, bona verò bonum ſignificant. Quòd & in Libva, & in Delo, & in Scythia, quæ tradita ſunt præſentiendi argumenta, exiſtunt veracia. Eóque fit nihil mirum videri, ſi iiſdem locis & regionibus quis maximam partem inde præſentiendi ſcientiam conſequatur: ſi animo ea complexus didicerit ratiocinari & diiudicare. Nec verò eſt quòd quiſpiam nomen alicuius morbi deſideret, quod hoc loco non ſit deſcriptum. Omnia enim quæ definitis antè temporibus iudicantur, ex iiſdem ſignis intelliges.

Finis Prognoſticorum.

HIPPOCRATIS
COI
PRORRHETICA,
SEV
PRÆDICTIONES,
Græcè, & Latinè,

ex editione

IOHANNIS OPSOPOEI
Brettani.

Digitized by Google

ἹΠΠΟΚΡΆΤΟΥΣ
ΚΩ͂ΟΥ
ΠΡΟΡΡΗΤΙΚΩ͂Ν
ΠΡΩ͂ΤΟΝ.

ΤΜΗ͂ΜΑ α΄.

1 Οἱ κωματώδεες ἐν ἀρχῇσι γινόμενοι μετὰ κεφαλῆς, ὀσφύος, ὑποχονδρίου, τραχήλου ὀδύνης, ἀγρυπνέοντες, ἆρά γε φρενιτικοί εἰσιν; μυκτὴρ ἐν τουτέοισιν ἀποστάζων, ὀλέθριον, ἄλλως τε καὶ ἢν τεταρταίοισιν ἀρχομένοισι.

2 Κοιλίης περίπλυσις ἐξέρυθρος, κακὸν μὲν ἐν πᾶσι τοῖσι νοσήμασιν, οὐχ ἥκιστα δὲ ἐπὶ τοῖς προειρημένοις.

3 Αἱ δασεῖαι γλῶσσαι καὶ κατάξηροι, φρενιτικαί.

4 Τὰ ἐπὶ ταραχώδεσιν ἀγρυπνίαισιν οὖρα ἄχροα, μέλανα, ἐναιωρεύμενα, ἐφ' ἱδρῶσι, φρενιτικά.

5 Ἐνύπνιά τε ἐν φρενιτικοῖσιν ἐναργέα.

6 Ἀνάχρεμψις πυκνή, ἢν δή τι καὶ ἄλλο σημεῖον προσῇ, φρενιτικά.

7 Τὰ ἐγκαταλιμπανόμενα καύματα ἐν ὑποχον-

HIPPOCRATIS
COI
PRORRHETICORVM
SEV
PRÆDICTIONVM
LIBER PRIMVS.

SECTIO I.

COMATE in principiis qui corripiuntur, cum capitis, lumborum, hypochondrij, colli dolore, & vigilant, num phrenitici ſunt? narem in his deſtillare perniciofum, tum aliàs, tum quarto ab initio die. 1

Alui proluuies prærubra, mala quidem eſt in omnibus morbis, maximè verò in prædictis. 2

Linguæ aſperæ & aridæ, phreniticæ. 3

In perturbatis mente & vigilantibus vrinæ decolores cum nigris innatantibus, in ſudoribus, phreniticæ. 4

Inſomnia etiam in phreniticis manifeſta ſunt. 5

Screatio frequens, ſi ſanè & aliud quoddam ſignum affuerit, phreniticis nuntia 6

Qui relinquuntur intus in hypochondrio 7

dric

ὑποχονδρίῳ, πυρετοῦ περιψυχθέντος, κακὸν, ἄλλως τε κἢν ἐφιδρώσιν.

8 Αἱ περιξαδυνατησάντων παραφροσύναι κάκισται, ὅτι καὶ θρασυνόντι.

9 Τὰ φρενιτικὰ ἰσαιτικῶς, τρομώδεα τελευτᾷ.

10 Τὰ ἐν κεφαλαλγίῃσιν ἰώδεα ἐμέσματα μετὰ κωφώσιος ἀγρυπνώδεα, ταχὺ ἐκμαίνει.

11 Τὰ ἐν ὀξέσι κατὰ φάρυγγα ὀδυνώδεα, ἰσχνὰ, σμικρὰ, πνιγώδεα, ὅτε χάνοι, μὴ ῥηϊδίως ἀνοίγειν τε καὶ κλείειν τὸ στόμα, παρακρουστικά· ἐκ τοιουτέων φρενιτικοὶ καὶ ὀλέθριοι.

12 Ἐν τοῖσι φρενιτικοῖσιν ἐν ἀρχῇ τὸ ἐπιτυχὲς, πυκνὰ δὲ μεταπίπτειν, κακὸν πιστόν· καὶ πτυελισμὸς, κακόν.

13 Ἐν φρενιτικοῖσι λευκὴ διαχώρησις, κακὸν, ὡς καὶ Ἀρχεκράτει. ἄρα γε ἐπὶ τουτέοισι καὶ νωθρότης γίνεται; ῥῖγος ἐπὶ τουτέοισι κάκιστον.

14 Τοῖσιν ἐξισταμένοισιν μελαγχολικῶς, οἷσι τρόμοι ἐπιγίνονται, κακοήθεες.

15 Οἱ ἐκστάντες, ὀξέως ἐπιπυρέξαντες σὺν ἱδρῶτι, φρενιτικοὶ γίνονται.

16 Οἱ φρενιτικοὶ βραχυπόται, ψόφου καταπτόμενοι, σπασμώδεες.

17 Τὰ ἐξ ἐμέτου ἀσώδεος, κλαγγώδης φωνὴ,

ὄμμα-

drio ardores, febre foris refrigerata, mali ſunt, cùm aliàs, tum ſi inſuper ſudauerint.

Viribus antè debilitatorum deſipientiæ peſſimæ, velut etiam Thraſynonti. 8

Affectiones phrenitica vehementes, tremulæ deſinunt. 9

Vomitus in capitis doloribus æruginoſi, cum ſurditate & vigiliis, citò inſaniam affore denunciant. 10

Circa fauces in acutis dolentia, gracilia, parua, ſuffocantia, nec facilis, quando hiarit æger, oris apertio & occluſio, mentis emotionem portendunt: ex talibus phrenitici fiunt & quidem mortiferi. 11

In phreniticis vbi ab initio manſuetudo, frequens mox transmutatio, malum id eſt: ſputatio item mala. 12

In phreniticis alba deiectio mala, quemadmodum & Archecrati. num & in his torpor fit? rigor in his peſſimus. 13

Quibus ex atra bile mente motis tremores accedunt, malignum. 14

Mente moti vbi acutè inſuper febricitint cum ſudore, phrenitici fiunt. 15

Phrenitici rarò parúmque bibentes, ſtrepitum facilè percipientes, tremuli. 16

Ex vomitu nauſeabundo oborta, gruum clango- 17

ὄμματα ἐπίχρεω ἔχοντα, μανικά· ὅτε καὶ ἡ Ἑρμοζύγου ἐκμανεῖσα ὀξέως, ἄφωνος ἀπέθανεν.

18 Ἐν πυρετῷ καυσώδει ἤχων προσγινομένων μετὰ ἀμβλυωπίης, καὶ κατὰ τὰς ῥῖνας προσελθόντος βάρεος, ἐξίστανται μελαγχολικῶς.

19 Αἱ παρακρούσιες σὺν φωνῇ κλαγγώδει, γλώσσης σπασμοὶ τρομώδεες καὶ αὐταὶ τρομώδεες γινόμεναι, ἐξίστανται. σκληρυσμὸς τελέωσι ὀλέθριον.

20 Αἱ τρομώδεες γλῶσσαι σημεῖον οὐχ ἱδρυμένης γνώμης.

21 Ἐπὶ τοῖσι χολώδεσιν ἀκρήτοισι διαχωρήμασι τὸ ἀφρῶδες ἐπανθίσμα κακὸν, ἄλλως τε κἢν ὀσφὺν προηλγηκότι, καὶ παρενεχθέντι.

22 Τὰ ἀραιὰ κατὰ πλευρὸν ἐν τελέοισιν ἀλγήματα, παρακρουσιῶδες σημαίνει.

23 Αἱ μετὰ λυγμοῦ ἀφωνίαι, κάκιστον. αἱ μετ' ἐκλύσιος ἀφωνίαι, κάκιστον.

24 Ἐν ἀφωνίῃ πνεῦμα δὲ τοῖσι ἀνιεμένοισι πρόχειρον, πονηρόν. ἆρά γε καὶ παρακρουστικὸν τὸ τοιοῦτον;

25 Αἱ ἐπ' ὀλίγον θρασεῖαι παρακρούσιες, θηριώδεες εἰσιν.

26 Αἱ μετὰ καταψύξιος οὐκ ἀπυρέτῳ ἐφιδρώοντι τὰ ἄνω, δυσφορίαι, φρενιτικαί, ὡς καὶ Ἀρισταγόρῃ, καὶ μὴν τοι καὶ ὀλέθριαι.

Τὰ ἐν

clangori ſimilis vox, oculi pulueruienti, inſaniam portendunt: quemadmodum etiam Hermozygi vxor inſania vehementi correpta, muta facta interiit.

In febre ardenti ſonitu aurium adueniente cum viſus hebetudine, & grauitate in naribus accedente, melancholicô modo mente mouentur. 18

Mentis perculſiones cum voce clangoroſa, linguæ conuulſiones tremulæ, eæque tremulæ factæ, mentem alienant, durities his pernicioſa. 19

Linguæ tremulæ ſignum mentis non conſtantis. 20

In bilioſis ſinceris alui excrementis ſpumoſum quid efflorefcens malum, tum aliis, tum ſi cui lumbi anteà doluerint, & mens mota fuerit. 21

Rari circa latus in his dolores deſipientiam ſignificant. 22

Vocis interceptiones cum ſingultu peſſimæ. Vocis interceptiones cum exolutione peſſimæ. 23

In vocis interceptione ſpiritus, qualis his qui ſuffocantur, promptè apparens, malus eſt. num & talis mentem emouet? 24

Deliria paulisper ferocia, fiunt immania. 25

Moleſtè ferre morbum cum refrigeratione, ſi non ſine febre exſudent partes ſupernæ, phrenitim portendit; quemadmodum etiam Ariſtagoræ: ſed & mortiferum eſt. 26

27 Τὰ ἐν φρενίτισι πυκνὰ μεταπίπτοντα, σπασμώδεα.

28 Τὰ κρεμάμενα μὴ ὑπομνησάντων, ὀλέθρια. ἆρά γε τουτέοισιν ἔρχεται, ὅτι εἰ τὴν ὑπόστασιν ἀναταράξειας;

29 Οἱ παλμώδεες δι' ὅλου, ἆρά γε ἀφώνως τελευτῶσι;

30 Τὰ ἐν τοῖσι φρενιτικοῖσι μετὰ καταψύξιος πλυξίζοντα, μέλανα ἀνεμεῖται.

31 Κώφωσις, καὶ οὖρα ἀκατάστατα, ἐξέρυθρα, ἐναιωρεύμενα, παρακρουστικά. τοῖσι τοιουτέοισιν ἰκτεριῶδες κακόν· κακὴ δὲ καὶ ἡ ἐπὶ ἰκτέρῳ κάρωσις. τούτους ἀφώνους μὲν, αἰσθανομένους δὲ συμβαίνει γίνεσθαι. οἴομαι δὲ καὶ κοιλίαι καταρρήγνυνται τουτέοισιν, ὅτι ἐγένετο Ἑρμίππῳ, καὶ ἀπέθανε.

32 Κώφωσις ἐν ὀξέσι καὶ ταραχώδεσι παρακολουθοῦσα, κακόν.

33 Αἱ βομβώδεες, ἀσαφέες, ψηλαφώδεες παρακρούσιες, πάνυ φρενιτικαὶ, ὡς καὶ τῷ Διδυμάρχῳ ἐν Κῷ.

34 Αἱ ἐκ ῥίγεος νωθρότητες, οὐ πάνυ παρ' ἑωυτοῖσιν.

35 Οἱ περὶ ὀμφαλὸν πόνοι παλμώδεες, ἔχουσι μέν τι καὶ γνώμης παραφορῆς· περὶ κρίσιν δὲ τουτέοισι πνεῦμα ἄλις ξὺν τόνῳ διέρχεται, καὶ οἱ κατὰ γαστέρα χρονίην μίην πόνοι ἐν τουτέοισι γνώμης παραφορῆς.

ΤΜΗ-

Frequentes in phrenitide permutationes, conuulſionis ſunt ſigna. 27

Vrinæ ab immemoribus redditæ, perniciosæ. nam his meiuntur, velut ſi ſedimentum conturbaſſes? 28

Palpitantes per totum, num voce deſtituti moriuntur? 29

Sputationes in phreniticis cum perfrigeratione, nigræ euomuntur. 30

Surditas, & vrinæ non conſidentes, prærubræ, & enæorema habentes, mentis emotionem portendunt. his, morbo regio corripi, malum eſt: mala verò & ex morbo regio fatuitas. hos voce quidem deſtitui, verùm ſentientes eſſe contingit. arbitror autem & aluos his perturbari, velut contigit Hermippo, & mortuus eſt. 31

Surditas in morbis acutis & turbulentis conſequens, mala eſt. 32

Mentis emotiones tremulæ, obſcuræ, palpantes, valdè phreniticæ ſunt: velut & Didymarcho in Co. 33

Torpores ex rigore, non planè apud ſe ipſos ſunt. 34

Dolores circa vmbilicum palpitantes, habent quidem aliquid etiam mentem alienans: verùm circa iudicationem his ſpiritus confertus cum tenſione tranſit, & dolores circa ſuram, in his mentis emotionem indicant. 35

ΤΜΗΜΑ Ϛ'.

1 Ἢν ἐκλαμφθῇ τι τοῦ ὕδρω, τοῦ χρόνου τοῦ μηροῦ ἀλγήματος ἀφανισθέντος παρακρουστικοί· καὶ οἷα περὶ ἦχους, τοιαῦτα.

2 Ἐπὶ κοιλίῃ ὑγρῇ, κωφώδεϊ, κεφαλαλγικῷ, διψώδεϊ, ἀγρύπνῳ, ἀσαφεῖ, ἀδυνάτῳ· εἴπῃ τὰ τοιαῦτα, ἐλπὶς ἐκστῆναι.

3 Οἱ ἱδρῶντες καὶ μάλιστα κεφαλὴν ἐν ὀξέσιν, ὑποδυσφορέοντες, κακόν, ἄλλως τε καὶ ἐπ' οὔρεσι μέλασι· καὶ τὸ θολερὸν πνεῦμα ἐπὶ τουτέοισι κακόν.

4 Αἱ παράλογοι κατακλιτικὸν ἀδυναμίαι, ἐν ἐξόσιες κατακλείσιες, κακόν.

5 Κοιλίαι ἀπολελαμμέναι, σμικρὰ δὲ μέλανα συνεστραμμένα πρὸς ἀνάγκην χαλῶσαι, μυκτὴρ ἐπὶ τουτέοισι ῥηγνύμενος, κακόν.

6 Οἷσιν ὀσφύος ἄλγημα ἐπὶ πολὺ, μετὰ καύματος ἀσώδεος, ἱδρῶντες ἔπι, κακόν. ἆρά γε τουτέοισι τρομώδεα γίγνεται; καὶ φωνὴ δὲ ὡς ἐν ῥίγει αὐτοπτική.

7 Ἄκρεα ἐπ' ἀμφότερα ταχὺ μεταπίπτοντα, κακόν. καὶ δίψα τοιαύτη, πονηρόν.

8 Ἐκ κοσμίου θρασεῖα ἀπόκρισις, κακόν.

9 Φωνὴ ὀξείη, ὑποχόνδρια τουτέοισιν εἴσω εἰρύαται.

Ὄμμα

SECTIO II.

Si innatarit quid in media vrina, dolore circa femur diſſipato, mentis emotionem denotat: & qualia circa aurium ſonitus contingũnt, talia exiſtunt. 1

In aluo liquida, laſſato, caput dolenti, ſiticuloſo, vigilanti, obſcurè loquenti, impotenti: quibus talia, his timor eſt ne mente moueantur. 2

Qui exudant leuiter & maximè circa caput in morbis acutis, ſubmoleſtè ferentes, in malo ſunt, tum aliàs, tum ſi vrinæ nigræ ſint: & turbidus ſpiritus in his malus. 3

Virium defectus præter vacuatorum vaſorum rationem, cùm vaſa exinanita non ſint, malum. 4

Alui interceptæ, ſed parua nigra caprillo ſtercori ſimilia ad neceſſitatem coactè emittentes, & ſanguis è naribus prætereà erumpens, malum. 5

Quibus lumborum dolor diutinus, cum ardore faſtidioſo, hi ſi leuiter exudent, malum eſt. num his tremores fiunt? ſed & vox velut in rigore conſpicua. 6

Extrema corporis in vtramque partem citò tranſmutari, malum eſt: & ſitis huiuſmodi, mala. 7

Modeſti hominis ferox reſponſio, malum. 8

Quibus vox acuta, his hypochondria intrò tracta ſunt. 9

20 Ὄμμα ἀμαυρούμενον, φλαῦρον· καὶ τὸ πεπηγὸς καὶ ἀχλυῶδες, κακόν.

21 Ὀξυφωνίη κλαγγώδης, πονηρόν.

22 Ὀδόντων πρίσις ὀλέθριον, οἷσι μὴ σύνηθες καὶ ὑγιαίνουσιν. ἀνίζησις ἐν τούτοισι πάνυ κακόν.

23 Προσώπου εὔχροια καὶ τὸ λίην σκυθρωπὸν, πονηρόν.

24 Τὰ ταραχώδεα ὑποχωρήματα εἰς ἀφρώδεα ἄκρητα, παροξυντικά.

25 Αἱ ἐν καταψύξεσιν ἐν ὀξέσιν οὔρων ἀπολήψιες, κάκισται.

26 Τὰ ὀλέθρια ἀσήμως ῥαστωνήσαντα, θάνατον σημαίνει.

27 Τὰ ἐν ὀξέσι χολώδεσιν ἔκλευκα, ἀφρώδεα, περίχολα διαχωρήματα, κακόν. κακὸν δὲ καὶ οὖρα τοιαῦτα. ἆρα τούτοισιν ἧπαρ ἐπώδυνον;

28 Εἰ ἐν πυρετοῖσιν ἀφωνίαι σπασμώδεα τρόπον ἐξίστανται σιγῇ, ὀλέθριον.

29 Αἱ ἐκ πόνου ἀφωνίαι, δυσθάνατοι.

30 Οἱ ἐξ ὑποχονδρίων ἀλγημάτων πυρετοὶ, κακοήθεες.

31 Δίψα παραλόγως λυθεῖσα ἐν ὀξέσι, κακόν.

32 Ἱδρὼς πολὺς ἅμα πυρετοῖσιν ὀξέσι γινόμενος, φλαῦρος.

33 Καὶ οὖρα δὲ ἐπίπονα, πονηρόν.

Καὶ τὰ

Oculus hebes, malus: & fixus ac caliginoſus, malus. 10

Vox acuta clangoroſa, mala. 11

Dentium ſtridor pernicioſus eſt, quibus non etiam ſanis familiaris eſt. ſuffocatio in his valde mala. 12

Faciei bonus color, & vultus admodum tetricus, malum ſignum. 13

Excrementa alui deſinentia in ſpumoſa meraca, morbum exacuunt. 14

Vrinæ in acutis à perfrigeratione interceptæ, peſſimæ. 15

Pernicioſa ſi abſque ſignis leuia facta fuerint, mortem ſignificant. 16

In morbis acutis bilioſis valdè alba, ſpumoſa, circumbilioſa excrementa, mala. malæ item & vrinæ eiuſmodi. num his hepar dolore afficitur? 17

Si vocis interceptiones in febribus conuulſionum more orientes, ad inſaniam tranſeunt, cum ſilentio, pernicioſum. 18

Qui ex dolore muti fiunt, ægrè moriuntur. 19

Febres ex hypochondriorum doloribus, malignæ. 20

Sitis præter rationem ſedata in acutis morbis, mala eſt. 21

Sudor multus vnà cum febribus acutis oriens, malus eſt. 22

Et vrinæ ægrè emiſſæ, malæ ſunt. 23

Et quæ

24 Καὶ τὰ ἐρυθρὰ ἐκ τελέων ἐπαυθέσματα καταχύσματα, καὶ τὰ ἰώδεα, πονηρά· καὶ τὸ μικρὰ ἐπιφαίνεσθαι δὲ στάξιας.

25 Καὶ ἔμετοι μετὰ ποικιλίης, κακὸν, ἄλλως τε καὶ ἐγγὺς ἀλλήλων ἰόντων.

26 Ὁκόσα ἐν κρισίμοισιν ἀλυσμοῦ αἰσθᾶται περιψύχεται, κακόν· καὶ τὰ ἐπιρριγώδεα ἐκ τελέως, κακά.

27 Ἐμέσματα ἄκρητα, ἀσώδεα, πονηρά.

28 Τὸ καρφολογέειν ἀεί γε πανταχοῦ κακόν.

29 Μετὰ ῥίγεος ἄγνοια κακόν· κακὸν δὲ καὶ λήθη.

30 Αἱ ἐκ ῥίγεος καταψύξεις, μὴ αἰσθανόμεναι, κακαί.

31 Οἱ ἐκ καταψύξιος ἱδρῶτες αἰσθανομένοισι, κακόν. ἐπὶ τελέοισιν ἐν πλευρῇσι καῦμα ὀδυνῶδες, καὶ τὸ ἐπιρριγῶσαι, κακόν.

32 Τὰ καυματώδεα ῥίγεα, ὑπό τι ὀλέθρια, καὶ τὸ φλογῶδες ἐν προσώπῳ μετὰ ἱδρῶτος ἐν τούτοις κακόν. ἐπὶ τούτοις ἡ ψύξις τῶν ὄπισθεν, σπασμὸν ἐπικαλέεται.

33 Οἱ ἐφιδροῦντες, ἄγρυπνοι, αἰσθανόμενοι, κακόν.

34 Ἐξ ὀσφύος αἱμορροῦς, ὀφθαλμοῦ ἰλλώσιες, κακόν.

35 Ὀδύνη ἐς στῆθος ἱδρυνθεῖσα νωθρότητι, κακόν. ἐπιπυρεταίνοντες οὗτοι καυσικοὶ ὀξέως ἀποθνήσκουσιν.

36 Οἱ ἐξαιμέοντες μέλανα, ἀπόσιτοι, πα-

ράφρο-

Et quæ rubræ ex his effloreſcens quid 24
obtinent, itémque æruginoſæ, malæ
ſunt & paruas apparere veluti ſtillas.

Et vomitus cum varietate, mali ſunt, 25
tum aliàs, tum ſi breui ſe mutuò conſe-
quantur.

Quæcunque in diebus iudicatoriis cum 26
inquietudine abſque ſudore perfrigeran-
tur, malè habent: & quæ ex his inſuper
riguerint, mala ſunt.

Vomitus meraci, faſtidioſi, praui. 27

Sopor num vbique malus eſt? 28

Ignorantia cum rigore, malum: ma- 29
lum item obliuio.

Perfrigerationes ex rigore non recale- 30
ſcentes, malæ ſunt.

Sudantes à perfrigeratione, ſi recale- 31
ſcant, malum. in his dolor ardens in late-
ribus, & rigor ſuperueniens, mali ſunt.

Aeſtuoſi rigores aliquatenus pernicio- 32
ſi: & ardor faciei cum ſudore in his ma-
lus eſt. Hiſce poſteriorum partium fri-
giditas conuulſionem accerſit.

Exudantes, vigiles, recaleſcentes, malo 33
ſunt loco.

Ex dolore lumborum ſurſum curren- 34
te oculi diſtorſio mala.

Dolor in pectus firmatus cum torpo 35
re, malus. hi ſi inſuper febriant, acutè ar-
dentes moriuntur.

Qui nigra reuomunt, cibos auerſan- 36
tur, delirant, iuxta pubem parum dolent,
ocu-

ῥάφοροι, καθ' ἥβην μικρὰ ὀδυνώδεες, ὄμμα θρασὺ ἢ κεκλεισμένον, τούτους μὴ φαρμακεύειν· ὀλέθριον γάρ.

37 Μηδὲ τοὺς ἐπιδέοντας, σκοτώδεας, ἐν τῷ πλαιᾶσθαι ἐκλείποντας, ἀποσίτους, ἀχρέους.

38 Μηδὲ τοὺς ἐν πυρετῷ, εἰ κωματώδεες, κατακεκλασμένους· ὀλέθριον γάρ.

39 Καρδίης πόνος ἅμα ὑποχονδρίῳ συντόνῳ, καὶ κεφαλαλγίη, κακόηθες, καί τι ἀσθματῶδες. ἆρά γε ἐξαίφνης οὗτοι τελευτῶσιν; ὡς ἐν Δυσάδῃ. τούτῳ καὶ οὖρα ἐζυμωμένα ἐγένετο βιαίως ἐξέρυθρα.

40 Τραχήλου πόνος, κακὸν μὲν ἐν παντὶ πυρετῷ, κάκιστον δὲ οἷσιν ἐκμανῆναι ἐλπίς.

41 Κωματώδεες, κοπιώδεες, ἀχλυώδεες, ἄγρυπνοι, ἐφιδροῦντες πυρετοὶ, κακοήθεες.

42 Αἱ ἐκ τούτου φρίκαι πυκναὶ ὀξέως μεταπιπτοῦσαι, δύσφοροι, οὔρου ἀπόληψιν ἐπόδυνον σημαίνουσι.

43 Καὶ οἱ ἀσώδεες αἱμάτιον παροξυνόμενοι, κακόν.

44 Καταψύξιες μετὰ σκληρυσμοῦ, σημεῖον ὀλέθριον.

45 Ἀπὸ κοιλίης λεπτὰ μὴ αἰσθανομένῳ διϊέναι, ἐόντι παρ' ἑωυτῷ κακόν, οἷον τῷ ἡπατικῷ.

Τὰ

oculum ferocem aut clauſum habent, hos medicamentis ne purgato: pernicioſum enim eſt.

Neque intumeſcentes, vertiginoſos, in leuiter vagando deficientes, cibos auerſantes, decolores. 37

Neque febre fractos, ſi ſoporoſi fuerint: pernicioſum enim eſt. 38

Oris ventriculi dolor cum præcordio diſtento, & capitis dolor, malignum eſt, & quidpiam ſuſpirioſum. num hi repentè moriuntur? velut in Dyſode. huic etiam vrinæ vehementer fermentatæ, fiebant prærubræ. 39

Colli dolor malus quidem in omni febre, peſſimus verò his quibus metus eſt ne inſaniant. 40

Febres ſoporoſæ, delaſſantes, caliginoſæ, vigilias inducentes, exudantes, malignæ. 41

Horrores frequentes ex dorſo, ac celeriter recidentes, moleſti ſunt, & vrinæ interceptionem laborioſam ſignificant. 42

Qui anxiè ſe iactantes citra vomitum exacerbantur, malè habent. 43

Perfrigeratio cum duritia, ſignum malum. 44

Ab aluo tenuia non ſentienti prodire, ei qui eſt apud ſeipſum, pernicioſum, velut hepatico. 45

46 Τὰ σμικρὰ ἐμέσματα χολώδεα, κακά, ἄλλως τε καὶ ἢν ἐπαγρυπνέωσι. μυκτὴρ ἐν τούτοισι ἀποστάζων ὀλέθριον.

47 Αἷς ἐν τόκῳ γε λευκά, ἐπιστάντα θ' ἅμα πυρετῷ, κώφωσις, καὶ εἰς πλευρὸν ὀδύνη ὀξείη, ἐξίσταται ὀλεθρίως.

48 Ἐν πυρετοῖσι καυσώδεσιν ὑποπεριψύχουσι, διαχωρήμασιν ὑδατοχόλοισι συχνοῖσιν, ὀφθαλμῶν ἴλλωσις, σημεῖον κακόν, ἄλλως τε καὶ ἢν κάτοχοι γίνωνται.

49 Τὰ ἐξαίφνης ἀποπληκτικά, λυόμενα ἐπιπυρεταίνοντα χρονίως, ὀλέθρια· οἷόν τι ἐπεπόνθει καὶ ὁ Νουμηνίου υἱός.

50 Ἐξ ὀσφύος ἀλγήματος ἀναδρομαὶ εἰς καρδίην, πυρετώδεες, φρικώδεες, αἱμέουσαι ὑδατώδεα λεπτὰ πλείονα, παρακρουσθεῖσαι ἄφωνοι, ἐμέσασαι μέλανα, τελευτῶσιν.

51 Ὄμματος κατάκλασις ἐν ὀξέσι, κακόν.

52 Ἆρά γε τοῖς ἀσώδεσιν ἀγρύπνοισιν, ὀσφυαλγέσιν, ἢν θρασέως παρακρούσωσιν, ἐλπὶς μέλανα διελθεῖν;

53 Φάρυγξ ἐπώδυνος, ἰσχνή, μετὰ δυσφορίης, πνιγώδης, ὀλεθρίη ὀξέως.

54 Οἷς πνεῦμα ἀνέλκεται, φωνὴ δὲ πνιγώδης,

Vomitiones exiguæ, bilioſæ, malæ, tum aliàs, tum ſi inſuper vigilauerint ægri. narem in his deſtillare, pernicioſum. 46

Quibus à partu alba fluunt, ſed his repreſſis, mox cum febre ſurditas & in latere dolor acutus oritur, hæ pernicioſè mente mouentur. 47

In febribus ardentibus leuiter refrigerantibus, egeſtionibúsque alui aquoſis bile mixtis & frequentibus, oculorum diſtortio, ſignum malum eſt, tum aliàs, tùm ſi catochi fiant. 48

Siderationes repentinæ ei qui exolutè ac diutinè inſuper febriit, pernicioſæ ſunt: quale quid paſſus eſt & Numenij filius. 49

Quibus doloris è lumbis ad os ventriculi recurſiones febriles, horridæ, reuomentes aquoſa tenuia multa, mente motæ, mutæ, nigris vomitu reiectis, ij moriuntur. 50

Oculi effractio in acutis, mala. 51

Num faſtidioſis citra vomitum, lumbos dolentibus, ſi ferociter mente moti fuerint, ſpes eſt nigra per aluum proditura? 52

Fauces vehementer dolentes, graciles, cum anxietate ſtrangulantes, pernicioſæ acutè. 53

Quibus ſpiritus retrahitur, vox autem iis qui ſuffocantur ſimilis eſt, & vertebra 54

δης, ὁ σπόνδυλός τε ἐγκάθηται, τουτέοισιν ἐπὶ τῇ τελευτῇ, ὡς συσπῶντος τινὸς τὸ σῶμα γίνεται.

55 Οἱ κεφαλαλγικοὶ κατόχως, παρακρούοντες, κοιλίης ἀπολελημμένης, ὄμμα θρασυνόντες, αἰθηροὶ, ὀπισθοτονώδεες γίνονται.

56 Ἐπ' ὀμμάτων διαστροφῇ, πυρετώδει, κοπιώδει, ῥῖγος ὀλέθριον· καὶ οἱ κωματώδεες ἐν τούτοισι, πονηρόν.

57 Αἱ ἐν πυρετοῖσι περὶ ὑποχόνδριον ὀδύναι, ἀναύδως, ἱδρῶτι μὴ λυόμεναι, κακοήθεες. τούτοισιν ἐς ἰσχία ἀλγήματα ἅμα καυσώδει πυρετῷ, καὶ ἢν κοιλίη καταῤῥαγῇ, ὀλέθριον.

58 Οἷσι φωναὶ ἅμα πυρετοῖσιν ἐκλείπουσι μετὰ κρίσιν, τρομώδεες καὶ κωματώδεες τελευτῶσι.

59 Οἷσι καυστικὰ μεμαρασμένα, κάτοχα, ποικίλλονται ὑποχόνδρια, καὶ κοιλίαι ἐπηρμένοι, σιτίων ἀπολελαμμένων, ἐφ' ἱδρῶσι, ἆρα τουτέοισι τὸ θολερὸν σῶμα, καὶ τὸ γονοειδὲς ἐπελθὸν, λύσιν διασημαίνει· καὶ κοιλίη δὲ ἔπαφρα χολώδεα προσδιέρχεται. τὸ λαμπῶδες ἐν τούτοισιν ἀφηθὲν κριθέν. κοιλίη δὲ τουτέοισιν ἐπιταράσσεται.

ΤΜΗ-

tebra intrò conſidet, his in morte velut contrahente quodam ſpiritus redditur.

Quibus firmiter fixus eſt capitis dolor,cum delirio,aluo intercepta, oculorum ferocitate, faciei rubore, hi parte poſtica conuelluntur. 55

In oculorum diſtortione,febrienti,laſſato,rigor pernicioſus : & ſi qui ſoporoſi in his,malum. 56

In febribus ad hypochondrium dolores,ſine voce, ſi ſudore non ſoluantur, maligni ſunt. his dolores ad coxas vnà cum febre ardente,ſi etiam aluus aceruatim eruperit,pernicioſi. 57

Quibus voces in febrium acceſſu deficiunt poſt iudicationem, hi tremuli ac ſoporoſi moriuntur. 58

Quibus affectiones ardentes, fatuitatem inducentes & catochen, hypochondria variantia,& ventris tumor, cibis interceptis,cum ſudoribus,num his turbidus ſpiritus & genituræ ſimile quid exiens, ſingultum indicat? ſed & aluus ſpumoſa bilioſa inſuper egerit. ſpumoſum in his mictum prodeſt. venter autem his inſuper turbatur. 59

ΤΜΗΜΑ γʹ.

1 Οἷς κῶμα γίνεται, ἐπάφρων περιηθέντων, πυρετὸς παροξύνεται ὀξύς.

2 Αἱ ἐν κεφαλαλγίῃσιν ἀφωνίαι ἅμα ἱδρῶσι πυρετώδεες χαλῶνται ἐφ' ἑαυτοὺς, ἐπανιέντες χρονιώτερον. ἐπιῤῥιγέουσι τούτοισιν οὐ πονηρόν.

3 Χεῖρες τρομώδεες, κεφαλαλγέες, τραχήλου ὀδυνώδεες, ὑπόκωφοι, οὖρόν τε μέλανα διασυμψία· οἷσι ταῦτα οὖν, μέλανα προσδέχεσθαι ἐξιέναι, ὀλέθριον.

4 Αἱ μετ' ἐκλύσιος κατόχως ἀφωνίαι, ὀλέθριαι.

5 Πλευροῦ ἄλγημα ἐπὶ πλύσεσι χολώδεσιν ἀλόγως ἀφανισθὲν ἐξίσταται.

6 Ἐπὶ ῥαχίου ἀλγήματι κωματώδεος, ἱδρώδεος, κοιλίη φυσηθεῖσα· εἰ δέ τι παρὰ ἀνάγκην ὑγρὰ χαλῶσα, ὑποπεριπλυθεῖσα, ἐκ τουτέων ἄχολα ἐξίσταται. τὰ τοιαῦτα διασωζόμενα, μακρότερον διανοσεῖ. ἆρά γε εἰσὶν ἄχολοι περιπλύσιες δηλητήριαι, καὶ τὸ φυσῶδες ὄγκου προσσωφρῆσι;

7 Κοιλίης περίπτωσις, παρὰ ἀνάγκην ὑγρὰ χαλῶσα, ταχὺ ἐγκενωθεῖσα, ἔχει τι σπασμῶδες, ὅτι καὶ τῷ Ἀσπασίου υἱῷ. τὸ ἐπιῤῥιγοῦν τουτέοισιν ὀλέθριον. ἐκ τουτέων σπασμώδεις γενηθεὶς, καὶ ἐμφυσηθεὶς, μακρότερον διανοσήσας, στόματι σῆψις χλωρὰ ἐπεγένετο.

Τὰ

SECTIO III.

Quibus ſopor fit ſpumoſis prodeunti-bus, his febris exacerbatur acuta. 1

Ex capitis dolore vocis interceptiones ſi ſint, cum ſudoribus febriculoſi laxantur in ſeipſos, fiúntque morbi reuertentes diutius durantes. his inſuper riguiſſe, non malum eſt. 2

Manus tremulæ cum capitis & colli dolore, ſurdaſtri meientes nigra denſata: quibus hæc ſunt, his nigra ventura eſſe expectare oportet, pernicioſum. 3

Vocis interceptiones cum exolutione more catochi, pernicioſæ. 4

Quibus lateris dolor ex ſputis bilioſis citra rationem euanuerit, ij mente mouentur. 5

Ex colli dolore ſoporifero, ſudanti, aluus inflata: ſi ſanè ad neceſſitatem liquida demiſerit, infuſo immiſſo ſubluta, ex his bile carentia ſupprimuntur. talia verò ſi ſeruentur retenta, longiùs ægrotat. num itaque proluuia bilis expertia minùs maligna ſunt, & flatuoſo tumori profuerint? 6

Alui vehemens diſtenſio, ad neceſſitatem liquida demittens, citò intumeſcens, habet quid conuulſiuum, velut etiam Aſpaſij filio. inſuper rigere his pernicioſum. ex his conuulſione correptus ac inflatus vbi diutius ægrotaſſet, ori putrefactio æruginoſa ſuperuenit. 7

8 Τὰ κατ' ὀσφὺν καὶ τὸ λεπτὸν χρόνια ἀλγήματα, πρὸς ὑποχόνδριον γειφόμενα, ἀποσιτικὰ ἅμα πυρετῷ· τούτοισιν εἰς κεφαλὴν ἄλγημα συντόνον ἐλθὸν, κτείνει ὀξέως τρόπῳ σπασμώδει.

9 Τὰ ἐπιρριγέοντα καὶ ἐς νύκτα μᾶλλόν τι παροξυνόμενα, ἄγρυπνα, φλεβοδονώδεα ὄντα, ἐν τοῖς ὕπνοις ἔστιν ὅτε οὖρα ὑφ' ἑαυτοὺς χαλῶντα, ἐς σπασμοὺς ἀποτελευτᾷ κωματώδεας.

10 Οἱ ἐξ ἀρχῆς ἐφιδροῦντες ὑγρὸν τι σίποτι, καυσικοὶ, ἀκρίτως περιψύχοντες, διαπαντὸς χέοντες περικαέες, νωθροὶ, κωματώδεες, σπασμώδεες, ὀλέθριοι.

11 Τῇσιν ἐπιφθερεισι κεφαλαλγικὰ καρώδεα μετὰ βάρεος γινόμενα, φλαῦρα. ἴσως δὲ ταύτῃσι καὶ σπασμῶδές τι παθεῖν ὀφείλει.

12 Τὰ ἐν φάρυγγι ἰσχνῷ ἀλγήματα πνιγώδεα ἔχει τι σπασμῶδες, ἄλλως τε καὶ ἀπὸ κεφαλῆς ὁρμῶντα, δεῖ καὶ τῇ θερασιώντος αἰτίη.

13 Τὰ προμώδεα σπασμώδεα γινόμενα ἐφ' ἱδρῶτι, φιλυπόστροφα. τελέουσιν ἡ κρίσις ἐπιρριγώσασιν. ὗτοι ἐπιρριγέουσι περὶ κοιλίην κεύματι προσκληθέντες.

14 Ὀσφύος πόνος καὶ κεφαλαλγικὸς, καὶ καρδιαλγικὸς μετὰ ἀναχρέμψιος βιαίης, ἔχει τι σπασμῶδες.

Ἀπὸ

Circa lumbos & tenue inteſtinum diu- 8
turni dolores ad hypochondrium ſe re-
uoluentes, ciborum faſtidium inducunt
vnà cum febre. his ægris ad caput dolor
vehemens progreſſus repentè conuulſio-
nis modo occidit.

Superuenientes rigores, & nocte ali- 9
quanto magis exacerbati, cum vigiliis &
venarum agitationibus, ita vt interdum
in ſomno vrina nolentibus laxetur, in
conuulſiones cum ſopore coniunctas de-
ſinunt.

Ab initio leuiter exudantes vrinis im- 10
meritò coctis, ardentes, citra criſin per-
frigerati, breui exæſtuantes, denuò tor-
pidi, comate oppreſſi, conuulſi, perniciosè
affecti ſunt.

Grauidis capitis dolores ſoporiferi 11
cum grauitate coniuncti, mali ſunt. for-
taſſis autem his etiam conuulſiuum quid
pati contingit.

In faucibus gracilibus dolores ſuffo- 12
cantes habent quid conuulſiuum, tum
aliàs, tum à capite orientes, velut etiam
Thraſynontis conſobrinæ.

Tremores conuulſiui orientes cum ſu- 13
doribus, reuerti ſolent. indicatio his fit
vbi ſuperriguerint. Superrigent hi ardo-
re circa ventrem prouocati.

Lumborum, capitis, & oris ventriculi 14
dolor, cum exſcreatione violenta, con-
uulſiuum quid habet.

A ven-

15 Ἀπὸ κοιλίης ὑπόπελια ταραχώδεα, καὶ οὖρα λεπτὰ καὶ ὑδατώδεα, ὕποπτα.

16 Φάρυγξ βηχωθεῖσα ἐπ' ὀλίγον, καὶ κοιλίη διαβορβορύζουσα κατιήσιν ἐξαναστάσεσι, καὶ μετώπου ἀλγήματα ψηλαφώδεες, κοπιώδεες, ἐν στρέμμασι καὶ ἱματίοισιν ὀδυνώδεες. τὰ ἐκ τούτων αὐξανόμενα δύσκολα. ὕπνος πολὺς ἐν τούτοισι σπασμώδης, καὶ τὰ εἰς μέτωπον ἀλγήματα βαρέα, καὶ οὔρησις δυσκολαίνουσα.

17 Οὔρου ἐπίστασις καὶ οἷσι ῥίγεα ἐπὶ τούτοισι σπασμώδεσι, ὅτι καὶ αὐτὴ φρίξασα ἐφιδρώσειν.

18 Αἱ ἄκριτοι τελευτῶσαι καθάρσιες, ἐν φάσι μὲν παροξυντικαί, τούτοισι δὲ καὶ σφάγου· ἐκ τούτων καὶ τὰ παρ' οὖς αἴρεται.

19 Αἱ ταραχώδεες θρασύτατοι ἐπεγέρσιες, σπασμώδεες, ἄλλως τε καὶ μεθ' ἱδρῶτος.

20 Καὶ αἱ τραχήλου καὶ αἱ μεταφρένου καταψύξιες δοκέουσαι, καὶ ὅλου δὲ τοῦ σώματος, ἐν τούτοισι καὶ ἀφρώδεες οὐρήσιες ἅμα ἀψυχίῃ, καὶ ὀμμάτων ἀμαύρωσις, σπασμὸν ἐγγὺς σημαίνει.

21 Πήχεος ἀλγήματα μετὰ τραχήλου, σπασμώδεα· ἀπὸ προσώπου δὲ ταῦτα· καὶ κατὰ φάρυγγα ἦχοι συχνοὶ σφηκίζοντες. ἐν τοιούτοισιν ἐν ὕπνοισιν ἱδρῶτες ἀγαθοί. ἀρά γε καὶ τὸ ἱδρῶτι κουφίζεσθαι, τοῖς πλείστοις οὐ πονηρόν;

Οἱ αἱ

A ventre ſubliuida turbulenta, & lotia 15
tenuia ac aquoſa, ſuſpecta.

Fauces exaſperatæ parum, & venter 16
murmurans [illegible]nibus ad egerendum ſurrectionibus [illegible] frontis dolores, & palpantes, delaſſati, in ſtragulis ac venimentis dolentes. quæ ex his augentur, difficilia ſunt. ſomnus multus in his conuulſionem affert, & dolores in frontem graues, & mictio difficilis.

Vrinæ ſuppreſſio & quibus rigores in 17
conuulſiuis affectionibus: velut & ipſa
vbi inhorruit, leuiter ſudauit.

Meracæ deſinentes purgationes, omni- 18
bus morbum quidem exacerbant, his verò multo magis: ex talibus etiam circa aurem abſceſſus exurgunt.

Turbulentæ ac ferociſſimæ è ſomno ex- 19
pere videtur, aut à latere, aut à manu pedéve, faciliùs curatur. differunt enim & hæc. nam qui à capite abſceſſus fiunt, omnium ſunt peſſimi: deinde qui à latere. Qui verò à manibus ac pedibus, maximè ſanari poſſunt. Cæterùm horum curam aggredi oportet medicum, qui medendi modum nouit, ſi homines fuerint iuuenes, & laboris amantes, niſi mens mali aliquid habuerit, aut quis attonitus ſtupuerit. Nam hæ melancholicæ mentis emotiones, non ſunt conducibiles. Cæteri verò qui ad infernas partes conuertuntur abſceſſus, omnes boni ſunt. Sed optimi & hic ſunt qui cruentiſſimi. Quicunque verò ſenes apprehendi incipiunt, maximè moriuntur: & ſi non pereant, celerrimè per ſe liberantur, à medicis autem minimè opem ferunt.

At quibus pueris oculi repentè diſtorti ſunt, aut maius quoddam malum perpeſſi, aut tubercula ſub ceruicem oborta, aut vocem graciliorem adepti fuerunt, aut tuſſes ſiccæ diutiùs permanent, aut maioribus factis dolor procedit ad ventrem, & non exturbatur, aut coſtæ diſtortæ ſunt, aut venæ craſſæ circa ventrem varicoſæ, aut omentum deſcendit, aut teſtis intumuit, aut manus tenuis & impotens,

ἀκρατὴς ἢ πούς, ἢ κνήμη ξύμπασα ἐχωλώθη, ἅτε τῆς προφάσιος ἄλλης· τούτοισι πᾶσιν εἰδέναι ὅτι ἡ νοῦσος προσεγένετο πρὸ τούτων ἁπάντων. καὶ οἱ μὲν πλεῖστοι τῶν τρεφόντων τὰ παιδία ἐρωτώμενοι ὁμολογήσουσι· τῶν δὲ καὶ λανθάνει, καὶ οὐ φασὶν εἰδέναι, πιστὸν οὐδὲν γινόμενον.

Τὸν δὲ περὶ τῶν ἑλκέων μέλλοντα γινώσκεσθαι, ὅκως ἕκαστα τελευτήσει, πρῶτον μὲν χρὴ τὰ εἴδεα τῶν ἀνθρώπων ἐξεπίστασθαι, τά τε ἀμείνω πρὸς τὰ ἕλκεα, καὶ τὰ κακίω. ἔπειτα τὰς ἡλικίας εἰδέναι, ὅπου ἤσιν ἕκαστα τῶν ἑλκέων δυσαπάλλακτα γίνεται. τά τε χωρία ἐπισκέπτεσθαι τὰ ἐν τῷ σώματι, ὅσον διαφέρει θάτερα θατέρων· τά τε ἄλλα ὁκοῖά τε ἐφ' ἑκάστῳ ἐπιγίνεται, ἀγαθά τε καὶ κακά, εἰδέναι. εἰδὼς μὲν γὰρ ἄν τις ταῦτα πάντα, εἰδείη ἂν καὶ ὅκως ἕκαστα ἀποβήσεται· μὴ εἰδὼς δὲ ταῦτα, οὐκ ἂν εἰδείη ὅκως αἱ τελευταὶ ἔσονται ἀμφὶ τῶν ἑλκέων. εἴδεα μὲν γὰρ ἀγαθά ἐστι τὰ τοιάδε, ἐλαφρά, καὶ ξύμμετρα, καὶ εὔσπλαγχνα, καὶ μήτε σαρκώδεα ἰσχυρῶς, μήτε σκληρά· κατὰ δὲ χρῶμα ἔστω λευκὸν, ἢ μέλαν, ἢ ἐρυθρόν· ταῦτα γὰρ πάντα ἀγαθὰ ἄκρητα ἐόντα. εἰ δ' εἴη μιξόχλωρον ἢ χλωρὸν, ἢ πελιδνὸν τὸ χρῶμα, κάκιον γίνεται. τὰ δὲ εἴδεα ὅσα ἂν τοῖσι προγέγραπται.

potens,aut pes, aut tibia tota clauda facta eſt, citra manifeſtam aliam cauſam: his omnibus morbum præceſſiſſe ſciendum eſt præ his vniuerſis. Et plurimi quidem qui pueros educant, ſi interrogentur,confitebuntur: quoſdam verò etiam res latet, negántque ſe ſcire quicquam tale factum eſſe.

Qui porrò de vlceribus cognoſcere volet, quomodo ſingula finient, eum primùm hominum ſpecies perſcrutari oportet,tum eas quæ meliore ſunt ad vlcera, tum quæ deteriores. Deinde ætates noſſe, in quibus ſingula vlcera curatu difficilia exiſtunt: locos item in corporibus perſpectos habere, quantum alij ab aliis differunt. Sed & alia qualia ſingulis ſuperueniunt,tum bona,tum mala noſſe oportet. Si quis enim omnia hæc nouerit, is ſanè ſciet etiam quem euentum ſingula habitura ſint: qui verò hæc non nouerit,non nouerit etiam qui vlcerum exitus ſint futuri. Species equidem bonæ ſunt hæ: leues,& commoderatæ,& bonis viſceribus præditæ,& neque valde carnoſæ,neque duræ: quantum verò ad colorem, ſit ſpecies alba,aut nigra,aut rubicunda: hæ enim omnes bonæ ſunt,ſi puræ ſunt. Si verò pallore mixtus, aut color ipſe pallidus, aut liuidus fuerit,peius eſt. Species verò quæ præ-

ſcriptis

γεγραμμένοισι τἀναντία πεφύκῃ, εἰδέναι χρὴ κακίω ἐόντα.

Περὶ δὲ ἡλικιῶν, φύματα μὲν ἔμπυα γίνεται καὶ τὰ χοιράδεα ταῦτα πλεῖστα τῶν παιδίων ἴσχουσι, καὶ ῥᾷστα ἐξ αὐτέων ἀπαλλάσσει· τοῖσι δὲ γεραιτέροισί τε τῶν παιδίων, καὶ νεηνίσκοισι, φύεται μὲν ἐλάσσω, χαλεπώτερον δὲ ἐξ αὐτέων ἀπαλλάσσουσι. τοῖσι δὲ ἀνδράσι, τὰ μὲν τοιαῦτα φύματα οὐ κάρτα ἐπιγίνεται· τὰ δὲ κηρία, δοθινὰ, καὶ οἱ κρυπτοὶ καρκίνοι οἱ ὑποβρύχιοι, καὶ οἱ ἐκ τῶν ἐπινυκτίδων ἕρπητες, ἐς τ᾽ ἂν ἑξήκοντα ἔτεα συχνῷ ὑπερβάλλωσι. τοῖσι δὲ γέρουσι τῶν μὲν τοιουτοτρόπων φυμάτων οὐδὲν ἐπιγίνεται· οἱ δὲ καρκίνοι οἱ κρυπτοὶ καὶ οἱ ἀκρόπαθεις γίνονται, καὶ ξυναποθνήσκουσι.

Τῶν δὲ χωρίων μασχάλαι δυσιητόταται, καὶ κενεῶνές τε καὶ μηροί· ὑποστάσιές τε γὰρ ἐν αὐτοῖσι γίνονται, καὶ ὑποστροφαί. Τῶν δὲ περὶ ἄρθρα ἐπικινδυνότατοι οἱ μεγάλοι δάκτυλοι, καὶ μᾶλλον οἱ τῶν ποδῶν. Οἷσι δὲ τῆς γλώττης ἐν τῷ πλαγίῳ ἕλκος γίνεται πολυχρόνιον, καταμαθεῖν τὸν ὀδόντων ἤν τις ὀξὺς τῶν κατ᾽ αὐτό.

Τὰ δὲ τρώματα θανατωδέστερα μὲν τὰ ἐς τὰς φλέβας τὰς παχείας, τὰς ἐν τῷ τραχήλῳ τε καὶ τοῖς βουβῶσιν· ἔπειτα ἐς

τὸν ἐγκέ-

ſcriptis contrariæ fuerint, eas deteriores eſſe ſcito.

Quod verò ad ætates attinet, tubercula quidem ſuppurata fiunt, & ſtrumoſa hæc plurimos pueros occupant, & faciliùs ex ipſis tolluntur; in adultioribus pueris & iuuenibus rariùs quidem naſcuntur, at difficiliùs curantur. Viris autem talia quidem tubercula non admodum oriuntur: verùm ceria (Græcis dicta) ad modum faui concreta, periculoſa; & cancri occulti in profundo delitescentes, & ex puſtulis nocturnis herpetes, donec plerunque ſexaginta annos ſuperarint. Senibus autem nihil eiuſmodi tuberculorum oboritur, ſed tam occulti, quàm ſummam cutem afficientes cancri naſcuntur, & commoriuntur.

Cæterùm ex locis alæ difficiliores curatu ſunt, & inania loca, ac femora. Nam & moræ in ipſis fiunt, & recidiuæ. Ex articulis periculoſiſſimi ſunt magni digiti, & præſertim pedum. Quibus autem in latere linguæ vlcus naſcitur diu durans, videndum eſt num iis aliquis dentium eo loco acutior ſit.

Vulnera magis mortifera ſunt, quæ venis craſſis, iiſque quæ in collo ac inguinibus infiguntur: deinde quæ cerebro &

τὸν ἐγκέφαλον, καὶ ἐς τὸ ἧπαρ· ἔπειτα τὰ ἐς τὸ ἔντερον καὶ ἐς κύστιν. ἔστι δὲ ταῦτα πάντα ὀλέθρια ἐόντα ἰσχυρῶς, οὐχ οὕτως ἄφυκτα ὡς δοκεῖ. τά τε γὰρ χωρία οἱ ὅμοια τὰ ἔχοντα ταῦτα, μέγα διαφέρει, καὶ οἱ αὐτοὶ τρόποι. πολὺ δὲ διαφέρει τῶν ἀνθρώπων τοῦ σώματος ἡ παρασκευή· ἔστι μὲν γὰρ ὅτε οὔτ' ἂν πυρετήνειεν, οὔτε φλεγμήνειεν βιωθείς· ἔστι δ' ὅτε καὶ ἄνευ προφάσιος ἐπυρέτηνεν ἄν, καὶ ἐφλεγμάνθη τι τοῦ σώματι πάντως· ἀλλ' ἢν ὅτι ἕλκος ἔχων παραφέρηται, ὁποίας τε φέρῃ τὸ τρῶμα, ἐγχρίειν χρὴ τοῖς τρώμασι ὡς ἀποσωζομένοις κατὰ λόγον τῆς ἰητρείης τε, καὶ τῶν ἐπιγινομένων. ἀποθνήσκουσι μὲν γὰρ οἱ ἄνθρωποι ὑπὸ τρωμάτων πολυτρόπων· πολλαὶ μὲν γὰρ φλέβες εἰσί, καὶ λεπταί, καὶ παχεῖαι, αἳ ἢν αἱμορραγέουσαι ἀποκτείνουσιν, ἢν αὗται τύχωσιν ἐρρωγυῖαι· αἳ ἐν ἑτέρῳ καιρῷ διακόπτοντες, ὠφελέουσι τὰ σώματα.

Πολλὰ δὲ τῶν τρωμάτων ἐν χωρίοισί τε εἰσὶ ὀλιγῶσι, καὶ οὐδέν τι δεινὰ φαινόμενα, οὕτως ἐδυνήθησεν ἡ πληγὴ ὥστε μὴ δύνασθαι ἀναπνεῦσαι. ἄλλοι δὲ ὑπὸ τῆς ὀδύνης τοῦ τρώματος, οὐδὲν δή τι δεινοῦ ἐόντος. τοῖς μὲν συνέδραμε αὐτίκ' ἔγκαιρον· παραφρονήσαντες δὲ καὶ πυρετήναντες ἀπέθανον. ἔστι γὰρ αἳ ἢν τὸ σῶμα πυρετῶδες ἔχωσιν, ἢ τὰς γνώ-

μας

iocinori: poſteà quæ inteſtino & veſicæ. Sunt autem hæc omnia valde perniciosa, non tamen ita deſperata, velut putatur. Nam & loci qui hæc nomina habent, multũ inter ſe differunt, & iidem mores: multum etiam differt præparatio corporis ipſius hominis. Aliquando enim neque febricitat, neque inflammatur ſauciatus: aliquando etiam citra cauſam manifeſtam febricitat, & aliqua corporis pars omninò inflammatur. At quando is qui vlcus habet, delirat, & facilè fert vulnus, tunc vulneri manus adhibenda eſt, vtpote exitum habituro pro ratione medicinæ, & eorum quæ incidere conſueverunt. moriuntur enim homines ab omnis generis vulneribus: multæ enim venæ ſunt, & tenues, & craſſæ, quæ ſanguinis profuſione necant, ſi eò impetus ruerit: quas alia temporis occaſione qui incîdunt, corporibus proſunt.

Multa verò vulnera quæ in locis ſat bonis eſſe, nec vllo pacto grauia viſa ſunt, tanto dolore oppreſſit plaga, vt reſpirandi facultas data non fuerit. Alij verò præ vulneris dolore, quod ſanè nullo modo graue erat, ſpiritum quidem duxerunt, verùm delirarunt, & febrientes mortui ſunt. Quicunque enim aut corpus febriculoſum habent, aut mentem

μας θορυβώδεας, τὰ τοιαῦτα πάσχουσι. ἀλλὰ χρὴ μήτε ταῦτα θαυμάζειν, μήτε ἐῤῥωσθέειν κεῖνα, εἰδότα, ὅτι αἵ ψυχαί τε καὶ τὰ σώματα πλεῖστον διαφέρουσιν αἱ τῶν ἀνθρώπων, καὶ δύναμιν ἔχουσι μεγίστην. ὅσα μὲν οὖν τῶν τρωμάτων καιρὸς ἔτυχεν, ἢ σωματίου τε καὶ γνώμης τοιαύτης, ἢ ὀργῶντος ἔσω τοῦ αἵματος, ἢ μέγεθος τοσοῦτον ᾖ, ὥστε μὴ δύνασθαι κατασῆναι τῶν ἀνθρώπων εἰς τὴν ἴησιν καταφερέοντα. τοῖσι μὲν ἐξίστασθαι χρὴ ὁπότερα ἂν ᾖ, πλὴν τῶν ἐφημερέων λειποθυμιῶν. τοῖσι δ᾽ ἄλλοισι πᾶσιν ἐπιχειρέειν, νεωτεροποιέουσιν ἔστιν, ὡς αὐτούς τε πυρετοὺς διαφεύγουσιν οἱ ἄνθρωποι, καὶ τὰς αἱμοῤῥαγίας τε καὶ τὰς νομὰς, περιεσομένων. ἀτρεκέστατα δὲ καὶ ἐπὶ πλεῖστον χρόνον τὰς φυλακὰς αἰεὶ τῶν δεινοτάτων ποιέεσθαι· καὶ γὰρ δίκαιον οὕτως.

Αἱ δὲ τομαὶ θανατωδέσταται μὲν, ἂν αἱ σπεδόνες βαθύνται, καὶ μηκάνται, καὶ ξηρεῦνται. πονηραὶ δὲ καὶ ἐπικίνδυνοι, ὅσαι μέλαινα ἰχῶρα ἀναδιδοῦσιν. αἱ δὲ χλωραὶ καὶ μυξώδεες τῶν σπεδόνων, ἀποκλείουσι μὲν ἧσσον, ὑποστρέφουσι δὲ μᾶλλον, καὶ χρονιώτεραι γίνονται.

Οἱ δὲ ἕρπητες ἀκινδυνότατοι πάντων ἑλκέων ὅσα νέμεται. δυσαπαλλακτότατοι δὲ μάλιστα, καὶ τά γε τοὺς κρυπτοὺς καρκίνους. ἐπὶ

πᾶσι

turbulentam, talia patiuntur. Sed neque hæc admirari oportet, neque formidare illa, conſiderantem, quòd animæ & corpora hominum plurimùm differunt, & vim maximam habent. Quæcunque igitur vulnera temporis occaſionem nacta ſunt, aut corpus & mentem huiuſmodi, aut ita turgeſcentem ſanguinem, aut magnitudine tanta fuerint, vt homo ignauè ſentiens curationem recipere non poſſit, ab his quidem abſtinere oportet, qualiacunque tandem fuerint, diariis animi deliquiis exceptis: aliis verò omnibus manus admouenda, quæ recens ſunt inflicta, quò & febres effugiant homines qui euaſuri ſunt, & ſanguinis profuſiones, & vlcera depaſcentia. Exactiſſimè verò & ad plurimum tempus in grauiſſimis cura ſemper adhibenda eſt: nam ita facere rationi eſt conſentaneum.

At verò nomæ lethaliſſimæ ſunt, quarum putredines altiſſimæ, nigerrimæ, ac ſicciſſimæ exiſtunt. Prauæ etiam ac periculoſæ, quæ nigram ſaniem emittunt. Albidæ verò ac mucoſæ putredines, minùs quidem interimunt, at frequentiùs reuertuntur, & diutiùs permanent.

Herpetes autem minimè omnium vlcerum quæ depaſcendo ſerpunt, periculoſi ſunt, ſed difficillimè tolli poſſunt, quemadmodum cancri occulti. In omnibus

πᾶσι δὲ τοῖσι πλείοσι πυρετόν τι ἐπιγενέσθαι ξυμφέρει μίαν ἡμέρην, καὶ πῦον ὡς λευκότατον καὶ παχύτατον. λυσιτελεῖ δὲ καὶ σφακελισμὸς νεύρου, ἢ καὶ ὀστέου, ἢ καὶ ἀμφοῖν, ἐπί τε τῇσι βαθείῃσι σηπεδόσι καὶ μυδαινούσῃσι· πῦον γὰρ ἐν τοῖσι σφακελισμοῖσι ῥεῖ πουλὺ, καὶ λύει τὰς σηπεδόνας.

Τῶν δὲ ἐν κεφαλῇ τρωμάτων, θανατωδέστατα μὲν τὰ ἐς τὸν ἐγκέφαλον, ὡς καὶ προγέγραπται. δεινὰ δὲ καὶ τὰ τοιαῦτα πάντα· ὀστέον ψιλὸν μέγα, ὀστέον ἐμπεφλασμένον, ὀστέον κατεῤῥαγές. εἰ δὲ καὶ τὸ στόμα τοῦ ἕλκεος σμικρὸν εἴη, ἡ δὲ ῥαγμὴ τοῦ ὀστέου ἐπὶ πολὺ παραμείνοι, ἐπικινδυνότερόν ἐστι. ταῦτα δὲ πάντα δεινότερα γίνεται, καὶ κατὰ ῥαφὴν ἐόντα, καὶ τῶν χωρίων αἰεὶ τὰ ἐν τοῖσιν ἀνωτάτω τῆς κεφαλῆς. πυνθάνεσθαι δὲ χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀξίοις λόγου τρώμασιν, ἢν ἐπὶ νεωτέροισιν αἱ πληγαὶ ἔωσιν, ἢ βλήματα εἴη, εἰ κατέπεσεν ὥνθρωπος, ἢ εἰ ἐκαρώθη. ἢν γάρ τι τούτων ᾖ γεγονός, φυλακῆς πλείονος δεῖται, ὡς τοῦ ἐγκεφάλου ἐσαικεχότος τοῦ τρώματος. εἰ δὲ μὴ νεώτερόν τι εἴη, ἐς τἄλλα σημεῖα σκέπτεσθαι καὶ βουλεύεσθαι. ἄριστον μὲν οὖν μήτε πορεῦσθαι τὸ ἕλκος ἔχοντα ἐν τῇ κεφαλῇ, μήθ' αἷμα ἐπαναῤῥαγῆναι αὐτοῦ, μηδὲ φλεγμονήν, μήθ' ἅμα μηδεμίαν ὀδύ-

νην

autem talibus febrem vnius diei ſuperuenire confert, & pus quàm albiſſimum ac craſſiſſimum. Prodeſt verò & corruptio nerui, aut etiam oſſis, aut etiam amborum, in altis & nigris putredinibus, nam in corruptionibus pus multum fluit, & putredines ſoluit.

Porrò ex capitis vulneribus mortifera maximè ſunt quæ ad cerebrum pertingunt, velut etiam antè ſcriptum eſt. Periculoſa verò & huiuſmodi omnia: os nudum magnum, os ex colliſione introuerſum, os diſſiſſum. Si verò etiam oſculum vlceris paruum fuerit, rima verò oſſis diu permanſerit, periculoſius eſt. Hæc autem omnia grauiora fiunt, quæ iuxta ſuturam ſunt; & locis peiora ſemper, quæ in ſuperiori capitis parte conſiſtunt. Cæterùm in omnibus magni momenti vulneribus requirendùm eſt, an adhuc recentes ſint plagæ, aut etiam ictus fuerint, num conciderit homo, num ſopore oppreſſus ſit. Si enim horum quippiam factum fuerit, maiore cura opus habet, vtpote quum cerebrum vulnus perceperit. Si verò non recens ſauciatus fuerit, ad alia ſigna reſpicere oportet ac conſilium capere. Optimum quidem igitur eſt, neque febrire eum qui vulnus in capite habet, neque ipſi ſanguinis profluuium, neque inflammationem, neque ſimul vllum aliquem dolorem ſu-

γίνεσθαι. εἰ δέ τι τούτων ἐπιφαίνοιτο, ἐν ἀρχῇσί τε γίνεσθαι ἀσφαλέστατον, καὶ ὀλίγον χρόνον παραμένειν ξυμφέρει δὲ ἐν τῇσιν ὀδύνῃσι καὶ τὰς φλεγμονὰς τὰς ἐπὶ τοῖσιν ἕλκεσιν ἐπιγίνεσθαι· τῇσι δ' αἱμοῤῥαγίῃσι, φόνον ἐπὶ τῇσι φλεψὶ φαίνεσθαι. τοῖσι δὲ πυρετοῖσιν ἃ ἐν τοῖσιν ἔξεστι νοσήμασιν ἔγραψα, ξυμφέρει ἐπὶ τούτοισι γενέσθαι ταῦτα· καὶ ἐνθάδε λέγω ἀγαθὰ εἶναι· τὰ δ' ἐναντία, κακά. ἄρξασθαι δὲ πυρετὸν ἐπὶ κεφαλῆς τρώσει τεταρταίῳ, ἢ ἑβδομαίῳ, ἢ ἑνδεκαταίῳ, θανατώδες μάλα. κρίνεται δὲ τοῖσι πλείστοισιν, ἢν μὲν τεταρταίου ἐόντος τοῦ ἕλκεος πυρετὸς ἄρξηται, ἐς τὴν ἑνδεκάτην· ἢν δὲ ἑβδομαῖος ἐὼν πυρετήνῃ, ἐς τὴν τεσσαρεσκαιδεκάτην ἢ ἑπτακαιδεκάτην· ἢν δὲ τῇ ἑνδεκάτῃ ἄρξηται πυρεταίνειν, ἐς τὴν εἰκοστὴν, ὡς ἐν τοῖσι πυρετοῖσι διαγέγραπται, τοῖς αὐτῶ προφάσιος ἐμφανέων γινομένοισι. τῇσι δ' ἀρχῇσι τῶν πυρετῶν, ἢν τι παραφροσύνη ἐπιγένηται, ἢν τε ἀποπληξίες τῶν μελέων τινός, εἰδέναι τὸν ἄνθρωπον ἀπολλύμενον, ἢν μὴ παρλάπασιν. ἢ τῶν καλλίστων τι σημεῖον ἐπιγίνηται ἢ σώματος ἀρετὴ ὑπαρκέηται· ἀλλ' ὑποσκέπτεσθαι τὸν τρόπον· τῷ ἀνθρώπῳ γὰρ ἔτι αὐτῷ ἐλπὶς γίνεται σωτηρίης· χαλὸν δὲ

γίνε-

perueniſſe. Si verò quid horum appa- ruerit tutiſſimum eſt vt in principio fiat, & modicum tempus permaneat. Conducit autem in doloribus, etiam inflammationes vlceribus ſuperuenire: in ſanguinis autem eruptionibus, pus in venis apparere. Quæ verò in acutis morbis conferre febribus ſcripſi, ea etiam in his fieri conducit: & eadem hic bona eſſe aſſero, contraria verò mala. At incipere febrem in capitis vulnere quarta die, aut ſeptima, aut vndecima, valde letale eſt. Iudicatur autem pleriſque, ſi quidem quarta vulneris die febris inceperit, ad vndecimam: ſi verò ſeptima die febricitarit, ad decimam quartam, aut decimam ſeptimam: ſi verò vndecima febrire inceperit, ad vigeſimam; quemadmodum in febribus deſcriptum eſt, quæ abſque manifeſtis cauſis fiunt. Cæterùm in principiis febrium, ſiue delirium acceſſerit, ſiue alicuius membri ſideratio, periturum hominem ſciendum eſt, ſi non omnino aut ex optimis ſignis aliquod ſubſecutum fuerit, aut corporis vires ſubſint. Verùm conſiderabis modum. Nam homini adhuc ſpes ſalutis: ſed claudum fieri

articu-

γυιοῦσθαι τὸ ἄρθρον ἐς ὃ ἀπεσύρη ἐξ ἀναγκαίου ἐστιν, ἢν ἄρα καὶ περιγένηται ὁ ἄνθρωπος.

Τὰ δὲ τρώματα τὰ ἐν τοῖσιν ἄρθροισι, μεγάλα μὲν ὄντα καὶ τελέως ἀποκόπτοντα τὰ νεῦρα τὰ συνέχοντα, εὔδηλον ὅτι χωλὰ ἐς ἀποδείξιν. εἰ δὲ ἐνδοιαστὸν εἴη ἀμφὶ τοῦ νεύρου, ὅπως ἔχοι, ὀξέος μὲν ἐόντος τοῦ βέλεος τοῦ ποιήσαντος ἐρθὸν τὸ τρῶμα εἶναι, ἄμεινον ἐπικαρσίου. εἰ δ' εἴη βαρύ τε καὶ ἀμβλὺ τὸ τρῶμα, οὐδὲν διαφέρει. ἀλλ' ἐς τὸ βάθος τι τῆς πληγῆς σκέπτεσθαι καὶ τἄλλα σημεῖα. ἔστι δὲ τάδε· πῦον ἢν ἐπιγένηται ἐπὶ τὸ ἄρθρον, σκληρότερον ἀνάγκη γυιοῦσθαι· ἢν δὲ καὶ οἰδήματα συμπαραμείνῃ, σκληρὸν ἀνάγκη πουλὺν χρόνον τοῦτο τὸ χωρίον γίνεσθαι· καὶ τὸ οἴδημα ὑγιέος ἐόντος τοῦ ἕλκεος παραμένειν ἀνάγκη, συγκάμπτεσθαί τε καὶ ἐκτείνεσθαι, ὁκόσα ἂν τοῦ ἄρθρου καμπύλου ἐόντος θεραπεύηται. οἷσι δ' ἂν καὶ νεῦρον δοκέῃ ἐκπεσεῖσθαι, ἀσφαλεστέρως τὰ περὶ τῆς χωλώσιος ἢ προλέγειν, ἄλλως τε καὶ ἢν τὸ κάτωθεν νεῦρον ᾖ τὸ ἐκλυόμενον. γνῶσις δὲ τοῖσι νεύροισι μέλλον ἐκπίπτειν. πῦον λευκόν τε καὶ παχὺ καὶ πουλὺν χρόνον ὑπορρεῖ, ὀδύναι τε καὶ φλεγμοναὶ γίνονται περὶ τὸ ἄρθρον ἐν ἀρχῇσι. τὰ δ' αὐτὰ ταῦτα γίνεται, καὶ ὀστέου μέλλοντος ἐκπεσεῖσθαι.

Τὰ δὲ

articulum in quem incubuit, neceſſe eſt, etiamſi ſuperſtes maneat homo.

Porrò vulnera in articulis, grandia quidem & neruos qui continent penitus præcidentia, claudos debileſve reddere patet. Si verò ambiguum fuerit de neruis quomodo ſe habeant, ſi quidem acutum telum rectum vulnus fecit, commodius eſt tranſuerſo. Si verò graue & retuſum fuerit telum, nihil refert. Sed plagæ profunditatem & alia ſigna conſiderare licebit. Sunt autem hæc: pus ſi ſupra articulum naſcatur, duriorem fieri neceſſe eſt. Si verò etiam tumores ſimul permanſerint, hunc locum diu durum eſſe neceſſe eſt: & ſano quoque vlcere tumorem permanere neceſſarium eſt, ſimúlque flecti ac extendi, quæcunque recuruato articulo curantur. Quibus verò etiam neruus elapſurus eſſe videtur, ſecurius de mutilatione prædicere licet, tum aliàs, tum ſi inferiorum neruorum aliquis fuerit exolutus. Ex his autem cognoueris neruum qui excidet: pus album & craſſum diu fertur, doloréſque ac inflammationes circa articulum in principiis excitantur. Hæc eadem etiam accidunt, ſi os exciſurum eſt.

At ve-

Τὰ δὲ ἐν τοῖσιν ἀγκῶσι διακόμματα, ἂν φλεγμονῇ μάλιστα ἰόντα, ἐς διαπύησιν ἀφικνεῖται, καὶ τομάς τε καὶ καύσιας.

Ὁ δὲ νωτιαῖος μυελὸς ἢν νοσέῃ, ἢν τε ἐκ πτώματος, ἢν τε ἐξ ἄλλης τινὸς προφάσιος, ἢν τε ἀπὸ αὐτομάτου, τῶν τε σκελέων ἀκρατὴς γίνεται ὁ ἄνθρωπος, ὥστε μηδὲ διγγανόμενος ἐπαΐειν, καὶ τῆς γαστρὸς καὶ τῆς κύστιος, ὥστε τὸν μὲν πρῶτον χρόνον, μήτε κόπρον, μήτε οὖρον διαχωρέειν, ἢν μὴ πρὸς ἀνάγκην. ἔπειτα δὲ παλαιοτέρου γινομένου τοῦ νοσήματος, ὑπ᾽ ὅτι ὅτι τοῦ ἀνθρώπου ἥ τε κόπρος διαχωρέει, καὶ τὸ οὖρον. ἀποθνήσκει δὲ μετὰ ταῦτα, οὐ πολλῷ ὕστερον χρόνῳ.

Ὧν δὲ ἐμπίπλαται αἵματος ἡ φάρυγξ πολλάκις τῆς ἡμέρης τε καὶ τῆς νυκτὸς ἑκάστης, οὔτε κεφαλῆς προαλγέος ἐούσης, οὔτε βηχὸς ἐχούσης, οὔτε ἐμέοντι, οὔτε πυρετοῦ λαμβάνοντος, οὔτε ὀδύνης ἐχούσης οὔτε τὸ στῆθος, οὔτε τὸ μετάφρενον· τούτου κατιδεῖν ἐς τὰς ῥῖνας καὶ τὴν φάρυγγα, ἢν ἕλκος τι ἔχειν φαίνηται ἐν τῷ χωρίῳ τούτῳ, ἢ βδέλλαν.

Ὀφθαλμοὶ δὲ λημῶντες ἄριστα ἀπαλλάττουσιν, ἢν τό, τε δάκρυον, καὶ ἡ λήμη, καὶ τὸ οἴδημα, ἄρξηται ὁμοῦ γινόμενα. ἢν δὲ τὸ μὲν δάκρυον τῇ λήμῃ μεμιγμένον ᾖ, καὶ μὴ θερμὸν ἰσχυρῶς, ἡ δὲ λήμη λευκή τε ᾖ καὶ μαλθακή, τό, τε οἴδημα ἐλαφρόν τε καὶ

λεῖ-

Digitized by Google

At verò diſſectiones in cubiti gibbis; præſertim quæ ſunt cum inflammatione, ad ſuppurationem perueniunt, ſectionéſque ac vſtiones.

Medulla verò ſpinæ ſi laborarit, ſiue ex lapſu, ſiue ex alia aliqua cauſa, ſiue ſua ſponte, homo & cruribus impotens fit, vt neque ſi tangatur percipiat, & ventre ac veſica, vt primis temporibus neque ſtercus neque vrinam excernat, niſi coactè. quum autem inueterarit morbus, non vrgente homine, & ſtercus prodit, & vrina. Moritur autem poſtea, non multo interpoſito tempore.

Quòd ſi verò cuipiam fauces implentur ſanguine ſæpe ſingulis diebus ac noctibus, neque caput anteà doluit, & qui neque tuſſijt, neque vomuit, neque febre correptus fuit, neque dolorem habuit, nec pectoris, nec dorſi: huius inſpiciendæ ſunt nares, & fauces, an vlcus aliquod habere compareat in hoc loco, aut ſanguiſugam.

Oculi porrò lippientes optimè ſaneſcunt, ſi & lacryma, & ſordes, & tumor, ſimul fieri cœperint. Si verò lacryma ſordi fuerit mixta, nec valdè calida; ſordes autem alba & mollis, & tumor leuis

λημῶσιν. εἰ γὰρ οὕτω ταῦτ' ἔχει, ξυμπλάσσονται οἱ ὀφθαλμοὶ ἐς τὰς νύκτας, ὥστε αἰσθάνεσθαι· καὶ ἀκινδυνότατοι οὕτως ἂν εἶεν, καὶ ὀλιγοχρονιώτατοι. εἰ δὲ τὸ δάκρυον χωρέοι πολὺ καὶ θερμὸν ξὺν ὀλίγῃ τῇ λήμῃ καὶ σμικρῷ οἰδήματι, εἰ μὲν ἐν τῷ ἑτέρῳ τῶν ὀφθαλμῶν, χρόνιον μὲν κάρτα γίνεται, ἀκίνδυνον δέ· καὶ ἀνώδυνος ἐστὶν ὁ τρόπος. ἐν τούτοισι μάλιστα τήνδε κρίσιν ὑποσκέπτεσθαι, τὴν μὲν πρώτην ἐς τὰς εἴκοσιν ἡμέρας. ἢν δ' ὑπερβάλλῃ τοῦτον τὸν χρόνον, ἐς τὰς τεσσαράκοντα προσδέχεσθαι· ἢν δὲ μηδ' ἐν ταύτῃσι παύηται, ἐν τῇσιν ἑξήκοντα κρίνεται. παρὰ πάντα δὲ τὸν χρόνον τοῦτον ἐνθυμεῖσθαι τὴν λήμην, ἢν τῷ δακρύῳ τι μίσγηται, καὶ λευκή τε καὶ μαλθακὴ γίνηται, μάλιστα δ' ὑπὸ τὸν χρόνον τὸν κρίσιμον. ἢν γὰρ μέλλῃ παύεσθαι, ταῦτα ποιήσει. εἰ δὲ οἱ ὀφθαλμοὶ ἀμφότεροι ταῦτα πάσχοιεν, ἐπικινδυνότεροι γίνονται, ἑλκωθῆναί τι· ἡ δὲ κρίσις ἐλάσσονος χρόνου ἔσται· αἱ δὲ ξηραὶ ἐπώδυνοι κάρτα, κρίνονται δὲ ταχέως, ἢν μὴ ῥῆγμα λάβῃ ὁ ὀφθαλμός. οἴδημα δὲ ἢν μέγα ᾖ, ἀνώδυνόν τε καὶ ξηρὸν, ἀκίνδυνον. εἰ δὲ εἴη ξὺν ὀδύνῃ, κακὸν μὲν ξηρὸν ἐὸν καὶ ἐπικίνδυνον ἑλκῶσαί τι τὸν ὀφθαλμὸν καὶ ξυμφῦσαι. δεινὸν δὲ καὶ ξὺν δακρύῳ τε ὂν καὶ ὀδύ-

ac ſolutus: ſi ita hæc ſe habuerint, oculus conglutinabitur noctu, vt doloris exors ſit: atque hoc modo res minimè periculoſa fuerit, ac minimè diuturna. Si verò lacryma profluit multa & calida cum pauciſſima ſorde ac modico tumore, idque ex altero oculo tantùm, longum quidem id admodum, ſed ſine periculo eſt: idque lippitudinis genus minimè cum dolore eſt. Iudicationem in his maximè obſeruare oportet, primam quidem, ad vigeſimam diem. Si verò hoc tempus tranſmittat, ad quadrageſimam expectanda eſt. Si verò neque his diebus finiatur, in ſexaginta iudicatur. Toto autem hoc tempore ſordes conſideranda eſt, an lacrymæ miſceatur, & alba ac mollis fiat, ſed maximè ſub iudicationis tempus. Si enim deſinet, hæc faciet. At ſi vtrique oculi hæc perpetiantur, malus periculum eſt vlcerum: ſed iudicatio breuioris temporis erit. Sordes autem ſiccæ dolorem quidem vehementem mouent, ſed maturiùs deſinunt, niſi vulnus acceperit oculus. Si verò tumor magnus ſine dolore fuerit, & ſiccus, periculo vacat. Si verò cum dolore fuerit & ſiccus, malus eſt, & periculum ne vlceretur oculus ac concreſcat. Sed & grauis eſt

ὀδύνη. εἰ γὰρ δάκρυον χωρέοι θερμὸν καὶ
ἁλμυρὸν, κίνδυνος τῇ τε κόρῃ ἑλκωθῆναι,
καὶ τοῖσι βλεφάροισιν. εἰ δὲ τὸ μὲν οἴδημα
καταστάίη, δάκρυον δὲ πολὺ ἐπιχέηται πο-
λὺν χρόνον, καὶ λῆμαι ἔωσι· τοῖσι μὲν ἀν-
δράσι βλεφάρων ἐκτροπὴν προλέγειν, τῇ-
σι δὲ γυναιξὶ καὶ τοῖσι παιδίοισιν ἕλκωσιν
καὶ τὴν βλεφάρων ἐκτροπήν. ἢν δὲ λῆμαι
χλωραὶ ἢ πελιδναὶ ἔωσι, καὶ δάκρυον πο-
λὺ καὶ θερμὸν, καὶ ἐν τῇ κεφαλῇ καῦμα ᾖ,
καὶ διὰ τῶν κροτάφων ὀδύναι ἐς τὸν ὀφθαλ-
μὸν κατασκήπτωσι, καὶ ἀγρυπνίη τελέωσιν
ἐπιγίνηται, ἕλκος ἀνάγκη γενέσθαι ἐν τῷ
ὀφθαλμῷ. ἐλπὶς δὲ καὶ ῥαγῆναι τὸν τοιοῦτον.
ὠφελέει δὲ καὶ πυρετὸς ἐπιγενόμενος, ἢ ὀδύνη
ἐς τὴν ὀσφὺν σκηρίξασα. προλέγειν δὲ δεῖ
τούτοισι τὰ ἐσόμενα, ἔς τε τὸν χρόνον σκεπτό-
μενον, ἔς τε τὰ ἐκ τοῦ ὀφθαλμοῦ ῥέοντα, ἐς
τὰς περιωδυνίας τε καὶ ἀγρυπνίας. ἐπὴν
δὲ καὶ τὸν ὀφθαλμὸν οἷόν τι ᾖ ἐκπηδεῖν, ἢν
μὲν ἀφεθῇ ἐρρωγώς τε καὶ διὰ τῆς ῥαγμῆς
ὑπερίσχουσα ἡ ὄψις, πονηρὸν καὶ χαλεπὸν
καθιδρύσαι. εἰ δὲ καὶ σηπεδὼν ὑπῇ τῷ
τοιούτῳ τῆς ῥήξεως ἄχρηστος ὁ ὀφθαλμὸς γίνεται.
Ἐὰν δὴ ἄλλως ξέοντας τῶν ἑλκέων ἐς τὰ χω-
ρία σκεπτομένους προλέγειν, καὶ τάς τε ση-
πεδόνας, καὶ βαθύτητας. ἀναγκαῖον χρὴ
τὴν ἴχνην τῶν ἑλκέων τὰς οὐλὰς γίνεσθαι.
οἷσι

tumor cum lacryma & dolore. Si enim lacryma prodit calida ac ſalſa, periculum eſt exulcerationis in pupilla palpebríſve. Si verò tumor conſederit, ſed lacryma multa diu profluat, & ſordes adſint; viris quidem palpebrarum euerſio prædicenda eſt: mulieribus autem & pueris exulceratio ac euerſio palpebrarum. At ſi ſordes pallidæ aut liuidæ fuerint, & lacryma multa ac calida, & caput caluerit, ac à temporibus in oculos dolores decubuerint, & vigiliæ his acceſſerint, neceſſe eſt vlcus in oculo factum eſſe: & timendum eſt ne iſte quoque rumpatur. Prodeſt autem febris accedens aut dolor in lumbos prolapſus. Prædicere verò his futura oportet, ita vt reſpectus & ad tempus habeatur, & ad ea quæ ex oculo fluunt, & ad dolores itémque vigilias. Poſtquam verò & oculum contueri licuerit, ſi quidem compertus fuerit ruptus, & per fiſſuram prominuerit oculus, malum eſt & difficile vt reſidat. Si verò & putredo tali ſuberit, penitus inutilis oculus redditur. At verò alia vlcerum genera prædicere oportet, habita ratione locorum, putredinum, & profunditatum. Neceſſarium enim eſt pro vlcerum vehementia cicatrices fieri. Quibus igi-

οἷσι μὲν οὖν ῥήγνυνται οἱ ὀφθαλμοὶ, καὶ μὴ ὑπερίζουσιν, ὥστε ἔξω τὴν ὄψιν τῆς χώρης εἶναι, ἀδύνατοι ὠφεληθῆναι καὶ χρόνῳ καὶ τέχνῃ εἰς τὸ βλέπειν. τὰ δὲ σμικρὰ μετακινήματα τῶν ὄψεων οἷά τε καθιδρύεσθαι, ἢν μήτε κακὸν ἐπιγένηται μηδὲν, ὅ, τι ἄνθρωπος νέος ᾖ. αἱ δὲ ἐκ τῶν ἑλκέων οὐλαὶ, οἷσιν ἂν μὴ κακόν τι ἄλλο προσγένηται, πᾶσαι οἷαί τε ὠφεληθῆναι καὶ ὑπὸ τοῦ χρόνου καὶ ὑπὸ τῆς τέχνης· μάλιστα δὲ αἱ νεώταταί τε καὶ ἐν τοῖσι νεωτάτοισι τῶν σωμάτων. τῶν δὲ χωρίων μάλιστα μὲν αἱ ὄψιες βλάπτονται ἑλκεύμεναι, ἔπειτα τὸ ὑπεράνω τῶν ὀφρύων· ἔπειτα δὲ καὶ ὅ, τι ἂν ἄγχιστα ᾖ τούτων τῶν τόπων. αἱ δὲ κόραι γλαυκούμεναι ἢ ἀργυροειδέες γινόμεναι, ἢ κυάνεαι, οὐδὲν χρηστόν. ταυτέων δὲ ὀλίγον ἀμείνους, ὁκόσαι ἢ σμικρότεραι φαίνονται, ἢ εὐρύτεραι, ἢ γωνίας ἔχουσαι, εἴτ' ἐκ προφασίων τινέων γένοιντο, εἴτ' αὐτόμαται. ἀχλύες, καὶ νεφέλαι, καὶ αἰγίδες ἐκλεαίνονταί τε καὶ ἀφανίζονται, ἢν μὴ τρῶμά τι ἐπιγένηται ἐν τούτῳ τῷ χωρίῳ, ἢ πρόσθεν τύχῃ ἕλκος ἔχον ἐν τῷ χωρίῳ τούτῳ, ἢ πτερύγιον. ἢν δὲ παρέλαμψις γένηται, ἀπολαμβάνει τοῦ μέλανος μορίον τι, ὡς εἰ πουλὺν χρόνον παραμείνῃ, καὶ τρηχείη τε καὶ παχείη, καὶ μνημόσυνα

ὑπο-

tur rumpuntur oculi, & poſteà prominent, vt extra locum oculus ſit, his neque tempus, neque ars auxilio eſſe poteſt ad viſum conſeruandum. Paruæ verò oculorum tranſmotiones reſtitui poſſunt, ſi nihil mali acceſſerit, & homo iuuenis fuerit. At vlcerum cicatrices, quibus nihil aliud mali affuerit, omnes & à tempore & ab arte opem ferre poſſunt: præſertim verò recentiſſimæ, & in admodum iuuenum corporibus. Cæterùm ex locis maximè oculi læduntur, ſi exulcerantur; deinde pars quæ eſt ſupra ſupercilia, poſtea quicquid proximum his locis fuerit. Pupillæ verò glaucum colorem referentes, aut argento ſimiles, aut cæruleæ, bonæ non ſunt. His autem paulo meliores ſunt, quæ aut minores apparent, aut ampliores, aut angulos habentes, ſiue ex apertis cauſis tales factæ fuerint, ſiue ſua ſponte. Caligines, & nubeculæ, & cicatrices ſubalbicantes, læuigantur ac delentur, niſi vulnus aliquod in eo loco acceſſerit, aut priùs cicatricem ibidem habuerit, aut unguem pterygion dictum. Si verò ſplendicans in nigro oculi cicatrix fiat, partem aliquam de nigro albidam facit, adeò vt ſi diu maneat, & aſpera & craſſa ſit, etiam poſt curatio-

 nem

ὑποσταλεῖσαι. αἱ δὲ κρίσιες, ὡς ἐν τοῖσι πυρετοῖσιν ἔγραψα, οὕτω καὶ ἐνθάδε ἔχουσιν. ἀλλὰ χρὴ τὰ σημεῖα ἐκμανθάνοντα προλέγειν τὰς μὲν διαφορὰς τῶν ὀφθαλμιῶν· ὅταν τὰ κάκιστα τῶν σημείων ἐπιγένηται, τὰς πολυχρονίους τῶν ὀφθαλμιῶν, ὡς διαγέγραπται ἐφ' ἑκάστοισι· τὰς δὲ ὀλιγοχρονίους, ὅταν τὰ σημεῖα προφαίνηται τὰ ἄριστα· τότε προλέγειν ἑβδομαίας τε παύσασθαι, ἢ ἰσχὺς τελίων, καὶ ἄλλας ἀσφαλῶς νομίζειν ἔχειν. τὰς δὲ ὑποστροφὰς προσδέχεσθαι, οἷσιν αὖ ῥαστῶναι γένωνται, μή τ' ἐν ἡμέρῃσι κρισίμῃσι, μήτε σημείων ἀγαθῶν ἐπιφαινομένων. πάντων δὲ χρὴ μάλιστα τὴν κατάστασιν τοῦ ἔτεος, ἐν τοῖσι περὶ τῶν ὀφθαλμοὺς ἐνθυμεῖσθαι· οἱ γὰρ καιροὶ ὀξέες.

Αἱ δὲ δυσεντερίαι, ξὺν πυρετῷ μὲν ἢν ἐπίασιν, ἢ ποικίλουσί τι διαχωρήμασιν, ἢ ξὺν φλεγμονῇ ἥπατος, ἢ ὑποχονδρίου, ἢ γαστρός· ἢ ὅσαι ἐπώδυνοι, ἢ ὅσαι τῶν σιτίων ἀπολαμβάνουσι δίψαν τι παρέχουσιν. αὗται μὲν πᾶσαι πονηραί· καὶ ὃς ἂν πλεῖστα ἔχῃ τούτων τῶν κακῶν, τάχιστα ἀπόλλυται· ὃς δ' ἂν ἐλάχιστα τῶν τοιούτων προσῇ, πλεῖσται αὐτῷ ἐλπίδες. ἀποθνήσκουσι δὲ ὑπὸ ταύτης τῆς νόσου μάλιστα παιδία τὰ πενταέτια, καὶ γεραίτερα, ἔς τι τὰ δεκαέτια· αἱ δ' ἄλλαι ἡλικίαι ἧσσον. ὅσοι δὲ

τῶν

nem veſtigium aliquod relinquat. Porrò iudicationes, quemadmodum in febribus ſcripſi, ita & hîc ſe habent. Verùm ſigna probè edoctum differentias lippitudinum prædicere oportet, quum peſſima ſigna acceſſerint, diuturnas quidem lippitudines fore, vt de ſingulis perſcriptum eſt: breues verò, quum optima ſigna præluxerint: tunc enim ſeptima die deſituras eſſe prædicendum eſt, aut prope hoc tempus, & alioqui ſecuras eſſe putandum. Recidiuas autem expectare oportet his quibus melius habere contigit neque in diebus iudicatoriis, neque ſignis bonis conſpectis. Omnium verò maximè vrinæ ſtatum in oculorum affectionibus conſiderare oportet: nam temporum occaſiones præcipites ſunt.

Dyſenteriæ ſi quidem cum febre inuaſerint, aut variis alui deiectionibus, aut cum hepatis inflammatione, aut hypochondrij, aut ventris: aut quæ cum dolore fuerint, aut cibos intercipiunt, ſitímque inducunt: hæ omnes malæ ſunt. Et qui ſanè plurima horum malorum habuerit, citiſſimè peribit: cui verò pauciſſima eorum affuerint, huic plurima ſalutis ſpes eſt. Moriuntur autem hoc morbo maximè pueri quinquennes, & ſeniores, etiam vſque ad decimum annum: reliquæ verò ætates minùs. At quæ dyſenteriæ

τῆς δυσεντεριῶν λυπηθεῖσαι. τὰ μὲν κακὰ ταῦτα οὐκ ἐμποιέουσιν· αἷμα δὲ καὶ ξύσματα διαχωρήσαντα, ἐπαύσατο ἑβδομαῖα, ἢ τεσσαρεσκαιδεκαταῖα, ἢ εἰκοσταῖα, ἢ τεσσαρακονθήμερα, ἢ ἐν τοῖς τούτων τῶν χρόνων. τὰ τοιαῦτα γὰρ διαχωρήματα καὶ ὑπάρχοντα πρόσθεν ἐν τῷ σώματι νοσήματα ὑπάξει· τὰ μὲν παλαιότερα, ἐν πλείοσι χρόνοις· τὰ δὲ νεώτερα θᾶσσον, καὶ ἐν ὀλίγῃσιν ἡμέρῃσιν ἀπαλλάσσειν. ἐπεὶ καὶ ἐν γαστρὶ ἐχοῦσαι καὶ αὗται περιγίνονται μᾶλλον ἐς τὸν τόκον τε καὶ ἐκ τοῦ τίκτειν, καὶ τὰ ἔμβρυα διασώζουσιν, αἵματός τε καὶ ξύσματος διαχωρεόντων καὶ πολλοὺς μῆνας· ἢν μή τις ὀδύνη αὐτῇσι προσῇ, ἢ ἄλλο τι τῶν πονηρῶν ὧν ἔγραψα σημείων εἶναι ἐν τῇσι δυσεντερίῃσι, ἐπιγίνοιτο. εἰ δέ τι κείνων ἐπιφαίνοιτο, τοῦ τε ἐμβρύου ὄλεθρον σημαίνει, καὶ τῇ ἐχούσῃ κίνδυνον, ἢν μὴ μετὰ τὴν τοῦ ἐμβρύου ἀπόφθυξιν, καὶ τοῦ ὑστέρου τὴν ἀπόλυσιν, ἡ δυσεντερίη παύσηται αὐτίκα, ἢ μετ' ὀλίγον χρόνον.

Αἱ δὲ λειεντερίαι, ξυνεχέες μὲν καὶ πολυχρόνιοι, καὶ παρὰ ὥρην, ξὺν ψόφησί τε καὶ ἄνευ ψόφου ἐκταρασσόμεναι, καὶ ὁμοίως νύκτες τε καὶ ἡμέρῃς ἐπικείμεναι, καὶ τοῦ διαχωρήματος ὑπιόντος, ἢ ὠμοῦ ἰσχυρῶς, ἢ με-

teriæ proſunt, mala hæc non inducunt: verùm ſanguine & ſtrigmentis egeſtis, deſierunt ſeptima die, aut decimaquarta, aut vigeſima, aut quadrageſima, aut intra hoc tempus. Huiuſmodi enim deiectiones etiam eos qui priùs ſunt in corporibus morbos ſanant: vetuſtiores quidem longiori tempore, recentiores autem paucis diebus tollere poſſunt. Nam & quæ vtero geſtant, etiam ipſæ reſeruantur magis ad partum, & ex partu, & fœtus conſeruant, ſanguine & ſtrigmentis prodeuntibus, etiam per multos menſes: niſi dolor ipſis affuerit, aut aliud quoddam malum ſignum ex his quæ in dyſenteriis fieri ſcripſi, acceſſerit. Si verò aliquod illorum apparuerit, & fœtui perniciem ſignificat, & prægnanti periculum, ſi non poſt fœtus egreſſum, & ſecundarum excluſionem, dyſenteria eadem die, aut modico tempore poſt deſierit.

Læuitates porrò inteſtinorum, continuæ quidem & diuturnæ, omnibus horis & cum ſono & ſine hoc ſi venter exturbatur, ſi ſimiliter noctu ac interdiu vrgent, ſique quod excernitur, aut valdè crudum

ἢ μέλαιναί τε καὶ λεῖαι καὶ δυσώδεες, αὗται μὲν πᾶσαι πονηραί. καὶ γὰρ δίψαι ἀφικνεῦσι, καὶ τὸ ποτὸν οὐκ ἐς τὴν κύστιν τρέπεται, ὥς τε διουρέεσθαι, καὶ τὸ σῶμα ἐξήχνουσι, καὶ ἔρευθος ἐξηνθισμένον ἐπὶ τοῦ προσώπου ποιέουσι, καὶ ἐφηλίδας ἀπτίνα χρώματα ἐχούσας· ἅμα δὲ καὶ τὰς γαστέρας ἀποζύμους τε καὶ ῥυπαρὰς ἀποδεικνύουσι, καὶ ῥυπώδεας. ἐκ δὲ τῶν τοιούτων ἐσθίειν τε ἀδυνάτοι γίνονται οἱ ἄνθρωποι, καὶ τῇσι περιόδοισι χρῆσθαι, καὶ τἆλλα τὰ προσαγόμενα ποιέειν. τὸ δὲ νόσημα τοῦτο, ὃ φνόται τιν μὲν τοῖσι πρεσβυτέροισιν, ἰσχυρὸν δὲ γίνεται καὶ τοῖσιν ἀνδράσι· τῇσι δὲ ἄλλῃσιν ἡλικίῃσι πολλῷ ἧσσον. εἰ τις δὲ μήτε ἐν τῇσιν ἡλικίῃσιν ἔστι ταύτῃσιν ἧσι φημὶ ὑπὸ τοῦ νοσήματος τούτου κακῶς περιέπεσθαι, ἐλάχιστά τε τῶν σημείων ἔχει τῶν πονηρῶν ἃ ἔγραψα εἶναι, ἀσφαλέστατα διάκειται ἐστί. θεραπεύειν δὲ προσδεῖται ἡ νοῦσος αὕτη, ἔστ' ἂν τι, τε οὖρον χωρέηται τοῦ πινομένου κατὰ λόγον, καὶ τὸ σῶμα τῶν σιτίων εἰσιόντων αὔξηται, καὶ τῶν χροιῶν τῶν πονηρῶν ἀπαλλαχθῇ.

Αἱ δὲ ἄλλαι διάῤῥοιαι ὅσαι ἄνευ πυρετῶν, καὶ ὀλιγοχρόνιοί τε καὶ εὐήθεες. ἢ γὰρ καταιφθεῖσαι πεπαύονται ἢ ἀπὸ τοῦ αὐτομάτου. προσαγορεύειν δὲ χρὴ παύεσθαι

τὴν

crudum eſt, aut nigrum, prætereàque læue & mali odoris: hæ omnes prauæ ſunt. nam & ſitim inducunt, & potum nôn ad veſicam deriuant, vt per vrinam eiiciatur: & os exulcerant, & tumidum ruborem in facie excitant, & maculas ſolares variorum colorum: ſimul autem & ventres quaſi fermentatos & ſordidos ac rugoſos reddunt. Hinc verò contingit, vt cibum homines aſſumere non poſſint, nec deambulare, neque alia munia perficere. Eſtque morbus hic grauiſſimus ſenioribus: vehemens eſt etiam viris: reliquis autem ætatibus multò leuior. Quiſquis autem neque in ætatibus his eſt, quas malè tractari ab hoc morbo dixi, & pauciſſima ex ſignis habet quæ mala eſſe ſcripſi, hic tutiſſimo loco eſt. Indiget autem curatione hic morbus, donec & vrina pro ratione eius quod epotum eſt eſt prodeat, & corpus ab ingeſtis cibis augmentum capiat, & à malis coloribus liberatum fuerit.

At verò reliqua profluuia alui quæ ſine febre ſunt, & breui tempore durant & mitia exiſtunt. Aut enim eluta ſedabuntur, aut ſua ſponte. Prædicere au-

τῆς ὑπεξόδου, ὅταν τῇ τετάρτῃ ψαύσῃ τῆς γαστρὸς, μηδεμία κίνησις ὑπῇ, καὶ φῦσα διέλθῃ ὅπῃ τῇ ἐξόδῳ τῇ τοῦ διαχωρήματος.

Ἕδραι δὲ ἐκτρέπονται, ἀνδράσι μὲν, οὓς ἂν διάρροια λάβῃ ἔχοντας αἱμορροΐδας· παιδίοισι δὲ λιθιῶσί τε καὶ ἐν τῇσι δυσεντερίῃσι τῇσι μακρῇσί τε καὶ ἀκρίτοισι· πρεσβυτάτοισι δὲ, οἷσιν ἂν προσπήγματα μύξης ἐνῇ.

Τῶν δὲ γυναικῶν ὅσαι μᾶλλον καὶ ἧσσον ἐν γαστρὶ λαμβάνουσι τεκμαίρεσθαι ὧδε ὑποσκέπτεσθαι· πρῶτον μὲν τὰ εἴδεα· σμικραί τε γὰρ μεζόνων ἀμείνονες ξυλλαμβάνειν, λεπταὶ παχειῶν, λευκαὶ ἐρυθρῶν, μέλαιναι πελιδνῶν. φλέβας ὅσαι ἐμφανέας ἔχουσιν, ἀμείνονες ἢ ὅσῃσι μὴ καταφαίνονται. σάρκα δὲ ἐπιτρεπτὴν ἔχειν πρεσβυτικὴν πονηρόν. μαζοὺς δὲ ὀγκηρούς τε καὶ μεγάλους, ἀγαθόν. ταῦτα μὲν πρὸς τὴν ὄψιν δῆλά ἐστι. πυνθάνεσθαι χρὴ καὶ περὶ τῶν καταμηνίων, εἰ πάντας μῆνας φαίνονται, καὶ εἰ πλῆθος ἱκανὸν, καὶ εἰ εὔχροά τε καὶ ἴσα ἐν ἑκάστοισι τοῖσι χρόνοισι καὶ ἐν τῇσιν αὐτῇσιν ἡμέρῃσι τῶν μηνῶν. οὕτω γὰρ ταῦτα γίνεσθαι ἄριστον.

Τὸ δὲ χωρίον ἐν τῷ ἡ σύλληψίς ἐστιν, ὃ δὴ μήτρην ὀνομάζομεν, ὑγιές τε χρὴ εἶναι καὶ ξηρὸν, καὶ μαλθακὸν, καὶ μήτ' ἀνασπασμένον ἔστω,

tem oportet deiectionem deſituram eſſe, ſi manu contacto ventre nullus motus eius ſentitur, & extremam aluum ſpiritus ſequitur.

Sedes autem procidunt, viris quidem, quos, vbi hæmorrhoïdas habent, alui profluuium corripit: pueris autem calculo laborantibus, & in dyſenteriis longis ac meracis: ſenibus verò quibus muci agglutinati inſunt.

Porrò quæ mulierum magis aut minùs in vtero concipere ſolent, ita conſiderare conuenit: primùm quidem formas: paruæ enim ad conceptionem aptiores ſunt maioribus, tenues craſſis, albæ rubicundis, nigræ liuidis. Quæ item venas conſpicuas habent, aptiores ſunt quàm quibus eæ deliteſcunt. carnem autem vberiorem habere, aniculæ malum eſt. mammas verò turgidas ac magnas, bonum. Atque hæc quidem viſui patent. Verùm interrogare oportet etiam de menſtruis, an omnibus menſibus appareant, & an copia ſatis larga, & an laudabili colore atque pari menſura in ſingulis temporibus & in iiſdem menſium diebus. Ita enim ea profluere, optimum.

Locum verò in quo conceptio fit, quem ſanè vterum nominamus, ſanum eſſe oportet, & ſiccum, ac mollem. Sit

ἔστω, μήτε προπετὲς, μήτε τὸ στόμα αὐτῆς ἀπεστράφθω, μήτε ξυμμεμυκέτω, μήτ' ἐκπεπλήχθω· ἀμήχανον γὰρ, ὅ,τι ἂν ᾖ τῶν τοιούτων κωλυμάτων, σύλληψιν γενέσθαι.

Ὁκόσαι δὲ οὖν τῶν γυναικῶν μὴ δύνανται ἐν γαστρὶ λαμβάνειν, φαίνονται δὲ χλωραὶ, μήτε πυρετοῦ, μήτε τῶν σπλάγχνων αἰτίων ἐόντων, αὗται φιλέουσι κεφαλὴν ἀλγέειν, καὶ τὰ καταμήνια πονηρῶς τε σφίσι καὶ ἀκρίτως γίνεσθαι. καὶ ὀλίγως δὲ καὶ πολλοῦ χρόνου ἐν τῇσιν οὕτω διακειμένῃσιν ἀφανέα, ἢ αἱ μῆτραι καθάρσιος ταύτῃσι προσχεύζουσιν. ὁκόσαι δὲ εὔχροοί τέ εἰσι, καὶ σάρκα πολλήν τε καὶ σκληρὴν ἔχουσι, καὶ φλέβια κεκρυμμένα, ἀνώδυνοί τέ εἰσι, καὶ τὰ καταμήνια ταύτῃσιν ἢ παντάπασιν οὐ φαίνεται, ἢ ὀλίγα τε καὶ ἀκρίτως γίνεται τὸν τρόπον· ἔστιν ἐν τοῖσι χαλεπωτάτοισιν ἐστὶ καταναγκάσαι ὡς ἐν γαστρὶ λαμβάνειν. ἢν δὲ ἐπιφαινομένων τῶν καταμηνίων ἀπροφασίστως, τὸ, τε σῶμα ὧδε διάκειται ἡ γυνὴ, κἂν μὴ συλλαμβάνῃ, τὸ χωρίον ἐν ᾧ ἡ μήτρη, αἴτιον, ὥστε μὴ δύνασθαι γίνεσθαι ἔκγονα. ἢ γὰρ ἀνεσπασμένον ἐστὶν, ἢ ἐκπεπληγμένον. τὰ γὰρ ἄλλα καταγινόμενα ἐνταῦθα, ξὺν ὀδύνῃσί τε γίνεται, καὶ ἀχροίῃσί τε καὶ τήξει.

Ἧσι δ' ἂν ἕλκεα γένηται ἐν τῇσι μήτρῃσιν,

item neque retractus, neque prociduus, neque os ipſius ſit auerſum, neque concluſum, neque euerſum. impoſſibile namque eſt vt conceptio fiat, quodcunque huiuſmodi impedimentorum affuerit.

Quæcunque igitur mulieres in vtero concipere non poſſunt, verùm pallidæ apparent, neque febre, neque viſceribus id cauſantibus, hæ capite ſe dolere dicent, & menſes ſibi malè ac meracos prodire. Siue autem breui, ſiue longo tempore, ipſis ſic affectis menſes non comparuerunt, aut vteri in his purgatione opus habent. Quæcunque verò benè coloratæ ſunt, & carnem multam ac pinguem habent, & venulas occultatas, & dolore carent, & menſes his aut omnino non apparent, aut modici & meraci prodeunt: hoc genus omnium difficillimè adigitur arte vt concipiat. Si verò menſibus inculpatè profluentibus, mulier etiam corpore ita affecta fuerit, nec tamen conceperit, locus in quo vterus iacet, in cauſa eſt, quò minùs liberi ſuſcipi poſſint. aut enim ſurſum tractus eſt, aut euerſus: nam & alia quæ iſthic eueniunt, cum doloribus decoloratione que ac colliquatione fiunt.

Quibus porrò vlceratus fuerit vterus

ξῃσιν. εἴ τε ἐκ τόκου, εἴ τε ἐκ φύματος, εἴ τε ἐξ ἄλλης τινὸς προφάσιος, πυρετός τε καὶ ῥιγῶνες ταύτῃσιν ἀνάγκη ἐπιγίνεσθαι, καὶ ὀδύνας ἐν τοῖσι χωρίοισι τούτοισιν. εἰ δὲ καὶ τὰ λοχεῖα συναπολειφθείη, ταῦτα ὑπάρχοντα κακὰ πάντη ἀκριβέστερά τε καὶ χαλεπώτερα· καὶ πρὸς τούτοισιν ὑποχονδρίων τε καὶ κεφαλῆς ὀδύναι.

Ἕλκεος δὲ γενομένου, καὶ ἐξυγιασθέντος, τὸ χωρίον τοῦτο ἀνάγκη λειότερον καὶ σκληρότερον γίνεσθαι, καὶ ἧσσον δύνασθαι ἐν γαστρὶ λαμβάνειν. εἰ δὲ μοῦνον ἐν τοῖσιν ἐπ' ἀριστερὰ γένοιτο ἕλκος. ἡ δὲ γυνὴ ἐν γαστρὶ λάβοι, εἴτε τὸ ἕλκος ἔτι ἔχουσα, εἴτε λοιπὸν ἤδη ὑγιὴς ἐοῦσα, ἄρσεν μᾶλλον τεκεῖν αὐτὴν ἐλπίς ἐστιν. εἰ δὲ ἐν τοῖσιν ἐπὶ δεξιὰ τὸ ἕλκος γένοιτο, ἡ δὲ γυνὴ ἐν γαστρὶ ἔχοι, θῆλυ μᾶλλον τὸ ἔκγονον χρὴ δοκέειν ἔσεσθαι. ἢν δὲ πυρετοὶ γίνωνται ἢ δυσχυψίη ἐν γαστρὶ λαβεῖν, καὶ λεπτῆς βραχὸς ἰχώρης, πυνθάνεσθαι χρὴ, μή τι αἱ μῆβαι ἕλκος ἔχουσιν, ἢ ἄλλό τι τῶν πονηρῶν τῶν ἔγραψα. εἰ γὰρ ἐν τῷ χωρίῳ τούτῳ μηδὲν ὑπεὸν κακὸν φαίνοιτο, αἴτιον τῆς λεπτότητός τε καὶ τοῦ μὴ συλλαμβάνειν δύνασθαι αἰμα ὑιέται τὴν γυναῖκα προσδόκιμον· τὰ δὲ καταμήνια τῇ τοιαύτῃ ἠφάνισται ἀνάγκη. ἢν δ' ὁ πυρετὸς κινηθῇ ὑπὸ τῆς ῥήξιος τοῦ αἵματος,

καὶ τὰ

ſiue à partu, ſiue à tuberculo, ſiue ab alia quadam cauſa, his febres & inguinum tumores ſuperuenire neceſſe eſt, & dolores in eiſdem locis. Si verò etiam puerperii purgamenta ſimul intus fuerint relicta, hæc quæ iam ſubſunt mala omnino & vehementiora fiunt & diuturniora: accedúntque hypochondriorum ac capitis dolores.

Vlcere autem facto & perſanato, locum hunc læuiorem ac duriorem fieri neceſſe eſt, & mulierem minùs aptam reddi ad conceptionem. Si verò ſolùm in ſiniſtra parte fuerit vlcus, & mulier vtero conceperit, ſiue dum adhuc habet vlcus, ſiue vbi iam ſana eſt, maſculum magis enixuram eſſe ſpes eſt. Si verò in dextra parte vlcus fuerit, & mulier conceperit, fœmineum magis fore fœtum putandum eſt. At ſi febres corripiant eam quæ concipere non poteſt, & attenuata ſit muliercula, interrogare oportet, an vterus vlcere aliquo occupetur, vel malum aliquod adſit eorum de quibus ſcripſi. Si enim in hoc loco nihil mali ſubeſſe apparuerit, quod cauſa ſit attenuationis, & conceptionem impediat, futurum eſt, vt ſanguinem mulier vomat: huic verò menſes neceſſariò euanuerunt. Quòd ſi febris ſoluta fuerit à ſanguinis eru-

Digitized by Google

καὶ τὰ καταμήνια φανῇ, ἐν γαστρὶ λήψεται. ἢν δὲ τὰ τῆς γαστρὸς περὶ ἢ τὸ αἷμα ἀναρραγῇ, ὑγρὰ γένηται πονηρὸν τρόπον, κίνδυνος ἀπολέσθαι τὴν γυναῖκα ἔμπροσθεν, ἢ τὸ αἷμα ἐμέσαι.

Ὁκόσαι δὲ ἐν γαστρὶ δοκέουσιν ἔχειν, οὐκ ἔχουσαι, καὶ πολλοὺς μῆνας ἐξαπατῶνται, τῶν καταμηνίων οὐ φαινομένων, καὶ τὰς γαστέρας ὁρῶσιν αὐξανομένας τε καὶ κινεομένας· αὗται κεφαλήν τε ἀλγέουσι, καὶ τράχηλον, καὶ ὑποχόνδρια, καὶ ἐν τοῖσι τιτθοῖσι γάλα οὐκ ἐγγίνεται σφίσιν, εἰ μὴ ὀλίγον τι καὶ ὑδαρές. ἐπὴν δὲ τὸ κύρτωμα τὸ τῆς γαστρὸς ἀπολυθῇ, καὶ λαπαραὶ γένωνται, αὗται ἐν γαστρὶ λήψονται, ἢν μή τι ἄλλο κώλυμα γένηται σφίσιν. ἐπεὶ τὸ πάθος γε τοῦτο ἀγαθὸν δεῖ μεταβολὴν ποιῆσαι ἐν τῇ ὑστέρῃ, ὥς τι μετὰ τοῦτον τὸν χρόνον ἐν γαστρὶ λαμβάνειν. τῇσι δὲ ἐχούσῃσιν ἐν γαστρὶ τὰ ἀλγήματα ταῦτα ἐγγίνεται, ἢν μὴ ξυνήθεα ἔωσι, ταύτῃσιν αἱ κεφαλαλγίαι, καὶ γάλα ἐν τοῖσι τιτθοῖσιν ἐγγίνεται.

Τὰς δὲ ὑπὸ τὴν ῥόον τὴν πολυχρονίην ἐχούσας, ἐρωτᾷν, εἰ κεφαλὴν ἀλγέουσι, καὶ ὀσφὺν, καὶ τὸ κάτω τῆς γαστρός. ἐρωτᾷν δὲ καὶ περὶ αἱμωδίας, καὶ ἀμβλυωσμοῦ, καὶ ἤχου. ὁκόσαι δὲ νήστιες ἐοῦσαι, ὑπόχολα ἐμέουσι πολλὰς ἡμέρας, μήτε ἐν γαστρὶ ἐχου-

ptione, & menſes comparuerint, in vtero concipiet. Si verò priuſquam ſanguis erumpat, alui excrementa liquida facta fuerint prauo modo, periculum eſt, ne pereat mulier antè quàm ſanguinem vomat.

Quæcunque vtero ſe concepiſſe putant, cùm non conceperint, & multos menſes falluntur, menſtruis non prouenientibus, & ventrès augeri ac moueri vident: hæ & caput dolent, & collum, & hypochondria; & in mammis lac ipſis non generatur, niſi modicum quiddam idque aquoſum. Poſtquam verò ventris tumor ſubſederit, ac molles factæ fuerint, hæ vtero concipient, ſi non aliud quoddam impedimentum ipſis obſtiterit. Nam hæc affectio conducit ad mutationem in vtero faciendam, quò poſtmodum vtero concipiant. At grauidis dolores hi moleſti non ſunt, niſi fuerint conſueti his capitis dolores, & lac in mammis gignitur.

At verò eas quæ diuturnis fluxionibus vexantur, interrogare oportet, an caput doleant, & lumbos, & infernam ventris partem. Interrogandæ ſunt etiam de dentium ſtupore, oculorum caligine, & aurium ſonitu. Quæcunque autem ieiunæ ſubbilioſa vomunt per multos dies, quum

ἔγκυοι, μήτε πυρεταίνουσι, συνηθέεσθαι ἕλμινθας στρογγύλας ἐξεμέουσιν· ἢν γὰρ μὴ ὁμολογέωσι, προλέγειν αὐτῇσι τοῦτο ἔσεσθαι. γίνεται δὲ μάλιστα μὲν τῇσι γυναιξὶ τὸ νόσημα τοῦτο. ἔπειτα δὲ καὶ παρθένοισι· τοῖσι δ' ἄλλοισιν ἀνθρώποισιν ἧσσον.

Ὅσαι δὲ ἄνευ πυρετῶν ὀδύναι γίνονται, θανάτους μὲν οὐκ ἐξεργάζονται· πολυχρόνιοι δὲ αἱ πλεῖστοι εἰσί, καὶ πολλὰς μεταστάσιας ἔχουσι καὶ ὑποστροφάς.

Οἱ δὲ τρόποι, πρῶτον μὲν τῶν περὶ τὴν κεφαλὴν ἀλγημάτων, τὰ μὲν εὐήθεα, τὰ δὲ χαλεπώτερα πολλῷ. χρὴ δὲ ὑποσκέπτεσθαι ἑκάτερα αὐτῶν ὧδε.

Ὁκόσοι δὲ αὐτῶν ἀμβλυώσσουσι, καὶ ἔρευθός τι ἔχουσιν, ἐπὶ τῶν ὀφθαλμῶν αὐτοῖσι γίνεται καὶ κνησμὸς ἔχει τὸ μέτωπον, τούτοισιν ἀρήγει αἷμα ῥυὲν ἀπὸ τοῦ αὐτομάτου, καὶ ἐξ ἀνάγκης. ἁπλοῦς οὗτος ὁ τρόπος.

Οἷσι δ' ὀδύναι περὶ τὴν κεφαλὴν, καὶ τὸ μέτωπον ἔκ τε τῶν ἀνέμων τῶν μεγάλων γίνονται, καὶ ἐκ τῶν ψυχέων, ὅταν θαλφθῶσιν ἰσχυρῶς, τούτους δὲ κόρυζαι μὲν τηθείως μάλιστα ἀπαλλάσσουσιν· ὠφελέουσί τε καὶ πταρμοί, καὶ βλένναι ἐν τῇσι ῥισὶ γενόμεναι, μᾶλλον μὲν ἀπὸ τοῦ αὐτομάτου· εἰ δὲ μὴ, ἐξ ἀνάγκης. κόρυζαι γίνονται τηθείως, ὥστε καὶ βῆχας ἐπιγίνεσθαι· οἵ τε πταρμοὶ ἐπι-

γίνο-

quum neque vterum geſtent, neque febricitent, ex iis ſciſcitandum eſt num lumbricos rotundos ſimul vomant. Si enim hoc non affirmarint, prædicendum eſt id ipſis euenturum eſſe. Fit autem hic morbus maximè quidem mulieribus, deinde verò etiam virginibus: ſed cæteris hominibus minùs. Quibuſcunque verò ſine febribus dolores fiunt, mortem quidem non inducunt: ſed plerique diuturni & multis tranſmutationibus ac recidiuis obnoxij ſunt.

Genera porrò primùm quidem capitis dolorum hæc ſunt: Ex his aliqui ſunt leues, aliqui multo grauiores. Vtroſque verò ita conſiderare oportet.

Quicunque hebetem viſum habent, & rubor quidam ipſis fit in oculis, & pruritus frontem vexat, his ſanguis opitulatur, & ſua ſponte manans & coactè. Atque hoc genus ſimplex eſt.

Quibus verò dolores circa caput & frontem ex magnis ventis fiunt & ex frigoribus, cùm vehementer incaluerint, eos grauedines quidem maximè perfectè liberant: ſed proſunt & ſternutamenta, & qui muci in naribus fiunt, magis quidem ſua ſponte: ſin minùs, coactè. Grauedines autem fiunt perfectè, adeò vt & tuſſes ſuccedant: & ſternutamenta oborta, ſi dolo-

γινόμενα τὰς ὀδύνας ἢν μὴ παύσωσι, φύματα ἀνάγκη ἐπιγίνεσθαι καὶ ἀχροίας τίκτειν.

Ὁκόσοισι δὲ ὀδύναι αὗται προφασίων τε γίνονται, καὶ πολυχρόνιοι, καὶ ἐν πάσῃ τῇ κεφαλῇ, ἰσχνοῖσί τε ἐοῦσι καὶ ἀμβλυώσσουσι, προσορᾶσθαι τοῖσι τοιούτοισι τὸ νόσημα πολλῷ χαλεπώτερον τοῦ πρόσθεν. ἢν δὲ καὶ ἐς τὸν ῥαχιλόν τε καὶ ἐς τὸ νῶτον ἡ ὀδύνη καταβαίνῃ τὴν κεφαλὴν ἀπολιποῦσα, καὶ αὖθις παλινδρομέῃ εἰς τὴν κεφαλήν, καὶ ἔτι χαλεπώτερον γίνεται. τούτων δὲ πάντων δεινότατον, εἰ ξυντείνει ἐκ τῆς κεφαλῆς ἐς τὸν ῥάχιλόν τε καὶ τὸ νῶτον. τὰς δὲ ὠφελείας τελίοισι προσδέχεσθαι ἐξ ἀποστασίων ἔσεσθαι· ἢ πύον βήξωσιν, ἢ αἱμορροΐδας ἔχωσιν, ἢ ἐξανθήματα ἐν τοῖσι σώμασι. λυσιτελέει δὲ καὶ πιτυρωθεῖσα ἡ κεφαλή.

Νάρκαι δὲ καὶ κνιδώσιες οἷσι διὰ τῆς κεφαλῆς διαΐσσουσι, τοτὲ μὲν διὰ πάσης, τοτὲ δὲ διὰ μέρεός τινος· πολλάκις δὲ καὶ ψυχρόν τι δοκέει αὐτέοισιν διαχωρέειν διὰ τῆς κεφαλῆς· τούτους ἐπανείρεσθαι, εἰ καὶ ἐς τὴν γλῶσσαν ἄκρην ἀφικνεῖται ἡ κνίδωσις. εἰ γὰρ τοῦτο ποιέοι, τέλεον τὸ νόσημα γίνεται, καὶ χαλεπώτερον ἀπαλλάξαι· εὐπετὲς δὲ αὗται τούτου. εἰ δὲ τρόποι τῶν ὠφελειῶν ἐξ ἀποστασίων οἷσπερ

προ-

ſi dolores non ſedauerint, neceſſe eſt tubercula & colores malos his accedere.

Quibus autem dolores ſine manifeſtis cauſis oriuntur, ac diu durant, totúmque caput occupant, corpore tenui & debili, præſagire oportet his morbum priori multo grauiorem futurum. ſi verò etiam in ceruicem & in dorſum dolor deſcendat, capite relicto, rurſúſque in caput reuertatur, adhuc grauior fit. Verùm omnium horum grauiſſimus eſt, ſi à capite in ceruicem ac dorſum contendat. Auxilia verò his ab abſceſſibus expectanda ſunt: aut vbi pus extuſſierint, aut hæmorrhoides fluxerint, aut puſtulæ toto corpore ortæ fuerint. ſed & multa porrigo in capite iuuat.

Torpores & prurigines quibus per caput diſcurrunt, modò per totum, modò per aliquam partem: ſæpè verò & frigoris alicuius ſenſus ipſis per caput peruagari videtur: hos interrogate oportet, an ad ſummam quoque linguam prurigo perueniat. Si enim id contigerit, perfectus morbus fit, & difficilior curatu: abſque hoc alioqui facilè ſanatur. Auxilia autem poſita ſunt in abſceſſibus, de

b quibus

ἀπερρήγνυνται. ὅσον μὲν τοι ἐπιγίνονται ἀποστάσιες ὅπη τούτοισιν ἢ ἐκείνοισιν.

Ὁκόσοισι δὲ ξὺν τῇσιν ὀδύνῃσιν σκοτόδινοι λαμβάνουσι, δυσαπάλλακτον καὶ μανικόν. γίνεται δὲ ὁ τρόπος οὗτος μάλιστα γίνεται. αἱ δὲ ἄλλαι νοῦσοι αἱ ἀμφὶ κεφαλὴν ἀνδράσι τε καὶ γυναιξὶν ἀσφαλέως ἰσχυρόταται, καὶ πολυχρονιώτεραι. γίνονται δὲ καὶ παιδίοισί τε καὶ παρθένοισι τῇσιν ἐν ἡλικίῃ, καὶ μάλιστα τῶν καταμηνίων ἐς τὴν περίοδον. τῇσι δὲ γυναιξὶν ἐν τῇσι κεφαλαλγίῃσι τὰ μὲν ἄλλα παραπλήσια γίνεται, ἃ καὶ τοῖσιν ἀνδράσιν. αἱ κνιδώσιες δὲ καὶ τὰ μηδαμῶς ἐοικότα, ταύτῃσιν ἧσσον, ἢ τοῖσιν ἀνδράσιν, ἢν μὴ τὰ καταμήνια ἐκ τῆς ἰθείης ἐκδιεστραμμένα ᾖ.

Οἷσι δὲ τὰ χρώματα ἰκτερώδεα ἐστι παρὰ φύσιν ἐπὶ πολλὸν χρόνον, ξυνεχέως δὲ, μὴ ἰκτεριώδεα τρόπον, ὅτι καὶ τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν κεφαλὴν ἀλγέουσι, καὶ λίθους τε καὶ γῆν τρώγουσι, καὶ αἱμοῤῥοΐδας ἔχουσι.

Τὰ δὲ χλωρὰ χρώματα ὅσα χρόνιά εἰσι, καὶ μὴ ἰκτεριώδεά εἰσι, τὰ μὲν ἄλλα τὰ αὐτὰ ποιέειν οὕτω ξυμβαίνει· αἰτίη δὲ τῶν λίθων τούτοις καὶ τῆς γῆς βρώσιος τὰ ὑποχόνδρια λυπέει μᾶλλον ἢ τοῖς ἑτέροις.

Ὁκόσοι δὲ πολλὸν χρόνον ἄχροοι φαίνονται, καὶ τὰ πρόσωπα ἐπηρμένα ἔχοντες, εἰδέναι χρὴ τούτους τὴν κεφαλὴν ὀδυνωμένους

ἢ τὰ

quibus antè ſcriptum eſt. Attamen abſceſſus minùs ſæpe ſub his atque ſub illis malis ſubſequuntur.

Quoſcunque verò vnà cum doloribus vertigines corripiunt, malum ægrè exolubile ac furioſum exiſtit. ſenibus autem maximè hoc genus morbi familiare eſt. At alij morbi capitis viris & mulieribus, cum ſecuritate vehementiſſimi ſunt & longiores. fiunt autem & adoleſcentibus, & virginibus in pubertatis ætate, & maximè circa menſium progreſſum. Mulieribus verò in capitis doloribus alia quidem omnia, quæ & viris, accidunt: ſed prurigines & atræ bilis morbi minùs his frequentes ſunt quàm viris, niſi menſtrua penitus defecerint.

Quibus in iuuenta colores mali ſunt diu & continenter, ſine morbo regio: hi, tam viri quàm feminæ, capitis doloribus conflictantur, lapidéſque ac terram edunt, & hæmorrhoidas habent.

Pallidi verò colores qui diuturni ſunt, & morbus regius vehemens non eſt, eadem quidem omnia mala quæ prioribus, inducere ſolent, verùm pro lapidum ac terræ eſu hos hypochondria affligunt magis quàm alteros.

Quicunque verò ad multum tempus pallidi apparent, & faciem tumidam habent; hos capitis dolore infeſtari, aut viſceri-

ἢ περὶ τὰ σπλάγχνα ἀλγήματα ἔχοντας, ἢ ἐν τῇ ἕδρῃ κακόν τι ἐν ἑωυτοῖσι: τοῖσι δὲ πλείστοισι τῶν τοιούτων φαινομένων. οὐχ ἕν τι τούτων τῶν κακῶν φαίνεται, ἀλλ' ἔστιν ὅτε πολλά, ἢ καὶ πάντα.

Οἱ δὲ τῇ νυκτὶ ὁρῶντες, οὓς δὴ νυκτάλωπας καλέομεν, οὗτοι ἁλίσκονται ὑπὸ τοῦ νοσήματος νέοι ἢ παῖδες, ἢ καὶ νεανίσκοι· καὶ ἀπαλλάσσονται ὑπὸ τοῦ αὐτομάτου, οἱ μὲν τεσσαρακονθήμεροι, οἱ δὲ ἑπτάμηνοι· τινὲς δὲ καὶ ἐς ἐνιαυτὸν ὅλον παρέμειναν. σημαίνεσθαι χρὴ περὶ τοῦ χρόνου, ἔς τε τὴν ἰσχὺν τοῦ νοσήματος ὁρῶντα, ἔς τε τὴν ἡλικίην τοῦ νοσέοντος. αἱ δὲ ἀποστάσιες ὠφελέουσι μὲν τούτους ἐπιφαινόμεναι, αἵ τε καὶ ἐς τὰ κάτω ῥεόμεναι, ἐπιγίνονται δὲ οὐ κάρτα διὰ τὴν νεότητα. αἱ δὲ γυναῖκες οὐχ ἁλίσκονται ὑπὸ τοῦ νοσήματος τούτου, οὐδὲ παρθένοι, ᾗσι τὰ ἐπιμήνια φαίνονται. οἵ τε δὲ ῥεύματα δακρύων πολυχρόνια, ἢ νυκτάλωπες γίνονται, τούτους ἐπιδιορθοῦν, ἢν τὴν κεφαλήν τι περιηλγηκότες ἔωσι, περὶ τῶν ἀποκηρυγμάτων τῶν ἴσων.

Ὁκόσοι δὲ μήτε πυρετήναντες, μήτε ἄχροοι ἐόντες, ἀλγέουσι πολλάκις τὴν τε κορυφὴν καὶ τοὺς κροτάφους, ἢν μὴ τι ἄλλο φανερὴν ἔχωσιν ἀπόστασιν ἐν τῷ προσώπῳ, ἢ βαρὺ φθέγγονται, ἢ ὀδόντας ἀλγέουσι, τούτοισιν αἷμα ῥαγῆναι διὰ τῶν ῥινῶν

προσ-

ſceribus laborare, aut in ſede vitium aliquod intus concepiſſe ſciendum eſt. Plurimis autem eorum qui tales apparent, non vnum aliquid horum malorum oritur, ſed aliquando multa, aut etiam omnia.

Qui noctu vident, quos ſanè luſcioſos vocamus, hi eo morbo corripiuntur iuuenes, aut pueri, aut etiam adoleſcentes: & liberantur ſua ſponte, aliqui quadraginta diebus, aliqui ſeptimo menſe: quibuſdam verò & per totum annum permanſit. Quapropter de tempore coniectare oportet, ita vt & ad morbi robur, & ad ægri ætatem reſpicias. Abſceſſus autem his proſunt oborti, & ad infernas partes fluentes. Verùm hi non admodum exurgunt ob iuuentutem. At mulieres non corripiuntur hoc morbo, neque virgines, quibus menſtrua fluunt. Quibus autem lacrymarum fluxiones diuturnæ fuerint, & luſcioſi fiunt, hos interrogare oportet, an caput doluerint antea quàm hæc reuelarunt.

Quicunque dum neque febricitant, neque decolores ſunt, ſæpe & verticem & tempora dolent, niſi alium manifeſtum habuerint abſceſſum in facie, aut grauiter loquantur, aut dentes doleant, his ſanguinis è naribus èruptio expectanda eſt.

προσδέχεσθαι. οἷσι δὲ ἐκ τῶν ῥινῶν αἷμα ῥεῖ, δοκέουσιν οὐδ' ὑγιαίνειν τἄλλα· τούτους δὲ ἢ σπλῆνα ἀῤῥώστως ἐπηρμένον ἔχοντας, ἢ τὴν κεφαλὴν ἀλγέοντάς τι καὶ μαρμαρυγώδεά τι πρὸ τῶν ὀφθαλμῶν φαινόμενον σφίσι. τοῖσι δὲ πλείστοισι τῶν τοιούτων ἅμα καὶ τὰ ἀπὸ τῆς κεφαλῆς οὕτως ἔχοντα φαίνεται, καὶ τὰ ἀπὸ τοῦ σπληνός.

Οὖλα δὲ πονηρὰ καὶ στόματα δυσώδεα, οἷσι σπλῆνες μεγάλοι. ὁκόσοι δὲ ἔχουσι σπλῆνας μεγάλους, μήτε αἱμοῤῥαγίαι γίνονται, μήτε στόμα δυσῶδες, τούτων αἱ κνῆμαι ἕλκεα πονηρὰ ἴσχουσι, καὶ οὐλὰς μελαίνας. ἣν δ' ἄλλην φαύλην ἔχωσιν ἀπόφασιν ἐν τῷ προσώπῳ, ἢ βαρὺ φθέγγωνται, ἢ ὀδόντας ἀλγέωσι, τουτέοισιν αἱμοῤῥαγίην διὰ ῥινῶν προσδέχεσθαι. οἷσι δὲ τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς ἐπαίρεται ἰσχυρῶς, τούτους σπλῆνας μεγάλους ἀῤῥώστως ἔχοντας. εἰ δὲ καὶ ἐν τοῖσι ποσὶν οἰδήματα προσγίνονται, καὶ ὕδρωπα φανήσονται ἔχοντες· ἀλλὰ καὶ τὴν γαστέρα καὶ τὴν ὀσφὺν ἐπισκεπτέειν.

Τὰ δὲ ἐν τοῖσι προσώποισι παρεστρίμματα, ἣν μηδενὶ ἄλλῳ τοῦ σώματος ἐπικοινωνέῃ, ταχέως παύεται, καὶ αὐτόματα καὶ πρὸς ἀνάγκας. οἱ δ' ἄλλοι ἀποπληκτικοὶ εἰσι, τῷ μὴ δυνάσθαι κινέειν, λεπτύνονται

τὸ ἰσχ

Quibus verò ex naribus ſanguis fluit, hi alioqui ſani eſſe videntur: his attamen vel ſplenem tumere comperies, vel caput dolere, & ſplendicans quiddam ipſis ob oculos obuerſari. Pleriſque verò horum ſimul & caput & ſplen hoc modo ſe habere apparet.

Gingiuæ verò vitiatæ, & ora graueolentia his ſunt, quibus ſplenes magni. Qui verò habent ſplenes magnos, nec ſanguis prorumpit, nec os illis olet, horum tibiæ praua vlcera obtinent & cicatrices nigras. Sin alium patentem habeant abſceſſum in facie, aut graue loquantur, aut dentibus doleant, iis ſanguinis eruptio per nares expectanda. At quibus partes ſub oculis valdè attolluntur, iis magnos lienes eſſe comperies. Sin & in pedibus tumores oboriuntur, aqua etiam repleti videbuntur. Verùm venter & lumbi præterea inſpiciendi ſunt.

Diſtentiones verò in facie, nulli alij corporis parti communes, citò ſedantur, aut ſua ſponte, aut vi remediorum. At reliqui attoniti, quibus præter motus impotentiam attenuatur morbida pars

τὸ νενοσηκὸς τοῦ σώματος ἤτοι ἀδυνατεῖ εἰς τωὐτὸ καθίστασθαι· οἷσι δὲ ξυμπλέξιες μὴ ἐπιγίνονται, ἤτοι δὴ ἔσονται ὑγιέες. περὶ δὲ τοῦ χρόνου ὁπότε ἔσονται, προλέγειν ἔς τε τὴν ἰσχὺν τοῦ νοσήματος ὁρέοντα, καὶ ἐς τὸν χρόνον, καὶ ἐς τὴν ἡλικίην τοῦ ἀνθρώπου, καὶ ἐς τὴν ὥρην, εἰδὼς ὅτι τὰ παλαιότατα τῶν νοσημάτων, καὶ τὰ κάκιστα, καὶ κυλινδεύμενα, βαρύτατα ὑπακούει, καὶ τὰ ἐν τοῖσι γεγηρακόσι τῶν σωμάτων. ἔστι δὲ καὶ τὸ φθινόπωρόν τε καὶ ὁ χειμὼν τοῦ ἦρός τε καὶ τοῦ θέρεος αἰτιώτερα εἰσὶ πρὸς ταῦτα τὰ νοσήματα ἀφιέναι.

Αἱ δὲ ἐν τοῖσιν ὤμοισι γινόμεναι ὀδύναι, ὁκόσαι μὲν ἐς τὰς χεῖρας ἐπικαταβαίνουσαι, νάρκας τε καὶ ὀδύνας παρέχουσι, ταύτῃσιν ἀποστάσιες μὲν οὐκ ἐπιγίνονται· ὑγιάζονται δὲ, μελαίνας χολὰς ἐμέοντες. ὁκόσαι δὲ αὐτοῦ μένουσιν ἐν τοῖσιν ὤμοισιν, ἢ καὶ ἐς τὸ νῶτον ἀφικνέονται, ταύτας λύειν ἐμίαξ τις ἐκφυσήσασιν, ἢ μέλαιναν χολήν. καταμαθάνειν δὲ περὶ τουλέων ὧδε· ἣν μὲν γὰρ δύσπνοοι ἔωσι καὶ ἰσχνοί, μέλαιναν χολὴν αὐτοὺς μᾶλλον ἐλπὶς ἐμέσαι. εἰ δ' αὖ δυσπνοώτεροι, καὶ ἐπὶ τοῦ προσώπου ἐπιξίχει τι αὐτοῖσι χρῶμα, ὃ πρόσθεν οὐκ ἐπεγίνετο, ὑπέρυθρον, ἢ ἔτι μέλαν, τούτους πύον ἐλπὶς μᾶλλον πτύσαι. σκέπτεσθαι δὲ πρὸς τοῖσι.

καὶ

corporis, ij ſuæ naturæ reſtitui nequeunt: ſed quibus extenuationes non accedunt, hi certè ſani euadent. Cæterùm de tempore ſanitatis prædicendum eſt, reſpectu habito ad vim morbi, ad tempus, ad ætatem hominis, & ad anni tempus, ita vt eius rei memor ſis, quòd vetuſtiſſimi morbi, & peſſimi, & qui reuoluuntur, grauiſſimè morem gerunt, itémque hi qui ſunt in quàm maximè ſenilibus corporibus. Sed & autumnus & hyems ad tales morbos ſubmouendos minùs opportuni ſunt quàm ver & æſtas.

Dolores porrò in humeris orientes, qui ad manus deſcendunt, torporéſque ac dolores inducunt, his quidem abſceſſus non ſuccedunt, verùm nigram bilem vomentes ſanantur. Qui verò iſthic in humeris manent, aut etiam ad dorſum perueniunt, eos puris aut atræ bilis vomitu effugiunt. Verùm de his hæc obſeruatio tenenda eſt. Si enim facilè ſpirauerint ac graciles fuerint, atram bilem potius ipſos vomituros eſſe ſpes eſt. Si verò difficiliùs ſpirauerint, & in faciem ipſis color incurrit qui priùs non inerat, ſiue rubicundus, ſiue niger, eos magis pus excreaturos eſſe ſperandum eſt. Ad hæc verò conſiderandum eſt etiam, an in pedibus

καὶ εἰ ἐν τοῖσι ποσὶν οἰδήματα ἔνεστι· καὶ γὰρ τοῦτο τὸ σημεῖον τὴν πτίσιν ὁμολογέει εἶναι. τὸ δὲ νόσημα τοῦτο τοῖσιν ἀνδράσι προσγίνεται ἰσχυρότατον, τοῖσιν ἀπὸ τεσσαράκοντα ἐτέων ἐς τὰ ἑξήκοντα. τὴν ἡλικίην δὲ ταύτην μάλιστα ἰσχιάδες βιάζονται.

Σκέπτεσθαι δὲ δεῖ ὧδε περὶ ἰσχιάδων. ὁκόσοις γὰρ τῶν γεραιτέρων αἵ τε νάρκαι ἰσχυρόταται γίνονται καὶ καταψύξιες τῆς ὀσφύος τε καὶ τῶν σκελέων, καὶ τὸ αἰδοῖον ἐπαίρειν ἀδυνατέουσι, καὶ ἡ γαστὴρ οὐ διαχωρέει, εἰ μὴ πρὸς ἀνάγκην, καὶ κατὰ ῥῖνας μύξα πολλὴ διεξέρχεται, τουτέοισι χρονιώτατον τὸ νόσημα ἔσται· καὶ προλέγειν ἐνιαυτὸν τὸ ἐλάχιστον, ἀφ' οὗ χρόνου ἤρξατο τὸ νόσημα γίνεσθαι· καὶ τὰς ὠφελείας ἐς τὸ ἔαρ τε καὶ τὸ θέρος προσδέχεσθαι. τοῖσι δὲ νεωτέροισιν, ἐπώδυνοι μὲν οὐχ ἧσσον αἱ ἰσχιάδες, βραχύτεραι δέ· καὶ γὰρ τεσσαρακονθημέροισιν ἀπαλλάσσονται. ἀλλ' οὔτε αἱ νάρκαι ἐπιγίνονται ἰσχυραί, οὔτε αἱ καταψύξιες τῶν σκελέων τε καὶ τῆς ὀσφύος. οἷσι δὲ τὸ νόσημα τοῦτο ἐστὶ μὲν ἐν τῇ ὀσφύϊ καὶ τῷ σκέλει, βιάζεται δὲ οὐχ οὕτως ὥστε κατακέεσθαι, ξυστρέμματα σκέπτεσθαι μὲν ἢν ἔχῃ ἐν τῷ ἰσχίῳ, καὶ ἐπανέρεσθαι, εἰ εἰς τὸν βουβῶνα ἡ ὀδύνη ἀφικνέεται. ἢν γὰρ ταῦτ' ἔχῃ ἄμφω, χρόνιον τὸ νόσημα γίνεται. ἐπανέρεσθαι δὲ καὶ εἰ ἐν

τῷ μη-

dibus tumores ſint: nam hoc ſignum his conſentit. Atque hic morbus viris vehementiſſimus eſſe ſolet, à quadrageſimo anno vſque ad ſexageſimum. Hanc ætatem quoque coxæ dolores maximè infeſtant.

Porrò de coxendicum doloribus hæc conſideratio inſtituenda eſt. Quibuſcunque ſenioribus torpores vehementiſſimi ſunt, frigeſcúntque tum lumbi, tum crura, pudendumque arrigi nequit, & aluus niſi coacta non reddit, fæculentuſque ac multus mucus excernitur, his morbus erit longiſſimus: prædicendúmque eſt annum vt minimum duraturum morbum ab eo tempore quo fieri cœpit, & opem non niſi vere & æſtate expectandam eſſe. At verò iuuenibus non quidem minus doloris inducit coxendicum morbus, verùm breuior eſt: nam quadrageſimo die liberantur. Sed neque torpores vehementes accedunt, neque admodum frigent crura & lumbi. At quibus hic morbus eſt in lumbis ac cruribus, neque tamen affligit adeò vt decumbant, conſiderare oportet, an alicubi ſint tumores in coxa, & interrogare, an ad inguen dolor progrediatur. Si enim ambo hæc affuerint, morbus protrahitur. Interrogandum etiam eſt, an in femore torpo-

τοῦ μηροῦ νάρκαι ἐγγίνονται, καὶ ἐς τὴν ἰγνύην ἀφικνοῦνται· καὶ ἣν φῇ, αὖθις ἐρεῖσθαι, καὶ ἣν διὰ τῆς κνήμης ἐπὶ τὸν ταρσὸν τοῦ ποδός. ὁκόσοι δ' αὖ τουτέων τὰ πλεῖστα ὁμολογέουσιν, εἰπεῖν αὐτοῖσιν, ὅτι τὸ σκέλος σφιν, τοτὲ μὲν θερμὸν γίνεται, τοτὲ δὲ ψυχρόν. ἡ δὲ νοῦσος αὕτη ὁκόσοισι μὲν ἀπὸ τῆς ὀσφύος ἐκλείπουσα ἐς τὰ κάτω ῥέπεται, θαρσεῖν. ὁκόσοισι δὲ τά τε ἰσχία καὶ τὴν ὀσφὺν μὴ ἐκλείπουσα εἰς τὰ ἄνω τρέπεται, προλέγειν δεινὰ εἶναι· οἷσι δὲ περὶ τὰ ἄρθρα ὀδύναι γίνονται καὶ ἐπαίρεται, καὶ καταπαύονται, οὐκ ἐν τῷ ποδαγρικῷ τρόπῳ διεφθαρμένα τά τε σπλάγχνα μεγάλα, καὶ ἐν τῷ ἥπατι λάχνην ὑπέστασιν καὶ τὸν κρόταφον ἢν ἐπαίρῃ, φάσι πολλάκις ἀλγέειν. φάσι δὲ καὶ ἱδρῶτας αὐτοῖσι γίνεσθαι νυκτερινούς. ἢν δὲ μήτε ὑπὸ τοῦ οὔρου ὑφίσταται ἡ ὑπόστασις αὕτη, μήτε οἱ ἱδρῶτες γίνονται, κίνδυνος ἢ χωλωθῆναι τὰ ἄρθρα, ἢ ὃ δὴ μελικηρίδα καλέουσι γίνεσθαι ὑπ' αὐτοῖσι. γίνεται δὲ τὸ νόσημα τοῦτο, οἷσιν ἐν τῇ παιδείῃ τε καὶ νεότητι ξυνήθεες ἦν αἷμα ῥεῖν ἐκ τῶν ῥινῶν, εἶτα αὐτοὶ ἐπαύσαντο, οὐ παρὰ τὸ τοῦ αἵματος ῥάξιος, εἰ ἐγίνετο ἐν τῇ νεότητι· καὶ αἱ κνιδώσιες ἐντὸς τοῦ στήθεος καὶ τοῦ μεταφρένου, αἳ ἔχουσι. καὶ ὁκόσοισιν αἱ κοιλίαι ἰσχυρὰς ὀδύνας παρέχουσιν αὐτοῖσιν ἐν ταρα-

ξίαν,

torpores inſint, & ad poplitem progrediantur: & ſi hoc fateatur, rurſus rogandum, an & per tibiam ad ſummum pedem tendant. Qui enim pleraque horum confeſſi fuerint, his dicendum crura nunc calida nunc frigida fore. Quibuſcumque verò hic morbus in lumbis euaneſcens, deorſum vertitur, eos confidentes eſſe iube. At quibus coxis ac lumbis non relictis, ſurſum procedit, id graue fore prædicito. Quibus autem circa articulos dolores ac tumores oriuntur, ac deſinunt, non more podagrico, in his comperies viſcera magna, & in vrina id quod deſidet, album. Et talis ſi tempora eleuauerit, dicet ſe ſæpe dolere, dicet etiam ſudores ſibi nocturnos oboriri. Si verò neque in vrina ſubſidet eiuſmodi ſedimen, nec ei ſudores oriuntur, periculum eſt ne aut debilitentur articuli, aut abſceſſus quem fauum non inant, ſub ipſis naſcatur. Fit autem hic morbus iis quibus in pueritia & iuuentute ſanguis è naribus fluere ſolitus deſiit. Proinde interrogandum eſt de ſanguinis eruptione, an in iuuentute facta fuerit: & an prurigines in pectore & in dorſo inſint. Fit & iis quibus aluus ingentes dolores excitat citra exturbationes, & quibus

ξίων, καὶ ὀκόσοισιν αἱμοῤῥοΐδες γίνονται· αὕτη γὰρ ἡ ἀρχὴ τῶν νοσημάτων τούτων. ἢν δὲ κακόχροοί οἱ ἄνθρωποι ἦσι φαίνωνται, ἐπανίστασθαι καὶ κεφαλὴν εἰ ἀλγέωνται· φύσουσι ἀρ'. τούτων δὲ ὀκόσοισιν αἱ κοιλίαι ἐπώδυνοι ἔντε τοῖς δεξιοῖς εἶεν, τὰ ἀλγήματα ἰσχυρότερα γίνεται· καὶ μάλιστα ἔσται περὶ τὸ ὑποχόνδριον κατὰ τὸ ἧπαρ τὸ ὑπόλειμμα τῆς ὀδύνας ἦ. ὠφελεῖ δὲ ταύτας τὰς ὀδύνας τὸ παραυτίκα ψόφος ἐν τῇ γαστρὶ γινόμενος. ὀκόταν δὲ ἡ ὀδύνη παύσηται, τὸ οὖρον παχὺ καὶ χλωρὸν οὐρέουσιν. ἔστι δὲ θανατώδης μὲν οὐδαμῶς ὁ πόνος οὗτος, χρόνιος δὲ κάρτα. ὀκόταν δὲ παλαιὸν ἤδη ᾖ τὸ νόσημα, ἀμβλυώσσουσιν οἱ ἄνθρωποι ὑπ' αὐτοῦ. ἀλλ' ἐπανερέσθαι περὶ τοῦ αἵματος, εἰ νέῳ ἐόντι ἐῤῥύη, καὶ περὶ τοῦ ἀμβλυωσμοῦ, καὶ περὶ τοῦ οὔρου τῆς καιάσιος χλωρότητος, καὶ ἀμφὶ τὸν ψόφον εἰ ἐγγίνονταί τι καὶ ὠφελέουσιν ἐπιγινόμενοι. φύσουσι γὰρ πάντα ταῦτα.

Λειχῆνες δὲ καὶ λέπραι, καὶ λεῦκαι, οἷσι μὲν νέοισιν ἢ παισὶν ἐοῦσιν, ἐγένετό τι τούτων, ἢ κατὰ μικρὸν φανὲν, αὔξεται ἐν πολλῷ χρόνῳ, τούτοισι μὲν οὐ χρὴ ἀπόστασιν νομίζειν τὸ ἐξάνθημα. ἀλλὰ νόσημα· οἷσι δὲ ἐγένετο τούτων τι πολύ τι καὶ ἐξαπίνης, τοῦτο ἂν εἴη ἀπόστασις. γίνονται δὲ, λεῦκαι μὲν ἐκ τῶν θανατωδεστάτων νοσημάτων,

οἷον καὶ

hæmorrhoïdes fiunt: id enim horum morborum principium eſt. Si verò malo colore ſint homines, interrogandi ſunt an capitis dolore conflictentur: hoc enim fatebuntur. Quibus verò ex his alui dolores in dextris fuerint, dolores his acriores fiunt, & præſertim quum in hypochondrio iuxta hepar reliquiæ doloris ſubſtiterint. His autem doloribus prodeſt ſonus ſtatim in aluo obortus. Poſtquam autem dolor quieuerit, vrinam craſſam àc viridem meiunt. Atque hoc morbi genus letale non eſt, verùm valdè diuturnum. Quum autem iam vetuſtus fuerit morbus, homines ex ipſo cæcutiunt. At de ſanguine interrogare oportet, an in iuuentute fluxerit, & de viſus hebetudine, & de vrinæ redditæ virore, & de ſtrepitibus an inſint & oborti proſint. hæc enim omnia fatebuntur,

Impetigines & lepræ, & vitiligines albæ, quibus iuuenibus aut pueris aliquid horum ortum eſt, aut paulatim apparens interpoſito tempore augeſcit: non putare oportet abſceſſum his eſſe eam papularum eruptionem, ſed morbum. Quibus verò horum quid obortum eſt magna copia & ſubitò, hoc ſanè fuerit abſceſſus. Fiunt autem leucæ quidem ex letaliſſi-

ἐστὶ καὶ ἡ νοῦσος ἡ φθινικὴ καλεομένη· αἱ δὲ λέπραι καὶ οἱ λειχῆνες, ἐκ τῶν μελαγχολικῶν. ἰῆσθαι δὲ τουτέων ἁπλούστεραί ἐστιν, ὅσαι νεωτάτοισί τε γίνονται, καὶ νεώτατά ἐστι, καὶ τοῦ σώματος ἐν τοῖσι μαλθακωτάτοισι, καὶ σαρκωδεστάτοισι φύονται.

Προῤῥητικῶν τέλος.

mis morbis, qualis eſt & morbus tabidus appellatus: lepræ verò, & impetigines, ex morbis ab atra bile. Ex his autem facilius ſanantur ea quæ in maximè iuuenibus fiunt, & quæ recentiſſima ſunt, & in molliſſimis ac carnoſiſſimis corporis partibus naſcuntur.

Finis Prorrheticorum.

Digitized by Google

HIPPOCRATIS
COI
PRÆCEPTIONES,

Græcè, & Latinè,

ex interpretatione

IOHANNIS HEVRNII

Vltraiectini.

Digitized by Google

ἹΠΠΟΚΡΆΤΟΥΣ
ΚΩ͂ΟΥ
ΠΑΡΑΓΓΕΛΊΑΙ.

Χρόνος ἐστὶν, ἐν ᾧ καιρὸς· καὶ καιρὸς, ἐν ᾧ χρόνος οὐ πολύς. Ἄκεσις χρόνῳ· ἔστι δὲ ἡνίκα καὶ καιρῷ. Δεῖ γε μὴν ταῦτα εἰδότα, μὴ λογισμῷ πρότερον πιθανῷ προσέχοντα ἰητρεύειν, ἀλλὰ τριβῇ μετὰ λόγου. Ὁ γὰρ λογισμὸς μνήμη τίς ἐστι ξυνθετικὴ τῶν μετ' αἰσθήσιος ληφθέντων. Ἐφαντασιώθη γὰρ ἐναργέως ἡ τε αἴσθησις προπαθὴς καὶ ἀναπομπὸς ἐοῦσα εἰς διάνοιαν τῶν ὑποκειμένων. Ἡ δὲ παραδεξαμένη πολλάκις, οἷς ὅτε, καὶ ὁκοίως, ταῦτα τηρήσασα, καὶ ἐς ἑωυτὴν καταθεμένη, ἐμνημόνευσε.

Συγκαταινέω μὲν οὖν καὶ τὸν λογισμὸν, ἤνπερ ἐκ περιπτώσιος ποιῆται τὴν ἀρχὴν, καὶ τὴν καταφορὴν ἐκ τῶν φαινομένων μεθοδεύῃ. Εἰ γὰρ τῶν ἐναργέως ἐπιτελεομένων τὴν ἀρχὴν ποιήσηται ὁ λογισμὸς, ἐν διανοίης δυνάμει ὑπάρχων εὑρίσκεται, παραδεχομένης αὐτῆς ἕκαστα παρ' ἄλλων.

HIPPOCRATIS
COI
PRÆCEPTIONES.

TEmpus eſt in quo occaſio eſt: occaſio verò in qua tempus paucum. Medela tempore, nonnunquam etiam occaſione euenit. Decet itaque eum, qui hæc perſpecta habet, non magis ratiocinationi probabili inniti in medendo, quàm vſui rationi iuncto. Ratiocinatio enim memoria quædam eſt, componens ea quæ ſenſu ſunt percepta. Hic enim ſenſus ab Imaginatione euidenter comprehenditur, cùm primam perpeſſionem externam ſuſtineat, vt deinde, veluti delegator, ſpecies rerum, quæ ſenſui ſubiiciuntur, ad intellectum tranſmittat. Hic verò cùm illa ſæpiùs ſuſcipiat ab imaginatione, quibus, quando, qualiter, eademque obſeruans, & in ſeipſam recondens, meminit.

Collaudo equidem Ratiocinationem, ſi quidem ex ſenſui expoſita hiſtoria principium ducat, & deductionem ex apparentibus methodo quadam abſoluat. Si enim ex his, quæ palàm perficiuntur, ratiocinatio initium duxerit, in cogitationis poteſtate ineſſe deprehendetur, ab ipſis ſenſibus ſingula mutuantis. Proinde ita-

ἄλλων. ὑποληπτέον οὖν τὴν φύσιν ὑπὸ τῶν πολλῶν καὶ παντοίων πρηγμάτων κινηθῆναί τε καὶ διδαχθῆναι, βίης ὑπεούσης. Ἡ δὲ διάνοια παρ' αὐτῆς λαβοῦσα ὡς προεῖπον, ὕστερον εἰς ἀλήθειαν ἤγαγεν.

Εἰ δὲ μὴ ἐξ ἐναργέος ἐφόδου, ἐκ δὲ πιθανῆς ἀναπλάσιος λόγου. πολλάκις βαρείην καὶ ἀνιηρὴν ἐπήνεγκε διάθεσιν. πάντες δὲ ἀνοδίην χωρέουσι. Τί γὰρ ἂν ἦν κακὸν, ἢν τὰ ἐπιχείρεα ἐκομίζοντο, οἱ τὰ τῆς ἰητρικῆς ἔργα κακῶς δημιουργέοντες. Νῦν δὲ τοῖσιν ἀναιτίοισιν ἔοικε τῶν καμνόντων, ὁκόσοισιν οὐχ ἱκανὴ ἐφαίνετο ἐοῦσα τοῦ νοσέειν βίη, εἰ μὴ ξυνέλθοι τῇ τοῦ ἰητροῦ ἀπειρίῃ. Περὶ μὲν οὖν τουτέων ἅλις ἔστω διειλεγμένα. τῷ δ' ὡς λόγου μόνου ξυμπεραινομένου μὴ εἴη ἐπαυρέσθαι, τῷ δὲ ὡς ἔργου ἐνδείξιος. Σφαλερὴ γὰρ καὶ εὔπταιστος ἡ μετ' ἀδολεσχίης ἰσχύρισις.

Διὸ καὶ καθόλου δεῖ ἔχεσθαι τῶν γινομένων, καὶ περὶ ταῦτα μὴ ἐλαχίστως γίγνεσθαι, ἢν μέλλῃ ἕξειν ῥηϊδίην καὶ ἀναμάρτητον ἕξιν, ἣν δὴ ἰητρικὴν προσαγορεύομεν. Κάρτα γὰρ μεγάλην ὠφελίην περιποιήσει τοῖσί τε νοσέουσι, καὶ τοῖσι τουτέων δημιουργοῖσιν. Μὴ ὀκνέειν δὲ καὶ παρὰ ἰδιωτέων ἱστορέειν, ἤν τι δοκῇ ξυμφέρειν, εἰς καιρὸν θεραπείης. Οὕτω γὰρ δοκέω τὴν ξύμπασαν τέ-

χνην

de ſtatuendum eſt, naturam à plurimis ac omnigenis rebus moueri ac doceri, neceſſitate quadam. Cogitatio autem à natura ſumens, vt dixi, poſteriùs ad veritatem perducit.

Sin verò non ex ſenſibus comperta obſeruatione, ſed ſolùm ex probabili Rationis figmento proficiſcatur, frequenter grauem & triſtem diatheſin adfert: hi enim viam inuiam ingrediuntur. Tenue profectò malum videretur, ſi ſolam mercedem auferrent hi, qui ſiniſtrè medicinam faciunt. Nunc verò ægris, qui etiam extra culpam ſunt, quibus calamitoſa vis morbi non ſatis violenta eſſe videbatur, niſi & medici imperitia ſe illi conſociaret. Sed de his quidem hæc ſufficiant diſſeruiſſe: nimirùm quòd neque his ſolùm, quæ ſola Ratione colliguntur fidere oportet, nec etiam his quæ ſola operis oſtenſione. Periculi enim plena & ad errorem præceps eſt aſſertio quæ fit cum nugacitate.

Quare & vniuerſa ea, quæ fiunt, explorata & comperta eſſe debent, & circa eadem ſingillatim non tenuiter exerceri, ſi quis facilem & inculpatum habitum, quem medicinam vocamus, ſibi iungere volet. Inſignem enim vtilitatem, tum ægris, tum horum artificibus adferet. Nec tamen cuncteris etiam ab idiotis inquirere & diſcere, ſi quid ad medendi occaſionem facere videatur. Ita enim puto to-

χρὴν ἀναδέχεσθαι, διὰ τὸ ἐξ ἑκάστου τοῦ τέλεος τηρηθῆναι, καὶ εἰς ταῦτα ξυναυλισθῆναι. Προσέχειν οὖν δεῖ περιπλάνοις τέτη ὡς ἐπὶ τὸ πολὺ, καὶ μετ' ἀρετῆς καὶ ἠρεμαιότητος μᾶλλον, ἢ ἐπαγγελίης καὶ ἀπολογίης τῆς μεταπαρήξιος.

Χρήσιμος δὲ καὶ ποικίλος τῆς προσφορῆς δομένων τῷ νοσέοντι καὶ ὁ προσορισμός. Ὅτι μόνον τι προσενεχθὲν ὠφελήσει, οὐ γὰρ ἰσχυρίσιος δεῖ· Πάντα γὰρ τὰ πάθη διὰ πολλὰς περιστάσιας καὶ μεταβολὰς μονῇ τινὶ ἀποσκηθίζει. Παραινέσιος δ' αὖ καὶ τοῦτο ἐπιδέηθείη τῆς θεραπείης. Εἰ γὰρ ἄρξαιο παρὰ μισθαρίην (ξυμβάλλει γάρ τι καὶ τῷ ξύμπαντι) τῷ μὲν ἀλγέοντι τοιαύτην διανόησιν ἐμποιήσεις, τὴν ὅτι ἐὰν ἀπολιπὼν αὐτὸν πορεύσῃ. Μὴ ξυνθέμενος δὲ, καὶ ὅτι ἀμελήσεις, καὶ οὐχ ὑποθήσεις τινὰ τῷ παρεόντι.

Ἐπιμελεῖσθαι δεῖ οὖν περὶ στάσιος μισθοῦ. Ἄχρηστον γὰρ ἡγεύμεθα ἐνθύμησιν ὀχλεομένῳ τὴν τοιαύτην· πολὺ γὰρ μᾶλλον ἐν ὀξεῖ νοσήματι. Νόσου γὰρ ταχύτης καιρὸν μὴ διδοῦσα ἐς ἀναστροφὴν, οὐκ ἐποτρύνει τὸν καλῶς ἰητρεύοντα ζητεῖν τὸ λυσιτελὲς, ἔχεσθαι δὲ δόξης μᾶλλον. Κρέσσον οὖν

σώζο-

to totam artem conſtitutam fuiſſe, eò quòd in vnoquoque ſingulari perfecta obſeruatio facta, ad vniuerſalem reuocata fuerit rationem. Animum itaque ad obſeruationem vertere decet, quæ plerumque obuia eſt, & ei potius quæ cum commodo & lenitate fit, quàm cum pollicitatione aut excuſatione ſiniſtri euentus.

Commodum quinetiam eorum, quæ ægro offerenda ſunt, varietatem prædefinire. Non enim polliceri oportet quòd vnum aliquid ſolum exhibitum proderit: cùm omnes affectus ob plurimas circumſtantias ac mutationes, morâ quadam firmiore inhæreant. Quin & ſequens animaduerſio digna eſt de qua admoneare. Si à mercede paciſcenda initium feceris (quod patrocinari toti hiſtoriæ poterit) ægro cogitationem præbebis, quòd ipſum non ſis deſerturus. Sin non paciſcaris, quòd ipſum negliges, & quæ præſentem in rem commoda ſunt non præſtaturus.

Studium itaque adeſſe debet de conſtituenda mercede. Damnoſam enim putamus eſſe hanc cogitationem morbo implíciti ægri, maximè in morbo acuto. Morbi enim celeritas cùm occaſionem excludat à regreſſu, impellit eum qui medicinam eleganter facit, vt minimè quod ex re ſua eſt ſectetur, ſed potiùs id quod ad gloriam ſpectat. Itaque meliùs

σωζομένοισιν ὀνειδίζειν, ἢ ἀληθείας ἔχοντας προσμυθέειν.

Καίτοι ἔνιοι νοσέοντες ἀξιοῦσι, τὸ ξενοπρεπὲς καὶ τὸ ἄδηλον προσκρίνοντες· ἄξιοι μὲν ἀμηχανίης, οὐ μέντοι γε κολάσιος προσκρίνοντες. Διὸ τουτέοισιν ἀντιλάξιν εἰκότως, μεταβολῆς ἐπὶ πουλὺ προσδεομένοισι. Τίς γὰρ ὠφελὸς διὸς ἤδη εἰρημένος ἰητρὸς ἰητρεύειν πέρι ἢ ἀπειραμένην. ὥστ' ἐν ἀρχῇ διακρίνοντας τοῦ πάθεος, δεῖ ὑποθέσθαι τινὰ ξυμφέροντα ἐς θεραπείην ἀποθεραπεῦσαί τι τὸν νοσέοντα, καὶ μὴ παριδεῖν. τὸ δὲ ἐπικαρπίης, μὴ αὐτὸ τὸ ἐπισκευάζεσθαι πρὸς μάθησιν ἐπιθυμίης.

Παραγγέλλομαι δὲ μὴ λίην ἀπανθρωπίην ἐσάγειν, ἀλλ' ἀποβλέπειν ἔς τε περιουσίην, καὶ οὐσίην, ὁτὲ δὲ προῖκα· ἀναφέρων μνήμην εὐχαριστίης προτέρην, ἢ παρεοῦσαν εὐδοκιμίην. Ἢν δὲ καιρὸς εἴη χορηγίης, ξένῳ τε ἐόντι καὶ ἀπορέοντι, μάλιστα ἐπαρκέειν τοῖσι τοιουτέοισιν. Ἢν γὰρ παρῇ φιλανθρωπίη, πάρεστι καὶ φιλοτεχνίη. Ἔνιοι γὰρ νοσέοντες ᾐσθημένοι τὸ περὶ ἑωυτοὺς πάθος μὴ ἐὸν ἐν ἀσφαλείῃ, καὶ τῇ τοῦ ἰητροῦ ἐπιεικείῃ, εὐδοκιμοῦσι μεταλλάσσοντες εἰς ὑγιείην.

Εὖ δ' ἔχει νοσεόντων μὲν ἐπιστατέειν, εἵνεκεν ὑγιείης· ὑγιαινόντων δὲ φροντίζειν, εἵνεκεν

ἀἰο-

eſt à morbo eualeſcentibus exprobrare, quàm calamitosè afflictos emungere.

Quin verò ægri quidam medicorum operam petunt, hoſpitij ius & leuis mali debellationem cauſantes: neglectu propterea digni, nec tamen pœnâ. Proinde his, vti decet, occurre, in mari inconſtantiæ fluctuantibus. Qui enim verus eſt medicus, is per Iouem fide potiùs quàm duritie in medendo vtetur. Propterea ineunte medela totam affectus hiſtoriam indagantes, oportet curationis quædam capita (ad quæ collinees) proponere, & ægro ad finem vſque adeſſe, nec neglectui habere. At verò remunerationem ne exigito, abſque cupiditate præparante ad diſciplinam.

Quin hortor etiam ne inhumana quadam ſeueritate vtaris, ſed vt collinees ad ægri copias, & opes. Nonnunquam & gratis cures, vel ob gratitudinis memoriam, vel ob præſentem exiſtimationem. Quodſi occaſio exercendæ liberalitatis ſe obtulerit, vel peregrino vel egeno, hiſce talibus maximè ſuccurras. Si enim adfuerit benignitas, aderit etiam artificio comparatus arti amor. Adeò vt quidam ægri, etiamſi ſentiant morbum ſuum calamitoſum eſſe, tamen propter medici benignitatem, ſibi perſuadent, ſe ad ſanitatem redire poſſe.

Rectè autem & conuenienter ægrorum cura ſuſcipitur ſanitatis causâ: at ſano-

ἀνοσίης· φροντίζειν καὶ ὑγιαινόντων, ἕνεκεν εὐσχημοσύνης. Οἱ μὲν οὖν ἐόντες ἐν βυθῷ ἀτεχνίης, τὴν προειρημένην οὐκ ἂν αἰσθάνοιντο. Καὶ γὰρ οὗτοι ἀνίητροι ἐόντες, ἐλέγχοι, ἐκ ποδὸς ὑψούμενοι, τύχης γε μὴν δεόμενοι, ὑπό τινων εὐπόρων καὶ σεμνῶν ἐνδόξων ἀναλαμβάνονται. Ἑκάτεροι ἐπὶ τύχῃσιν εὐδοκιμέοντες, καὶ διαπίπτοντες ἐπὶ τὸ χεῖρον καταχλιδῶσι, καταμεμηλότες τὰ τῆς τέχνης εὐπάθεια· ἐφ' οἷς ὁ ἰητρὸς ἀγαθὸς ἀκμάζει, ὁμότεχνος καλεόμενος.

Ὁ δὲ τὰς ἀκέστας ἀναμαρτήτως ἐπιδείξιας ἐπιτηρήσας, οὐθὲν τουτέων παραβαίνει, οὐ παντὶ ἀσύνετος τῆς δυνάμιος. Οὐ γὰρ ἄπιστός ἐστιν, ὡς ἐν ἀδικίῃ. Πρὸς γὰρ θεραπείην οὔτοι γίνονται, σκοπέοντες διάθεσιν φθεγγόμενα, φυλασσόμενοι ἑτέρων ἰητρῶν ἐπεισαγωγήν, ἀνονοῦντες ἐν μισοπονηρίῃ βοηθήματος. Οἵ τε νοσέοντες ἀνιώμενοι, τάχιστα ἐπὶ ἑκάτερον μοχθηρείῃ, μὴ ἐγκεχρεικότες ἑωυτοὺς ἕως τέλεος τῇ ἐν τῇ τέχνῃ πλείονι θεραπείῃ. (Αὔξησις γὰρ νούσου τινὸς κάμνοντι παρέχει μεγάλην ἀλεωρήν. Διὸ δεόμενοι τῆς ὑγιεινῆς διάθεσιν, οὐκ ἐθέλουσι τὴν αὐτὴν χρῆσιν αἰεὶ προσδέχεσθαι, ὁμονοοῦντες ἰητροῦ ποικιλίῃ.) Πολυτελείης γὰρ ἀπορέουσι

rum, vt ſine morbis viuant: quin etiam elegantiæ ergo. Cæterùm qui in profundo ignorantiæ artis verſantur, prædicta non capiunt. Hi enim medicorum nomine cùm ſint indigni, artis probra, ex imis ad ſumma ſubitò elati, à fortuna pendentes, à locupletibus quibuſdam naturæ robore præditis, auctoritatem accipiunt. Vtrique ob fœlicem ſucceſſum gloriantes, & in deterius dilabentes, deliciantes, & ea quæ, in arte, medicum inculpabilem reddunt, negligentes: ex quibus tamen bonus medicus excellit, & collega artis appellatur.

Hic enim medelas ſine ægrorum damno facilè perficiens, in nullo horum peccârit, ne in ſummâ quidem facultatis inopiâ. Non enim fraudulentus eſt vt improbi. Hi quidem ad medelam accedunt, morbum fama celebrem captantes, cauentes aliorum medicorum introductionem, celebrantes ſuam curationem, cum inſectatione alienæ in medendo imperitiæ. At ægri morbo impliciti, natant in vtraque improbitate, tum quòd ſeipſos accuratæ arti medendi non dederint ad morbi vſque finem: (morbi enim lenitio magnum interdum ægro ſolatium adfert: adeò vt quamuis ſanitatis indigi ſint, vſum tamen eorundem remediorum inire nolint, medicum ſuæ cupiditati in variandis remediis ſubſcribere petentes) tum quòd diuitiis carentes, nefa-

οἱ νοσέοντες, κακοδοξίῃ περιεχυνοῦντες καὶ ἀχαριστέοντες. ξυντυχεῖν δ᾽ ἐκεῖνοι δ᾽ ἐόντες ἀπορέειν διαπλάζονται περὶ ματαιορέων, ἀβεκίως ἐθέλοντες ὑγιέες εἶναι, εἵνεκεν ἐργασίης τύχαν, ἢ γεωργίης, ἀφροντιστέοντες περὶ αὐτέων λαμβάνειν. Παρασημασίης τοιαύτης ἀλισέσθω. Ἄνεσις γὰρ καὶ ἐπίτασις νοσέοντος, ἐπινέμουσιν ἰητρικὴν κάκωσιν.

Οὐκ ἀσχήμων δὴ, οὐδ᾽ ἣν τις ἰητρὸς, στενοχωρέων τῷ παρεόντι ἐπί τινι νοσέοντι, καὶ ἐπισκοτεόμενος τῇ ἀπειρίῃ, κελεύῃ καὶ ἑτέρους εἰσάγειν, εἵνεκα τοῦ ἐκ κοινολογίης ἱστορῆσαι περὶ τὸν νοσέοντα, καὶ συνεργοὺς γενέσθαι ἐς εὐπορίην βοηθήσιος. Εἰ γὰρ κακοπαθίης παρεούσης, ἐπιτείνοντος τοῦ πάθεος, δι᾽ ἀπορίην τὰ πλεῖστα ἐκκλίνουσι τῷ παρεόντι. Θαῤῥητέον οὖν ἐν καιρῷ τοιουτέῳ. Οὐδέποτε γὰρ ἐγὼ τὸ τοιοῦτο ὁρίζομαι, ὅτι ἡ τέχνη κέκριται. περὶ τουτέου μηδέποτε φιλονεικέειν, περισκυρέοντας ἑωυτοῖσι κατασιλλαίνειν.

Ὁ γὰρ αὖ μεθ᾽ ὅρκου ἱερέω, οὐδέποτέ τι ἰητρῶ λογισμὸς φθονήσειεν ἑτέρῳ· ἄκυρος γὰρ

tiis moribus primò medico blandientes & adorantes, mox ingrati euadunt. Et quamuis diuitiis ſuis optimè medicos ſibi deuincire queant, circa mercedem tamen difficiles ſeſe præbent, prætextu ſe ad integram ſanitatem reduci velle, & quæſtus ex fœnore aut agricultura ceſſantis, cùm ipſi interea, ſine metu iacturæ, fructum inde percipere negligant. At de tali admonitione hæc ſatis ſint. Quoniam morbi mitigatio & acerbatio, medicam adminiſtrationem moderantur.

Nec verò indecorè ſe ille geret medicus, qui, cùm in anguſto eſſe illi videantur apud ægrum res præſentes, maximè imperitiâ illi tenebras offundente, alios inſuper accerſiri iuſſerit, vt collatis amicè rationibus hiſtoria ægri rectè perueſtigetur, & illi mutuam operam conferant in auxiliorum copiam. Nam in afflictionis vehementia & aſſiduitate, incrementa ducente affectu, ob conſilij inopiam, plurima ad rem præſentem commoda effugiunt. In tali itaque momento temporis, actioni opportuno, animo ſibi conſtet. Nunquam enim ego id exterminio dignum duxero, quod artis eſſe iudicatur. Verumtamen neque de hoc ipſo contentiosè decertandum, ne deriſui ſeſe propinent.

Hoc enim ſanctè affirmare auſim, veram ratiocinationem medicam nihil allaturam, quod alium in inuidiam trahere

αὖ φανείη. Ἀλλὰ μᾶλλον οἱ ἀρχιτέκτονες ἀγυρτικῆς ἐργασίης, πρήσσουσι ταῦτα δυναμένως. Καί τις γε οὐδὲ ψευδέως καταγνώσεται· πᾶσι γὰρ εὐπορίη, ἀπορίη ἔνεστι.

Μετὰ τουτέων δὲ πάντων, μέγα ἂν τεκμήριον φανείη οὐσίῃ τῇ ἐούσῃ τῆς τέχνης, εἴ τις καλῶς ἰητρεύων, προσαγορευόμενος τοιαύτης μὴ ἀποσταίη, κηδόμενος τοῖσι νοσέουσι, μηδὲ ὀχλεῖσθαι κατὰ διάνοιαν, ἐν τῷ προσήκοντι ἀφικέσθαι εἰς καιρὸν σωτηρίης. Ἡ γὰρ ἀμάθα γὰρ ἀχρηστίην· καὶ προσαναπαυόμενός γε οὐ διαμαρτήσεται. Αὐτοὶ μὲν γὰρ οἱ νοσέοντες διὰ τὴν ἀλγεινὴν διάθεσιν ἀπαυδέοντες, ἑωυτούς τε μεταλλάσσουσι τῆς ζωῆς. Ὁ δὲ ἐγκεχειρισμένος τὸν νοσέοντα, ἐὰν ἀποδείξῃ τὰ τῆς τέχνης ἐξευρήματα, σώζων οὐκ ἀλλοιῶν φύσιν, ἀποίσεται τὴν παρεοῦσαν ἐπικαιρίην, ἢ τὴν παραυτίκα ἀπορίην. Ἡ γὰρ τῆς [illegible] οὐκ ἔνδειξιν, φύσις τίς ἐστι φύσει πεποιημένη, κίνησιν οὐκ ἀλλοτρίην, ἀλλὰ πλείω τε εὐαρμοστίῃ, πνεύματί τε, καὶ θερμασίῃ, καὶ χυμῶν κατεργασίῃ, πάντῃ τε καὶ πάσῃ διαίτῃ, καὶ τοῖσι ξύμπασι δὲ δεδημιουργημένη ἢν μή τις ἐκ γενετῆς ἢ ἀπ' ἀρχῆς ἔλλειμμα ᾖ. Ἢν δ' αὖ γένηταί τι, ἐξιτήλου ἐόντος, πειρᾶσθαι ἐξομοιοῦν τῇ ὑποκειμένῃ. Παρὰ γὰρ φύσιν τὸ μινύθημα, καὶ διὰ χρόνου.

Φυλάττειν δὲ καὶ τρίψιος ἐπικρατίδων, διὰ

προσ-

poſſit: id enim imbellem doctrinam eius argueret. Sed qui forenſem quæſtum ſectantur, feliciùs hæc facere ſolent. Nec tamen falsò aut malè hoc inſtitutum eſt; cùm omni copiæ, inopia inſit.

Cæterùm præter iam dicta omnia, inſigne ſignum ſyllogiſticum ſolidæ artis fuerit, ſi quis rectè medicinam faciens, ægros hortari non deſinat, ne nimiùm angantur animis, dum ad bonæ valetudinis tempus peruenire feſtinant. Putamus enim hanc cogitationem anxiam, damnoſam eſſe: & hoc verans non errabit. Cùm etenim ægri ex triſti affectione deſperantes, ſeipſos vitâ interdum exuant: ſi is qui ægro medicinam facit, artis inuentá demonſtrauerit, ſui nempe muneris eſſe, tueri, non autem mutare naturam; præſentem potiùs fiduciæ fructum, quàm diffidentiæ damnum ab ægro feret. Habitiſſima enim hominis conſtitutio natura quædam eſt, naturæ circumpoſita, motu non alieno, ſed apprimè conueniens ſpiritu, calido, & humorum concoctione, & vniuerſim tum diætâ, tū cæteris omnibus ficta ac fabricata: niſi cuipiam ex natiuitate, aut ab initio defectus aliquis obtigerit. Quodſi quis adnatus fuerit, iſque exilis fuerit, ſubiectæ naturæ aſſimilare conandum erit. Præter naturam enim eſt defectus: & temporis eget.

Fugienda porrò eſt frictio quæ fit ſudariis, propter auctoritatem medicam.

ita &

προεκχώρησιν ἀκίνδυνος. Ὁ δὲ μὲν τι προείρηται. Διὰ γὰρ ἱκανὴν ἀξιωσίην, διαβολὴν κέκτηνται· διὰ δὲ τὴν ὀλίγην, δημοσιεύειν. Ἐν γὰρ μέρει, σπάνιος ὀλίγος· ἐν πάσῃ, ἰητρός. Εὐχαριστίην δὲ οὐ περιαιρέω· ἀξίη γὰρ ἰητρικῆς προστασίης. Προφάσιες δὲ δι' ἐργασίαν, καὶ σημαντικῶν ἐπιδείξιος, καὶ τῆς τοιουτοτρόπων, μνήμην παραφῆναι.

Ἢν δὲ καὶ εἵνεκα ὁμίλου θέλῃς ἀκρόασιν ποιήσασθαι, οὐκ εὐκλεῶς ἐπιθυμέεις, μὴ μέντοι γε μετὰ μαρτυρίης ποιητικῆς. Ἀδυναμίην γὰρ ἐμφαίνει φιλοπονίης. Ἀπαγορεύομαι γὰρ εἰς χρῆσιν, ἑτέρην φιλοπονίην μετὰ ὠδῆς ἱστορεομένην, διὸ ἐν ἑαυτῇ μούνῃ αἵρεσιν ἰσχὺν χαρίεσσαν. Περιποιήσῃ γὰρ κηφῆνος μετὰ παραπομπῆς ἐπιμοχθίην. Εὐκλεὴς δὲ καὶ διάθεσις, ἐκτὸς οὔσης ὀψιμαθίης. Παρεόντων μὲν, οὐδὲν ἐπιτήδειον· ἀπεόντων δὲ, μνήμη αἰσχρή.

Γίνεται τοίνυν πάμμαχος ἀτυχίη, μετὰ λοιμικῆς νεαρῆς, ἀφροντιστεύουσα διαφορότητος, ὁρισμοῖς τε, καὶ ἐπαγγελίῃ, ὅρκοις τε παμμεγέθεσι, θεῶν εἵνεκεν, ἰητροῦ προσαιτιοντοσεύσου. αἰαγνώσιος ξυνεχείης, κατηχήσιός τε ἰδιωτέων φιλαλυσίων, λόγους

ἐκ μα-

ità & odor affectatus. Vt enim propter id quod ab vſu hominum alienum eſt, calumniam tibi accerſes; ita ex modica elegantiam tibi comparabis. Non aliter ac dolor in parte ſtabulans, modicus eſt: in toto, validus. Comitatem autem non tollo: digna enim eſt auctoritate medica. Applicationis etiam organorum, & indicationis eorum quæ ſignificant, atque rerum eiuſmodi, memoriam adeſſe decet.

Quodſi adſtantium causâ tibi velis audientiam comparare, vt rem minimè præclaram captas, ita cautio adeſſe debet, ne id cum poëtica ſignificatione fiat. Inopiam enim induſtriæ oſtendit. Reiicio enim ab vſu eius artis (quæ in ſe ſola gratioſam habet electionem) induſtriam, quamuis aliam, multo maximè labore conſtantem. Aſſequeris enim fuci in morem, cum oſtentatione, inanem laborem. Optanda eſt & eiuſmodi diſpoſitio quæ aliena ſit à tardiſcentia. Quam diſpoſitionem vt præſentium quidem rerum nihil perficit, ſic abſentium recordatio valdè promouet.

Trahitur autem æger in omnigenam calamitatem, cùm medicus, qui morbo præeſt, peſtilentiâ iuuenilis temeritatis correptus eſt, decôri negligens, tum in definiendo, & pollicendo, tum in iureiurando interponendo quod deorum fit gratia: negligens aſſiduam recognitionem: neſcitis etiam qua ratione idiotæ

tumul-

ἐκ μεταφορῆς διαζηλευομένων, καὶ περὶ νούσου καταπορέειν * ξυνηθερισμένων.

Τῶν μὲν οὖν τοιούτων ὅπως ἂν καὶ ἐπισταλέσαιμι, οὐκ ἂν ἐπὶ θεραπείης ξυλλόγου, αἰτήσαιμι δὴ ἂν θαρσαλέως βέλτιον. Ἱστορίης γὰρ ἀρχὴ ἥκιστος σύνεσις ἐν τουτέοισι διεσπαρμένη. Τουτέων οὖν δι' ἀνάγκην ἀξυνέτων ἐόντων, παρακελεύομαι χρησίμην εἶναι τὴν βίβλον, μετὰ ὑστέρησιν δογμάτων μὲν ἱστορίης. Τίς γὰρ ἐπιθυμεῖ δογμάτων μὲν πολυχρονίην ἀδεκέως ἐθέλειν ἱστορέειν, μήτε χρηστηρίης ἀτρεμαιότητι; διὸ παραινέω τουτέοισι λέγουσι μὲν προσέχειν· πείθεσι δὲ ἐγκόπτειν.

Ξυνεσταλμένης διαίτης μὴ μακρὴν ἐγχρίζειν. Τοῦ κάμνοντος χρονίην ἐπιθυμίην αἰτίησθαι· καὶ ξυγχωρέειν ἰσχυρὴν νούσου. Ἢν τις προσέχῃ τυφλῷ τὸ δέον, ὡς μέγας φόβος φυλακτέος· καὶ χαίρειν, δι' ἧς ἑνότητος. Ἠέρος αἰφνιδίην ταραχὴν φυλακτέην. Ἀκμὴ ἡλικίης πάντα ἔχει χαρίεντα· ἀπόληξις δὲ τοὐναντίον. Ἀσαφίη δὲ γλώττης γίνεται ἢ διὰ πάθος, ἢ διὰ τὰ ὦτα· πρὶν τὰ πρότερα ἐξαγγεῖλαι, ἕτερα ἐπιβαλεῖν· ἢ πρὶν τὸ διανενοημένον εἰπεῖν, ἕτερα ἐπιδιανοεῖσθαι. τὸ μὲν αὐτὸ πάθος ἐράτε

λήγ-

tumultuantes ſint inſtruendi, qui efflagitant metaphoris ornatos ſermones; & ante rectè perſpectum morbum, ad audiendum concurrunt.

Horum quamuis collega iungerer, non tamen de medendi ratione cum illis conſilium iungerem, ſed confidenter peterem vt remedia ſua proferrent. Inquiſitionis enim elegantis ſcientia apud hos diſperſa reperitur. Et quamuis hi neceſſariò ſint indocti, affirmo tamen exercitationem horum vtilem eſſe, poſteaquam præceptorũ cognitione fraudantur. Quis enim præceptorum multifidam varietatem ſe verè indagare poſſe ſperet, citra exercitationis conſtantiam? Quare hoc moneo, dicentibus quidem iſtis auſcultandum eſſe, at operantibus reſiſtendum eſſe.

Acciſa diæta ne diu vtaris. Aegri enim auiditatem diuturnam erigit. Indulgentia è contra morbum trahit. Si quis cæco obſecundet vltra quàm decet, velut res horribilis caueri debet, & gratia fugienda per quam concordia perit. Aëris ſubitaria turbatio vitanda eſt. Vigor ætatis cuncta habet venuſta: decreſcens verò ætas, omnia contrà. Obſcuritas linguæ fit aut propter affectum, aut propter aures: quemadmodum ſi, antequam priora enunciârit, alia adiiciat, aut ſi priùs, quàm id quod mente concepit eloquatur, alia inſuper cogitet. Quæ autem linguæ obſcuritas euenit citra affectum

ἀληγεμένῃ, μάλιστα ξυμβαίνει φιλοπτωχοῦσιν. Ἡλικίη συμικρυνθέντος τοῦ ὑποκειμένου, δυνάμεις ἐνίοτε πάμπολυς.

Νόσου ἀπαρηξίη, μῆκος σημαίνει. κρίσις δὲ ἀπόλυσις νόσου. Μικρὴ αἰτίη, ἄκεσιν λύεται, ἢν μή τι περὶ τόποι καίριοι πάθῃ. Διότι ξυμπάθησις ὑπὸ λύπης ἐοῦσα ὀχλέει· ἐξ ἑτέρου ξυμπαθείης τινὲς ὀχλεῦνται. Καταύδησις λυπέει. Φιλοπονίης κραδίης ὕπο, παραίτησις. Ἀλυάσιος τόπος οἰκοστροφέει.

Παραγγελιῶν τέλος.

conſpicuum appellatum, hæc maximè his contingit, qui artium ſtudio tenentur. Aetas, etiam in exili ſubiecto, nonnunquam validam vim habet.

Si morbo nulla euenerit perturbatio, eius diuturnitatem notat. Criſis verò eſt morbi ſolutio. Minima cauſa curationem peruertit, ſi quid circa locum affectum intempeſtiuè euenerit. Nam affectio per concordiam illata à mærore implicat & affligit: ſanè quædam partes contagione alterius implicantur, & vexantur. Vociferatio affligit. Propter vehementem laborem indulgentia. Locus amœnus ſanitati dicatus.

Finis Præceptionum.

Digitized by Google

HIPPOCRATIS
COI
DE CARNIBVS,
SIVE
DE PRINCIPIIS,

Græcè, & Latinè,

ex interpretatione

IOHANNIS HEVRNII

Vltraiectini.

Digitized by Google

ἹΠΠΟΚΡΆΤΟΥΣ
ΚΩ͂ΟΥ
ΠΕΡῚ ΣΑΡΚΩ͂Ν,
Ἢ
ΠΕΡῚ ἈΡΧΩ͂Ν.

Ἐγὼ τὰ μέχρι τοῦ λόγου τούτου κοινῇσι γνώμῃσι χρέομαι, ἑτέρων τε τῶν ἔμπροσθεν, ἀτὰρ καὶ ἐμεαυτοῦ. Ἀναγκαίως γὰρ ἔχει, κοινὴν ἀρχὴν ὑποθέσθαι τῇσι γνώμῃσι, βουλόμενον ξυνθεῖναι τὸν λόγον τόνδε περὶ τὰς τέχνας τὰς ἰητρικάς. Περὶ δὲ τῶν μετεώρων οὐδὲν δέομαι λέγειν, ἢν μὴ τοσοῦτον ἐς ἄνθρωπον ἀποδείξω, καὶ τὰ ἄλλα ζῶα, ὁκόσα ἔφυ καὶ ἐγένετο, καὶ ὅτι ψυχή ἐστιν, καὶ ὅτι τὸ ὑγιαίνειν, καὶ ὅτι τὸ κάμνειν, καὶ ὅτι τὸ ἐν ἀνθρώπῳ κακὸν καὶ ἀγαθὸν, καὶ ὅθεν ἀποθνήσκει. Νῦν δὲ ἀποφαίνομαι αὐτὸς ἐμεαυτοῦ γνώμας.

Δοκέει δέ μοι ὃ καλέομεν θερμὸν, ἀθάνατόν τε εἶναι, καὶ νοεῖν πάντα, καὶ ὁρῆν, καὶ ἀκούειν, καὶ εἰδέναι πάντα, καὶ τὰ ὄντα, καὶ τὰ μέλλον.

HIPPOCRATIS COI DE CARNIBVS, SIVE DE PRINCIPIIS.

EGo hactenus publicis ac vulgaribus ſententiis vtor, tum aliorum qui ante me fuerunt, tum etiam meis. Eſt enim neceſſe publicum ac vulgare initium pro hypotheſi ſumat, ſuis ſententiis (quas omnium conſenſu comprobari vult) qui de arte medica commentari velit. De ſublimibus autem altiúsque petitis mihi dicendum non eſt, niſi quatenus commoda fuerint ad demonſtrandum de homine, & cæteris animantibus, quæcumque in lucem edita & nata ſunt, quòd anima ſint prædita, quid ſit ſanitas, quid ſit morbus, quid boni maliue homini inſit, & cur denique moriatur. Nunc autem ipſe meas ſententias proferam.

Videtur ſanè mihi, id quod calidum vocamus, immortale eſſe, & cuncta intelligere, & videre, & audire, & ſcire omnia

μέλλοντα ἔσεσθαι. Τοῦτο οὖν τὸ πλεῖστον, ὅτι ἐταράχθη ἅπαντα, ἐξεχώρησεν εἰς τὴν ἀνωτάτω περιφορὴν, καὶ ὀνομῆναί μοι αὐτὸ δοκέουσιν παλαιοὶ αἰθέρα.

Ἡ δευτέρα μοῖρα κάτωθεν, ἣ αὐτὴ καλέεται μὲν γῆ, ψυχρὸν καὶ ξηρὸν, καὶ πολὺ κινοῦν, καὶ ἐν τουτέῳ ἔνι δὴ πουλὺ τοῦ θερμοῦ. Ἡ δὲ τρίτη μοῖρα, καὶ τοῦ ἠέρος μέσον χωρίον εἴληφε, θερμόν τι ὄν. Ἡ δὲ τετάρτη τοῦ ἐγγυτάτω πρὸς τῇ γῇ ὑγρότατόν τε καὶ παχύτατον.

Κυκλεομένων δὲ τουτέων, ὅτε οὖν ἐταράχθη, ἀπελείφθη τοῦ θερμοῦ πουλὺ ἐν τῇ γῇ, ἄλλοθι τὰ μὲν μεγάλα, τὰ δὲ ἐλάσσω, τὰ δὲ καὶ πάνυ σμικρὰ πλῆθος πολλά. Καὶ τῷ χρόνῳ ὑπὸ τοῦ θερμοῦ ξηραινομένης τῆς γῆς, ταῦτα καταλειφθέντα περὶ αὐτὰ, σηπεδόνας ποιέει, οἷον περὶ χιτῶνας. Καὶ πολλῷ χρόνῳ θερμαινόμενον, ὁκόσον μὲν ἐτύγχανεν ἐκ τῆς γαίης σηπεδόνος λιπαρόν τι ἐὸν, καὶ ὀλίγιστον τοῦ ὑγροῦ ἔχον, τάχιστα ἐξεκαύθη, καὶ ἐγένετο ὀστέα.

Ὁκόσα δὲ ἐτύγχανε κολλωδέστερα ἐόντα, καὶ τοῦ ψυχροῦ μετέχοντα, ταῦτα δὲ θερμαινόμενα οὐκ ἠδυνάτο ἐκκαυθῆναι, οὐδὲ μὴν τοῦ ὑγροῦ γενέσθαι· διὰ τοῦτο ἰδέην ἀλλοιοτέρην ἔλαβε τῶν ἄλλων, καὶ ἐγένετο νεῦρα στερεά· οὐδὲ γὰρ ἐνῆν τοῦ ψυχροῦ αὐτοῖς.

tum præſentia, tum futura. Huius itaque plurima pars, cùm conturbata eſſent cuncta, receſſit in ſupremam peripheriam, atque id ipſum videntur mihi veteres nominaſſe æthera.

Altera pars infernè ſubſidens, appellatur terra, frigidum quid & ſiccum, & multas motiones habens, multum quinetiam calidi in ſe continens. Tertia verò pars aëris mediam regionem cepit, calidum quid exiſtens. At quarta pars, terræ proximam ſedem occupauit, humidiſſimum quid ac craſſiſſimum.

Hæc itaque in orbem gyrata ac circumacta, cùm turbari cœpiſſent, multa calidi portio in terra relicta eſt, alibi magna, alibi parua, alibi exigua mole, ſed in particulas innumeras diſperſa. Temporis autem progreſſu terrâ à calido arefactâ, hæ partes concluſæ in ipſa terra, veluti in tunicis quibuſdam putredines pariunt. Longo itaque tempore calorem trahens, quantum quidem ex putredine terræ pingue fuit, & quàm minimum madoris habuit, celerrimè exuſtum fuit, & in os mutatum.

Quæ verò viſcoſiora fuerunt, & frigore imbuta, ea neque calefacta exuri potuere, (neque ſicca reddi: neque enim inerat pingue, vt exuri poſſent) neque etiam humida fieri; propterea ideam longè diſcrepantem ab aliis acceperunt, & nerui ſolidi facti ſunt: cùm ſcilicet plurimum fri-

goris

Αἱ δὲ φλέβες τοῦ ψυχροῦ ἔχουσι πουλύ. Καὶ τούτου τοῦ ψυχροῦ τὸ μὲν περιέξ, ὅσον κολλωδέστατον ἦν, ὑπὸ τοῦ θερμοῦ ἐξοπτηθὲν μῆνιγξ ἐγένετο. τὸ δὲ ψυχρὸν ἐὸν κρατηθὲν ὑπὸ τοῦ θερμοῦ, διεχύθη, καὶ ἐγένετο ὑγρὸν διὰ τοῦτο.

Κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ ἡ φάρυγξ καὶ ὁ στόμαχος, καὶ ἡ γαστὴρ καὶ τὰ ἔντερα ἐς τὸν ἀρχὸν, κοῖλα ἐγένοντο. τοῦ γὰρ ψυχροῦ αἰεὶ θερμαινομένου, τὸ μὲν περιέξ ἐξωπτήθη, ὅσον αὐτὸ κολλῶδες ἦν, καὶ ἐγένετο χιτὼν ὁ περὶ αὐτὸν μῆνιγξ. τὸ δὲ ἐντὸς τοῦ ψυχροῦ, οὐ γὰρ ἦν ἐν αὐτῷ οὔτε λιπαρὸν οὔτε κολλῶδες πουλὺ, διετάκη, καὶ ἐγένετο ὑγρόν. Κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ ἡ κύστις. Πουλὺ ψυχρὸν ἀπολειφθὲν τὸ πέριξ αὐτοῦ ὑπὸ τοῦ θερμοῦ θερμαινόμενον, διεχύθη, καὶ ἐγένετο ὑγρόν· Οὐ γὰρ ἦν ἐν αὐτῷ οὔτε τοῦ λιπαροῦ, οὔτε τοῦ κολλώδεος. Ὅσα δὲ περιῆν, χιτὼν ἐγένετο.

Ἀτὰρ καὶ περὶ τῶν ἄλλων ὅσα κοῖλα τὸν αὐτὸν ἔχει τρόπον. Ὅκου μὲν ἦν τοῦ κολλώδεος πλεῖον ἢ τοῦ λιπαροῦ, χιτὼν μῆνιγξ ἐγένετο. Ὅκου δὲ τοῦ λιπαροῦ πλεῖον ἢ τοῦ κολλώδεος, ὀστέα ἐγένετο. αὐτὸς δὲ λόγος καὶ τῶν ὀστέων. Ὅκου μὲν μὴ ἐνῆν τοῦ κολλώδεος, τοῦ δὲ λιπαροῦ καὶ τοῦ ψυχροῦ, ἐξεκαίετο θᾶσσον διὰ τὸ λιπαρὸν, καὶ ταῦτα τῶν ὀστέων καὶ σκληρότατα καὶ στρυ-

φνότα-

goris ipſis non ineſſet. At venæ frigoris plurimum habebant. Itaque huius frigidi extima pars, vtpote viſcoſa maximè, vi calidi retorrida facta, membrana extitit. Frigoris verò interior pars, vi caloris edomita, diſſoluta eſt, & ob id liquida facta eſt.

Ex eiſdem cauſis etiam fauces, & ſtomachus, & venter, & inteſtina in longanonem vſque caua facta ſunt. Dum enim perenni ductu frigidum in calorem abripiatur, id quod in eius peripheria viſcoſum hærebat, retorridum euaſit, & in tunicam abiit ambiens membrana. Quæ verò frigida pars intus erat, cùm in ipſa neque pingue, neque viſcoſum plurimum foret, colliquatum eſt, & liquidum fluxúmque euaſit. Eadem etiam ratio fuit veſicæ. Copioſum frigidum reſtibile ad eius peripheriam, vi caloris in æſtum abreptum, ſolutum fuit, liquidúmque euaſit; nam nec pingue, neque viſcoſum in ſe habebat. Quod verò reſtibile manſit, in tunicam euaſit.

Et etiam de aliis, quæ caua ſunt, eodem modo res ſe habet. Vbi enim plus viſcoſi erat quàm pinguis, membrana tunica facta eſt. Vbi verò pinguis plus quàm glutinoſi, oſſa facta ſunt. Eadem & ratio oſſium eſt. Quotquot ex illis non ita glutinoſo imbuta fuere, ſed potiùs pingui & frigido, citiùs exuſta ſunt ob pinguedinem, atque hæc oſſa duriſſima & rigidiſſi-

φύεται. Ὅκου δὲ λιπαρὸν καὶ κολλῶδες παραπλήσια, ταῦτα δὲ τὴν ὀστέων συνεργάδεα. Περὶ μὲν τουτέων οὕτως. Τὸ μὲν ψυχρὸν, πήγνυσι· τὸ δὲ θερμὸν διαχέει. ἐν δὲ τῷ πολλῷ καὶ ξηραίνει χρόνῳ. Ὅκου δὲ τοῦ λιπαροῦ ξυνέῃ τι, τουτέοισι θᾶσσον ἐκκαίει καὶ ξηραίνει. Ὅκου δὲ ἂν τὸ κολλῶδες ξυνέῃ τῷ ψυχρῷ, ἄνευ τοῦ λιπαροῦ, οὐκ ἐθέλει ἐκκαίεσθαι, ἀλλὰ τῷ χρόνῳ θερμαινόμενον πήγνυται.

Ὁ δὲ ἐγκέφαλός ἐστι μητρόπολις τοῦ ψυχροῦ καὶ τοῦ κολλώδεος. τὸ δὲ θερμὸν τοῦ λιπαροῦ μητρόπολις. θερμαινόμενον γὰρ τὸ πρῶτον πάντων διαχεόμενον, λιπαρὸν γίνεται. Καὶ διὰ τοῦτο ὁ ἐγκέφαλος, ὅτι ὀλίγιστον ἔχει τὸ λιπαρὸν, τοῦ δὲ κολλώδεος πλεῖστον, οὐ δυνάται ἐκκαυθῆναι ὑπὸ τοῦ θερμοῦ, ἀλλ' ἐν τῷ χρόνῳ χιτῶνα μήνιγγα παχείην ἔλαβεν. Περὶ δὲ τὴν μήνιγγα ὀστέα, ὁκόσον τὸ θερμὸν ἐκράτησεν, καὶ ἐν ὅσοισι τοῦ λιπαροῦ ἐνῆν.

Καὶ ὁ μυελὸς ὁ καλεόμενος νωτιαῖος, καθήκει ἀπὸ τοῦ ἐγκεφάλου, καὶ οὐκ ἔστιν ἐν αὐτῷ τοῦ λιπαροῦ ἢ τοῦ κολλώδεος πολὺ, ὥσπερ καὶ τῷ ἐγκεφάλῳ· Διὰ τοῦτο οὐκ ἂν δικαίως καὶ αὐτῷ εἴη μυελὸς οὔνομα· οὐ γὰρ ὁμοίως τῷ ἄλλῳ μυελῷ ὡς ἐν τοῖσιν ἄλλοισιν ὀστέοισιν ἐνῆ· μοῦνος γὰρ μήνιγγας ἔχει,

ὁ δὲ

gidiſſima facta. Quotquot verò pingue & viſcidum ex æquo habuere, ea oſſa ſpongioſa euaſere. Horum autem omnium hæc videtur ratio: frigidum cógit; calidum verò fundit, quin etiam longâ die exſiccat. Sin pinguedinis quid affuerit, citiùs exurit & ſiccat. Quodſi viſcoſum acceſſerit frigido abſque pinguedine, exuri nequit, ſed tempore incaleſcens cogitur.

At cerebrum domicilium atque metropolis eſt frigidi & viſcidi. At calidum, ipſius pinguis metropolis eſt. Id enim quod calore perfunditur primùm omnium cùm diffunditur pingue euadit. Hinc eſt quòd cerebrum, cùm minimum habeat pinguis, plurimum verò viſcoſi, à calido torreri nequeat, ſed ductu tempo- ris, membranam meningem craſſam accepit. Circum membranam verò oſſa extitere, ex ea parte quantam calidum euicit, cùm in ea pingue ineſſet.

Sed & medulla ſpinalis appellata à cerebro dimanat, cui neque pinguis neque viſcoſi plurimum ineſt, vt etiam nec cerebro: Et propterea neque nomen medullæ ei meritò datum fuit: cùm nulli alteri reliquorum oſſium medullæ ſimilis ſit: ſola enim membranas habet, quas alia

f medul-

ὁ δὲ ἄλλος οὐκ ἔχει. Τεκμήρια δὲ τουτέων σαφέα, εἴ τις ἐθέλοι ὀπτᾷν νευρώδεά τε καὶ κολλώδεα, καὶ τὰ ἄλλα * δὲ τὰ μὲν ἄλλα ταχὺ ὀπτᾶται, τὰ δὲ νευρώδεά τε καὶ κολλώδεα οὐκ ἐθέλει ὀπτᾶσθαι. ἐλάχιστον γὰρ ἔχει τοῦ λιπαροῦ· τὸ δὲ πιότατον καὶ λιπαρὸν τάχιστα ὀπτᾶται.

Τὰ δὲ σπλάγχνα ὧδέ μοι δοκεῖ ξυστῆναι. Περὶ μὲν οὖν τῶν φλεβῶν εἴρηταί μοι πρότερον. Ἡ δὲ καρδίη πολὺ τοῦ κολλώδεος καὶ τοῦ ψυχροῦ ἔχει· Καὶ ὑπὸ τοῦ θερμοῦ θερμαινόμενον, κρέας ἐγένετο σκληρὸν καὶ γλίσχρον, καὶ μήνιγξ περὶ αὐτὴν, καὶ ἐκοιλάνθη, οὐχ ὥσπερ φλέβες· Καὶ ἔστιν ἐπὶ τῆς κεφαλῆς τῆς φλεβὸς τῆς κοιλοτάτης.

Δύο γάρ εἰσι κοῖλαι φλέβες ἀπὸ τῆς καρδίης· τῇ μὲν οὔνομα ἀρτηρίη, τῇ δὲ κοίλη φλέψ, πρὸς ᾗ ἡ καρδίη ἐστίν: Καὶ πλεῖστον ἔχει τοῦ θερμοῦ ἡ ἀρτηρίη ᾗ ἡ κοίλη φλέψ, καὶ ταμιεύει τὸ πνεῦμα. Πρὸς δὲ τούτοισι τῶν φλεβῶν ἄλλαι κατὰ τὸ σῶμα. Ἡ δὲ κοιλοτάτη φλέψ, πρὸς ᾗ ἡ καρδίη, διὰ τῆς κοιλίης ἁπάσης διήκει, καὶ διὰ τῶν φρενῶν, καὶ σχίζεται ἐς ἑκάτερον τῶν νεφρῶν· Καὶ ἐπὶ τῇ ὀσφύϊ σχίζεται, καὶ ἀΐσσει ἐπί τε τὰ ἄλλα, καὶ ἐς ἑκάτερον σκέλος. Ἀτὰρ καὶ ἄνωθεν τῆς καρδίης πρὸς τὸν αὐχένα, τὰ

μὲν

medulla non habet. Signa horum ac argumenta lucida erunt, ſi quis neruoſa & viſcoſa cremare velit: cùm cætera cuncta citò aſſentur, neruoſa tamen & viſcoſa aſſari nequeunt, quia parum pinguedinis habent: E contra, pinguiſſimum & vnguinoſum celerrimè aſſatur.

At viſcera hoc modo fabricata eſſe videntur. Et de venis quidem iam diximus. Cor autem plurimum viſcidi & frigidi habet: & à calido calfactum, caro euaſit dura & viſcoſa, & membrana circum ipſum, & cauum factum eſt, ſed alio modo quàm venæ: & ſitum eſt in capite venæ cauæ.

Duæ enim ſunt cauæ venæ à corde: alteri enim nomen eſt arteria, alteri vena caua, ad quam cor ſitum eſt. Et plus calidi in ſe continet arteria quàm vena caua, & ſpiritum alternatim condit atque promit. Præter has autem duas venas etiam aliæ corpori inſunt. Cauiſſima autem vena, ad quam ſtabulatur cor, per totum ventrem tranſit, & per diaphragma, & in vtrumque renem finditur: & in lumbis finditur, & peruadit tum in alias partes, tum in vtrumque crus. Sed etiam ſupra cor ad ceruicem, partim dextra,

μὲν ἐπὶ δεξιὰ, τὰ δ' ἐπ' ἀριστερά. Καὶ τό τε ἐπὶ τὴν κεφαλὴν ἄγει, καὶ ἐν τοῖς κροτάφοισι σχίζεται ἑκατέρη.

Ἔστι δὲ καὶ ἀριθμῷ εἰπεῖν τὰς φλέβας τὰς μεγίστας. Ἔνι δὲ λόγῳ ἀπὸ τῆς κοίλης φλεβὸς, καὶ ἀπὸ τῆς ἀρτηρίης ἄλλαι φλέβες ἐσχισμέναι εἰσὶ κατὰ πᾶν τὸ σῶμα. Κοιλόταται δὲ αἱ πρὸς τῇ καρδίῃ, καὶ τῷ αὐχένι, καὶ τῇ κεφαλῇ, καὶ κάτωθεν τῆς καρδίης μέχρι τῶν ἰσχίων. Καὶ τὸ θερμὸν πλεῖστον ἐνὶ τῇσι φλεψὶν καὶ τῇ καρδίῃ. Καὶ διὰ τοῦτο πνεῦμα ἡ καρδίη ἔχει, θερμὴ ἐοῦσα μάλιστα τῶν ἐν τῷ ἀνθρώπῳ. Ῥηΐδιον δὲ τοῦτο καταμαθεῖν, ὅτι θερμόν ἐστι τὸ πνεῦμα. Ἡ καρδίη καὶ αἱ κοῖλαι φλέβες κινέονται αἰεὶ, καὶ τὸ θερμότατον πλεῖστον ἔνι ἐν τῇσι φλεψίν. Καὶ διὰ τοῦτο πνεῦμα ἡ καρδίη ἕλκει, θερμὴ ἐοῦσα μάλιστα τῶν ἐν τῷ ἀνθρώπῳ.

Ἔστι δὲ καὶ ἄλλως γνῶναι· Πῦρ εἴ τις θέλει καίειν ἐν οἰκήματι, ὁκόταν ἄνεμος μὴ εἰσπνέῃ, φλὸξ κινέεται, τοτὲ μὲν μᾶλλον, τοτὲ δὲ ἧσσον. Καὶ λυχνὸς καιόμενος τὸν αὐτὸν τρόπον κινέεται, τοτὲ μὲν μᾶλλον, τοτὲ δὲ ἧσσον ἀνέμου οὐδενὸς κινέοντος, ὅν τινα καὶ ἡμεῖς οἷοί τε ἐσμὲν γινώσκειν πνέοντα. Καὶ τροφή ἐστι τῷ θερμῷ τὸ ψυχρόν. Τὸ δὲ παιδίον ἐν τῇ γαστρὶ ἐὸν συνέχον τὰ χείλεα

μύζει

partim ſiniſtra. Mox in caput aſcendit, & in tempora ſinditur vtraque.

Poſſunt autem numero recenſeri venæ inſigniores. Vt breuiter dicam, à vena caua, & ab arteria reliquæ venæ toto corpore fuſæ ſunt. Cauiſſimæ autem ſunt prope cor, & ceruicem, & caput, & infra cor ad coxendices vſque. Calidum autem vberrimum venis & cordi ineſt. Et propterea ſpiritum cor habet, vtpoté quod omnium membrorum intra hominem calidiſſimum ſit. Facile autem eſt intelligere, quòd ſpiritus caleat. Cor & cauæ venæ perenni feruntur motu, vberrimóque calore circumfluunt venæ: Et propterea ſpiritum cor trahit, cùm omnium quæ in homine ſunt calidiſſimum ſit.

Quod aliter etiam innoteſcere poteſt. Si quis ignem accendat in occluſa domo, vt nullus ventus afflare queat, flamma tamen interim mouebitur nunc vberiùs, nunc minùs. Sed & lucerna accenſa eodem modo mouetur, nunc vberiùs, nunc minùs, à nullo licet agitante vento, quem ſanè nos ſpirantem animaduertere poſſimus. Cæterùm frigidum calido alimentum eſt. At nunc puer in vtero adductis labris ex vtero matris ſugit, & nutrica-

 tum,

μύζει ἐκ τῆς μήτρης τῆς μητρὸς, καὶ ἕλκει τήν τε τροφὴν, καὶ τὸ πνεῦμα τῇ καρδίῃ εἴσω (τοῦτο γὰρ θερμότατόν ἐστιν ἐν τῷ παιδίῳ) ὅταν περ ἡ μήτηρ ἀναπνέῃ. Τοῦτο δὲ καὶ τῷ ἄλλῳ σώματι τὴν κίνησιν παρέχει τὸ θερμὸν, καὶ τοῖς ἄλλοις πᾶσιν.

Εἰ δέ τις ἐρωτοίη, πῶς τοῦτο οἶδέ τις, ὅτι ἐν τῇ μήτρῃ τὸ παιδίον ἕλκει καὶ μύζει· τάδε αὐτῷ ἐστιν ἀποκρίνασθαι. Κόπρον ἔχοντα ἐν τοῖσιν ἐντέροισιν γίνεται· καὶ ἀποπατέει ἐπειδὰν γένηται τάχιστα, καὶ οἱ ἄνθρωποι καὶ τὰ πρόβατα. Καίτοι οὐκ ἂν εἶχε κόπρον, εἰ μὴ ἐν τῇσι μήτρῃσιν ἔμυζεν. Οὐδ᾽ ἂν θηλάζειν τὸν μαζὸν ἠπίστατο γενόμενον αὐτίκα, εἰ μὴ καὶ ἐν τῇ μήτρῃ ἔμυζε. Καὶ περὶ μὲν κινήσιος τῆς καρδίης καὶ τῶν φλεβῶν οὕτως ἔχει.

Ὁ δὲ πνεύμων πρὸς τῇ καρδίῃ ἐγένετο ὧδε. Τοῦ ὑγροῦ ὁκόσον ἦν κολλωδέστατον ἡ καρδίη θερμαίνουσα, ταχὺ ἐξήρανεν, ὥσπερ ἀφρὸν, καὶ ἐποίησεν σηραγγώδεα, καὶ φλέβια πολλὰ ἐν αὐτέῳ. Διὰ δὲ τοῦτο ἐποίησεν τὰ φλέβια· ὁκόσον ἐν τῷ κολλώδει ἦν ψυχρὸν, τοῦτο μὲν ὑπὸ τοῦ θερμοῦ διετάκη, καὶ ἐγένετο ὑγρόν· τὸ δὲ ἀπὸ τοῦ κολλώδεος αὐτοῦ ἐγένετο χιτών.

Τὸ δὲ ἧπαρ ὧδε ξυνέστη· ξὺν τῷ θερμῷ πολὺ τοῦ ὑγροῦ ἀποληφθὲν, ἄνευ τοῦ κολ-

λώδεος

tum, & ſpiritum cordi (quod in puero feruentiſſimum eſt) attrahit, matre reſpirante. Quin calidum & reliquo corpori, & cunctis aliis motum præbet.

Si verò quis interroget, vnde quis hoc ſciat, quòd puer in vtero trahit & ſugit: huic ita reſpondendum. Pueri naſcuntur ſtercus in inteſtinis habentes; & quamprimùm nati fuerint tum homines tum pecora ilicò aluum deponunt. Atqui nullum haberent ſtercus, niſi in vtero ſuxiſſent. Imò neque mammam ilicò vt natum eſt animal ſugere noſſet, ſi non in vtero ſuxiſſet. Et de motu cordis & venarum hoc modo ſe res habet.

Porrò pulmo iuxta cor ita natus eſt. Cor, humidum quod viſcoſum maximè erat calfaciens, promptè exſiccauit, velut ſpumam, fecítque fiſtuloſum, & venulas multas in ipſo. Hac autem auctore causâ venulas fecit: quantum in glutinoſo inerat frigidi, id ipſum à calido colliquatum eſt, & in liquorem abiit: à glutinoſo autem tunica facta eſt.

At hepar ſic compactum eſt: Cùm vnà cum calido multum humidi concluſum

 eſſet,

λώδεος καὶ τοῦ λιπαροῦ, ἐκράτησε τὸ ψυχρὸν τοῦ θερμοῦ, καὶ ἐπάγη. Τεκμήριον δέ μοι τόδε· Ὁκόταν σφάξῃ τις ἱερεῖον, τέως μὲν ἂν θερμὸν ᾖ, ὑγρόν ἐστι τὸ αἷμα· ἐπειδὰν δὲ ψυχθῇ, ἐπάγη. Ἢν δέ τις αὐτὸ τινάσσει, οὐ πήγνυται· αἱ γὰρ ἶνες εἰσὶ ψυχραὶ καὶ κολλώδεες.

Ὁ δὲ σπλὴν συνέστη ὧδε· σὺν τῷ θερμῷ καὶ κολλώδει, καὶ τοῦ θερμοῦ πλεῖστον, τοῦ δὲ ψυχροῦ ἐλάχιστον, τοσοῦτον μόνον, ὁκόσον πῆξαι τὸ κολλῶδες αὐτό· ὅ εἰσιν αἱ ἶνες αἱ ἐνεοῦσαι ἐν τῷ σπληνί· καὶ διὰ τὰς ἶνας ταύτας μαλακός ἐστιν ὁ σπλὴν καὶ ἰνώδης. Οἱ δὲ νεφροὶ ξυνέστησαν ὧδε. ὀλίγον τοῦ κολλώδεος, τοῦ θερμοῦ ὀλίγον, τοῦ ψυχροῦ πλεῖστον, καὶ ἐπάγη ὑπὸ τούτου, καὶ ἐγένετο σκληρότατόν τι τῶν σπλάγχνων, καὶ ἥκιστα ἐρυθρὸν, ὅτι οὐ πολὺ τοῦ θερμοῦ ξυνέστη.

Ὁ δὲ αὐτὸς λόγος καὶ περὶ τῶν σαρκῶν. Τὸ μὲν ψυχρὸν ἔπηξε καὶ ξυνέπηξε, καὶ ἐποίησε σάρκα· τὸ δὲ κολλῶδες, τρῶγλαι ἐγένοντο. Ἐν δὲ τῇσι τρώγλῃσι ταύτῃσι τὸ ὑγρὸν, ὥσπερ γὰρ ἐν τῇσι φλεψὶ τῇσι μεγάλῃσιν. Τὸ δὲ θερμὸν ἐν παντὶ τῷ σώματι πλεῖστον* δὲ τῷ σώματι, καὶ τοῦ ψυχροῦ πολὺ ἐν τῷ ὑγρῷ. Τοσοῦτο δέ ἐστι τοῦ ψυχροῦ, ὁκόσον δύναται πῆξαι τὸ ὑγρὸν,

ἀλλὰ

eſſet, abſque viſcoſo & pingui, frigidum ſuperauit calidum, & congelatum eſt. Signum ſyllogiſticum hoc huius rei eſt: Si quis victimam mactet, quamdiu calidus manet, liquidus etiam ſanguis eſt: quamprimùm verò perfrixit, congelaſcit. Quòd ſi quis ipſum conquaſſet, non congelaſcet: fibræ enim frigidæ ſunt & glutinoſæ.

Splen autem hoc modo formatus eſt: cum calido & viſcoſo concluſum fuit calidi plurimum, at frigidi minimum, tantum ſaltem, quantum ad viſcoſi coagulationem ſat erat: ſunt autem id fibræ quæ ſpleni inſunt; propter quas mollis eſt ſplen, & fibroſus. Renes verò hoc modo producti ſunt. Parum viſcoſi, parum calidi, plurimum frigidi concluſum fuit, & ab hoc coagulatum eſt, & duriſſimum viſcus euaſit, & minimè rubrum, quòd non plurimum calidi ad eius generationem conuenit.

Eadem de carnibus ratio eſt. Frigidum quidem coëgit & coagulauit ac fecit carnem: viſcoſum verò in foramina abiit. In his autem foraminibus humidum ineſt, velut in venis magnis. Calidum autem in toto corpore eſt; plurimùm verò & humidi in corpore eſt, & frigidi multum in humido. tantum ſcilicet adeſt frigoris, quod congelare ipſum humidum poſſit,

niſi

ἀλλὰ τετίηνται, ὥστε διακέχυται ὑπὸ τοῦ θερμοῦ.

Ἡ δὲ ἀπόδειξις τοῦ ὑγροῦ ὅτι θερμόν ἐστιν· Εἴ τις ἐθέλοι τάμνειν τοῦ ἀνθρώπου τοῦ σώματος, ὅκου ἐθέλοι, ῥεύσεται αἷμα θερμόν· καὶ τέως μὲν ἂν θερμὸν ᾖ, ὑγρόν ἐστιν· ἐπειδὰν δὲ ψυχθῇ, ὑπό τε τοῦ ἐνεόντος ψυχροῦ, καὶ τοῦ ἐκτὸς, ἐγένετο δέρμα καὶ ὑμήν. Καὶ εἴ τις ἀφελὼν τοῦτο τὸ δέρμα, ἐάσειεν ὀλίγου χρόνου ὄψεται ἄλλο δέρμα γινόμενον. Εἰ δὲ τις τοῦτο αἰεὶ ἀφαιρεῖ, ἄλλο δέρμα γίνοιτ᾽ ἂν πρὸς τοῦ ψυχροῦ. Τοῦτο δὲ εἵνεκα πλείω ἔλεξα, τέως ἀποδείξω, ὅτι τὸ ἔσχατον τοῦ σώματος πρὸς τὸν ἠέρα, ἀναγκαίως ἔχει δέρμα γενέσθαι, ὑπὸ τοῦ ψυχροῦ καὶ τῶν πνευμάτων προσβαλλόντων.

Τὰ δὲ ἄρθρα ὧδε ἐγένετο. ὅτι τὰ ὀστέα ξυνιώσατο, ὁκόσα μὲν αὐτέων λιπαρὰ ἦν, τάχιστα ἐξεκαύθη, ὥσπερ πρόσθεν λέλεκται ἐν τῷ προτέρῳ λόγῳ. ὁκόσοι δ᾽ αὐτέων κολλώδεες ἦν, τοῦτο δὲ οὐκ ἠδυνάσατο ἐκκαυθῆναι. ἀλλὰ μεταξὺ ἀπολειφθὲν τοῦ καιομένου ξηραινομένου ἀπὸ τοῦ θερμοῦ, νεῦρα καὶ σίαλον ἐγένετο. Τὸ δὲ σίαλον, ὁκόσον τοῦ κολλώδεος ὑγρότατον ἦν, τόδε θερμαινόμενον, παχύτερον ἐγένετο ὑγρὸν ἐόν, καὶ ἀπὸ τούτου σίαλον ἐγένετο. Οἱ δὲ ὄνυχες ἀπὸ τούτου ἐγένοντο τοῦ κολλώδεος. Ἀπὸ γὰρ τῶν

ὀστέων

niſi triumpharetur à calido, à quo etiam diffunditur.

Quod verò humidum calidum ſit, hoc argumento eſt. Si quis vulnus humano corpori inflixerit, vbicumque velit, effluet ſanguis calidus: qui quamdiu calidus fuerit, liquidus erit. Poſtquam verò refrixit, tum à frigore quod intus eſt, tum ab eo qui à foris eſt, pellicula & membrana obtegitur. Quam ſi auferat, & modico tempore ſinat in quiete eſſe, aliam pelliculam factam videbit. Quam ſi rurſus repetitis vicibus auferat, ſemper recentem membranam à frigore generari animaduertet. Sed ea cauſa prolixius hæc dixi, vt oſtendam, quòd corporis ſuperficies aëri expoſita, neceſſariò pelliculam contrahit occurſu frigidi & ventorum.

Verùm articuli ita generati ſunt: cùm oſſa fierent, quæcumque partes pingues erant, celerrimè torrefactæ ſunt, vt primùm ſuperiore ſermone enarrauimus. Quod verò in illis viſcoſum erat, torreri non potuit, ſed id medio loco inter retorridum & calfactum reſtibile relictum, & à calido comprehenſum, in neruos & muccum abiit. Muccus autem hoc modo natus fuit: quantum ex viſcoſo liquidiſſimum erat, id, ardore concepto, craſſius euaſit, cùm liquidum eſſet, & inde muccus genitus fuit. Ex hoc ipſo autem glutinoſo vngues procreati ſunt. Ab oſ-

ſibus

ὀστέων καὶ τῶν ἄρθρων αἰεὶ τὸ ὑγρότατον αὐτέου ἀπὸ τοῦ κολλώδεος γίνεται, ἀπὸ τοῦ θερμοῦ ξηραινόμενον, καὶ ἐξαυαινόμενον θερμάζει εἰς ὄνυχας.

Οἱ δὲ ὀδόντες ὕστερον γίνονται, διὰ τόδε. Τῶν ὀστέων τῶν ἐν τῇ κεφαλῇ καὶ ταῖν γνάθοιν ἡ αὔξησις γίνεται τοῦ κολλώδεος, τοῦ λιπαροῦ τὸ ἐνεὸν ὑπὸ τοῦ θερμοῦ ξηραινόμενον ἐκκαίεται, καὶ γίνονται ὀδόντες σκληρότεροι τῶν ἄλλων ὀστέων, ὅτι οὐκ ἔστι τοῦ ψυχροῦ. Καὶ οἱ μὲν πρῶτοι ὀδόντες φύονται ἀπὸ τῆς διαίτης ἐν τῇ μήτρῃ· καὶ ἐπὴν γένηται, ἀπὸ τοῦ γάλακτος θηλάζοντι τῷ παιδίῳ. Ἐπειδὰν δὲ οὗτοι ἐκπέσωσιν, ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν. Ἐκπίπτουσι δὲ, ἐπειδὰν ἑπτὰ ἔτεα ᾖ τῆς πρώτης τροφῆς· ἔστι δὲ καὶ οἷς πρότερον, ἢν ἀπὸ νοσηρῆς τροφῆς φύσωσι· τοῖς δὲ πλείστοισιν, ἐπειδὰν ἑπτὰ ἔτεα γένηται. Οἱ δὲ μεταφύντες συγκαταγηράσκουσιν, ἢν μὴ ὑπὸ νούσου διαφθαρῶσι. Διὰ δὲ τοῦτο φύονται οἱ ὀδόντες ὕστερον τῶν ἄλλων.

Ἐν τῇ γνάθῳ φλέβες εἰσὶ, καὶ ἐν τῇ κάτω κοιλίῃ, μοῦνοι τῶν ὀστέων, αὗται τὴν τροφὴν παρέχουσι τῷ ὀστέῳ. Τὰ δὲ ὀστέα, τοιαύτην αὔξησιν, ὁποῖα περ ἐστίν. Καὶ τὰ ἄλλα δὲ πάντα τοιαύτην ἀποδίδωσιν αὔξησιν, ὁποῖα αὐτά ἐστιν. Καὶ γὰρ αἱ φλέβες ἐν τῷ

ſibus enim & articulis perpetuò id quod eis peculiare eſt madidiſſimum abiens, viſcoſum euadit, & à calido ſiccatum & arefactum, foras in vngues excluditur.

Dentes verò poſteà gignuntur, ob hanc cauſam. Ex oſſibus capitis & maxillarum incrementis augeſcit viſcoſum, & quicquid ex pingui ineſt, à calido ſiccatum torretur, & fiunt dentes, reliquis oſſibus duriores, quia nihil frigidi ineſt. Et primi quidem dentes puero pullulant tum ex victu in vtero; tum poſtquam natus fuerit ex lacte, iam lactenti puero. Vbi verò hi exciderint, tum demum ex cibo & potu. Excidunt autem poſtquam ad annos primi alimenti peruenerint: quibuſdam etiam priùs, ſi à nutricatu morbido nati fuerint: pleriſque verò poſt ſeptimum ætatis annum. Qui verò poſteà enaſcuntur vnà conſeneſcunt, niſi vi morbi corrumpantur. Propterea autem dentes ſeriùs aliis partibus enaſcuntur.

In maxilla venæ ſunt, & hæ huic oſſi ſoli, inter omnia oſſa, ex inferno ventre alimenta præbent. Oſſa verò talem materiam augmento idoneam exhibent, qualia exiſtunt: Vt etiam reliqua cuncta tale augmentum præbent, qualia ipſa exiſtunt. Etenim venæ ex ventre ac inteſti-

 nis

ἐκ τῆς νηδύος τῶν ἐντέρων εἰς ἃ συλλέγεται τὰ σιτία καὶ τὰ ποτὰ, ἐπειδὰν θερμανθῇ ταῦτα, ἕλκουσι τὸ λεπτότατον καὶ τὸ ὑγρότατον. Τὸ δὲ παχύτατον αὐτέου καταλείπεται, καὶ γίνεται κόπρος ἐν τοῖσιν ἐντέροισι, τοῖσι κάτω. Τὸ δὲ λεπτότατον αἱ φλέβες ἕλκουσιν ἐκ τῆς νηδύος καὶ τῶν ἐντέρων τῶν ἄνωθεν τῆς νήστιος, θερμαινομένων τῶν σιτίων. Ἐπὴν δὲ περήσῃ τὴν νῆστιν, ἐς τὰ κάτω ἔντερα ξυνεστράφη, καὶ κόπρος ἐγένετο.

Ἡ δὲ τροφὴ ἐπειδὰν ἀφίκηται ἑκάστοισι τοιαύτην ἀπέδωκε τὴν ἰδέην ἑκάστου, ὁκοία περ ἦν. Ἀρδόμενα γὰρ ὑπὸ τῆς τροφῆς αὔξεται ἕκαστα, τὸ θερμὸν καὶ τὸ ψυχρὸν, καὶ τὸ κολλῶδες, καὶ τὸ λιπαρὸν, καὶ τὸ γλυκὺ, καὶ τὸ πικρὸν, καὶ τὰ ὀστέα, καὶ τὰ ἄλλα ξύμπαντα ὁκόσα ἐν τῷ ἀνθρώπῳ ἐστί. Διὰ τοῦτο ὕστερον οἱ ὀδόντες φύονται (εἴρηται δέ μοι καὶ πρότερον) ὅτι μοῦναι τῶν ὀστέων αἱ γνάθοι φλέβας ἔχουσιν αὐταὶ ἐν ἑωυτοῖσι. Καὶ διὰ τοῦτο τροφὴ ἕλκεται πλέον ἢ εἰς τὰ ἄλλα ὀστέα. Καὶ πλείονα τὴν τροφὴν ἔχοντα, καὶ ἀθροωτέρην τὴν ἐπιρροὴν, ἀπολίπτῃ αὔξησιν αὐτὰ ἐφ' ἑωυτέων τοιαύτην, οἵηπερ ἐστὶν αὐτά· τέως ἂν περ καὶ ἄνθρωπος ὅλος αὐξάνηται.

Αὐξάνεται δὲ ἐπὴν γένηται ἐπίδηλος. Ἐπίδηλος δὲ μάλιστα γίνεται ἀπὸ ἑπταετέος μέχρι

nis in quibus ſtabulantur cibi & potus, qui poſtquam incaluerunt, id quod tenuiſſimum & liquidiſſimum eſt trahunt. Quod autem in eo craſſiſſimum eſt reſtibile, ibi in fæces abit in inferioribus inteſtinis. Tenuiſſimum, inquam, trahunt venæ ex ventre ac inteſtinis, ſupra ieiunum inteſtinum exiſtentibus, poſteaquam cibi incaluerint. Vbi verò ieiunum inteſtinum tranſierint, & in inferioribus inteſtinis conſociati fuerint, fæces fiunt.

Nutrimentum verò poſtquam partes nutriendas attigerit, talem vnumquodque ideam vnicuique imprimit, quale ipſum fuerit. Irrigata enim ſingula à nutricatu incrementis augeſcunt, & calidum, & frigidum, & viſcoſum, & pingue, & dulce, & amarum, & tum oſſa, tum quæcumque homini inſunt. Hinc itaque eſt, quòd dentes poſteriùs etiam naſcuntur (quod priùs etiam dixi) quia ſolæ ex oſſibus maxillæ ipſæ in ſeipſis venas habent: vt proinde alimentum vberius in ipſas quàm in alia oſſa trahatur. Cúmque vberiorem nutricatum, & pleniorem affluxum habeant, materiam incrementis opportunam ipſæ à ſeipſis talem exhibent, quales ipſæ exiſtunt: tamdiu, quamdiu homo ad integritatem ſuam creſcit.

Creſcit autem, quamdiu ſenſu creſcere deprehenditur. Senſu autem creſcere potiſſimùm deprehenditur à ſeptimo vſ-

μέχρι τεσσαρεσκαιδεκαταῖος. Καὶ ἐν τῷ ἑ-τέρῳ τῷ χρόνῳ οἵ τε μέγιστοι τῶν ὀδόντων προ-φύονται, καὶ ἄλλοι πάντες· ἐπὴν ἐκπέσω-σιν, οἱ ἐγένοντο ἀπὸ τῆς τροφῆς τῆς ἐν τῇ μήτρῃσιν. Αὐξάνεται δὲ καὶ ἐς τὴν τρίτην ἑβδομάδα, ἐν ᾗ νεηνίσκος γίνεται, μέχρι τεσσάρων καὶ πέντε ἑβδομάδων. Καὶ ἐν τῇ τετάρτῃ ἑβ-δομάδι ὀδόντες φύονται δύο τοῖσι πολλοῖσι τῶν ἀνθρώπων, οὓς καλέονται σωφρονιστῆρες.

Αἱ δὲ τρίχες φύονται ὧδε. ὀστέα εἰσὶ καὶ ἐγκέφαλος, ἀφ' ὧν ἡ τοιαύτη αὔξησις, ὅτι τοῦ περιέξ κολλώδεος (ὅπως περ τοῖσιν ὑδά-ρεσιν·) καὶ τοῦ λιπαροῦ ἐὰν ἔνεστιν. Εἰ γὰρ ἐνῆν τοῦ λιπαροῦ, ἐξεκαίετο ἂν ἐκ τοῦ θερμοῦ. Τάχα δὲ θαυμάσειεν ἄν τις, ὅτι καὶ ἐν τῇσι μασχάλῃσι καὶ ἐν τῷ ἐπισείῳ τρίχες πολλαί, καὶ ἐν τῷ σώματι πάντι εἰσίν. Οἷσιν ὁ αὐτὸς λόγος περὶ τουτέου· ὅπου τυγχάνει τοῦ σώματος τὸ κολλῶδες ὄν, ἐνταῦθα αἱ τρίχες γίνονται ὑπὸ τοῦ θερμοῦ.

Ἀκούει δὲ διὰ τόδε. Τὰ τρήματα τῶν ὤτων προσήκει πρὸς ὀστέον σκληρόν τε καὶ ξηρὸν ὅμοιον λίθῳ. Τοῦτο δὲ πέφυκε πρὸς ὀστέον κοίλωσις σπηλαιώδης. Οἱ δὲ ψόφοι, ἀπερείδονται πρὸς τὸ σκληρόν· τὸ δὲ ὀστέον τὸ κοῖλον ἐπηχεῖ διὰ τοῦ σκληροῦ. Τὸ δέρμα τὸ πρὸς τῇ ἀκοῇ πρὸς τῷ ὀστέῳ τῷ σκληρῷ λεπτόν ἐστιν ὥσπερ ἀράχνιον, ξηρότατον τοῦ

ἄλλου

que ad decimumquartum annum. Quo tempore maximi dentium, tum cæteri cuncti naſcuntur, poſteaquam exciderint hi qui ab alimento vterino ſunt nati. Creſcit autem & in tertium annorum ſeptenarium, in quo adoleſcens fit, vſque ad quartum & quintum ſeptenarium. Quin & in quarto ſeptenario dentes pullulant pleriſque hominibus duo, qui ſapientiæ dentes appellantur.

Verùm capilli ita naſcuntur. Ab oſſibus & cerebro tale incrementum oritur, nimirùm à glutinoſa circumflua materia (vt iam de neruis etiam diximus) & pinguedine omni fraudato. Si enim pinguedo affuiſſet, à calido certè exuſta fuiſſet. Fortaſſis quis admirabitur, cur ſub alis & in pube pili multi, quin & toto corpore quibuſdam efflореſcant. Quibus ita reſpondemus: Vbicumque in corpore glutinoſum eſt, ibi pili à calore effinguntur.

Auditus autem hoc modo fit. Foramina aurium ad os durum & ſiccum, lapidi æmulum, peruadunt. Ad ipſum autem os eſt cauitas antroſa. Soni autem ad id quod durum eſt alliduntur: os verò cauum, per ipſum durum, ſonum concipit. Pellicula etiam in aure iuxta os durum tenuis eſt, velut aranei tela, om-

ἀλλὰ δέρματος. Τεκμήρια δὲ πολλά, ὅτι ξηρότατον ἠχεῖ μάλιστα. Ὅταν δὲ μέγιστον ἠχήσῃ, μάλιστα ἀκούομεν. Καί ἐστί τινες οἳ ἔλεξαν, φύσιν ξυγγράφοντες, ὅτι ὁ ἐγκέφαλός ἐστιν ὁ ἠχέων. Τοῦτο δὲ οὐκ ἂν γένοιτο. Αὐτός τε γὰρ ὁ ἐγκέφαλος ὑγρός ἐστιν, καὶ μῆνιγξ περὶ αὐτόν ἐστιν ὑγρὴ καὶ παχείη, καὶ περὶ τὴν μήνιγγα ὀστέα. οὐδὲν οὖν τῶν ὑγρῶν ἠχεῖ, ἀλλὰ ξηρά. Τὰ δὲ ἠχέοντα, ἀκοὴν ποιεῖ.

Ὀσφραίνεται δὲ ὁ ἐγκέφαλος ὑγρὸς ἐὼν, αὐτὸς τῶν ξηρῶν ἕλκων τὴν ὀδμὴν ξὺν τῷ ἠέρι διὰ τῶν βρογχίων ξηρῶν ἐόντων. Προήκει γὰρ ὁ ἐγκέφαλος τῆς ῥινὸς ἐς τὰ κοῖλα· καὶ ταύτῃ αὐτῇ οὐκ ἔστιν ἐπιπροσθεν ὀστέον οὐδὲν, ἀλλὰ χόνδριον μαλακὸν ὅκως περ σπόγγος, οὔτε κρέας οὔτε ὀστέον. Καὶ ὅταν μὲν ξηρὰ ᾖ τὰ κοῖλα τῆς ῥινὸς, ὀσμᾶται τῶν ξηροτέρων αὐτὸς ἑωυτοῦ ἀκριβέστερόν ἐστιν. Ὕδατος γὰρ οὐκ ὀσμᾶται, ὑγρότερον γάρ ἐστι τοῦ ἐγκεφάλου, ἢν μὴ σαπῇ. Σηπόμενον γὰρ τὸ ὕδωρ παχύτερον γίνεται, καὶ τὰ ἄλλα πάντα. Ὁκόταν δὲ ὑγρανθέωσιν αἱ ῥῖνες, οὐ δύνανται ὀσφραίνεσθαι· οὐ γὰρ τὸν ἠέρα ἕλκει αὐτὸς πρὸς ἑωυτόν. Ταύτῃ δὲ καὶ ὅταν ἀποτήκῃ ὁ ἐγκέφαλος πλεῖστον αὐτὸς ἀφ' ἑωυτοῦ ἐς τὴν ὑπερῴην, καὶ τὴν φάρυγγα, καὶ τὸν πνεύμονα, καὶ ἐς τὴν ἄλλην κοιλίην, ῥεύμα-

ου

niúmque pellicularum ſicciſſima. Sylogiſtica ſunt plurima ſigna, quibus comprobari poſſet, ſicciſſima eſſe maximè ſonora. Quum itaque plurimum ſonuit, tunc maximè audimus. Etſi ſint quidam, qui de Natura ſcribentes prodiderunt, quòd cerebrum eſt quod ſonum edit: Hoc tamen fieri nequit. Ipſum enim cerebrum humidum eſt, & membrana cui inuoluitur humida eſt & craſſa, & membranam cingunt oſſa. Et nullum humidum ſonum edit, ſed ſolùm arida. Sonora autem, auditum efficiunt.

Olfacit verò cerebrum humidum exiſtens, aridorum odorem vnà cum aëre per cartilagines attrahens. Cerebrum enim in cauitatem naſi pertingit: atque hac parte nullum ei opponitur os, ſed cartilago mollis velut ſpongia, quam neque carnem, neque os rectè appelles. Vbi itaque ſicca fuerit cauitas naſi, ipſum ſeipſo exactiùs arida olfacit. Aquam enim non olfacit, cùm madidior ſit cerebro, niſi fortè putruerit. Putrefacta enim aqua craſſior euadit, vt & reliqua cuncta. Exaduerſo ſi nares madidæ fuerint, olfacere nequeunt: non enim aëra trahit cerebrum in ſe ipſum. Nec etiam cùm cerebrum ipſum de ſeipſo colliquatam materiam multam, in palatum & fauces, & pulmonem & reliquum ventrem dimiſerit: quod ipſum facilè cognoſcunt homi-

σιν οἱ ἄνθρωποι, καὶ φασὶ καταῤῥέειν ἐκ τῆς κεφαλῆς· καταῤῥέει δὲ καὶ ἐς τὸ ἄλλο σῶμα· καὶ ἔστι τρόπος τῷ θερμῷ.

Ὁρῇ δὲ διὰ τοῦτο. Ἀπὸ τοῦ ἐγκεφάλου τῆς μήνιγγος, φλὲψ καθήκει ἐς τὸν ὀφθαλμὸν διὰ τοῦ ὀστέου ἑκατέρου. Διὰ ταύτην τὴν φλεβῶν ἀπὸ τοῦ ἐγκεφάλου διηθέεται τὸ λεπτότατον τοῦ κολλώδεος αὐτοῦ. Καὶ διὰ τοῦτο αὐτὸ περὶ αὐτὸ δέρμα ποιέει, τοιοῦτον, οἷόν περ αὐτό ἐστι τὸ διαφανὲς τοῦ ὀφθαλμοῦ, τὸ πρὸς τοῦ ἠέρος, πρὸς ὃ προσβάλλει τὰ πνεύματα· κατὰ τὸν αὐτὸν λόγον, ὥσπερ περὶ τοῦ ἄλλου δέρματος ἔλεξα. Πολλὰ δὲ ταῦτ' ἐστὶ τὰ δέρματα, πρὸ τοῦ ὁρέοντος διαφανέος, ὁκοῖόν περ αὐτό ἐστι. Τούτῳ γὰρ τῷ διαφανεῖ ἀνταυγεῖ τὸ φῶς καὶ τὰ λαμπρὰ πάντα· τούτῳ οὖν ὁρῇ τῷ ἀνταυγέοντι. Ὅ,τι δὲ μὴ λαμπρόν ἐστι, μηδὲ ἀνταυγεῖ, τούτῳ οὐχ ὁρῇ. Τὸ δὲ ἄλλο τὸ περὶ τοῦ ὀφθαλμοῦ λευκὸν, κρέας ἐστίν.

Ἡ δὲ κόρη καλεομένη τοῦ ὀφθαλμοῦ, μέλαν φαίνεται διὰ τοῦτο, ὅτι ἐν βάθει ἐστὶν, καὶ χιτῶνες περὶ αὐτό εἰσι μέλανες. Χιτῶνα δὲ καλέομεν, τὸ ἐστὶν ὥσπερ δέρμα· ἔστι δὲ οὐ μέλαν ὄψει, ἀλλὰ λευκὸν διαφανές. Τὸ δὲ ὑγρὸν κολλῶδες. Πολλάκις γὰρ ὀπώπαμεν ἐπὶ συῤῥαγέντος ὀφθαλμοῦ ἐξιὸν ὑγρὸν κολλῶδες· καὶ ἢν μὲν ᾖ ἔτι θερμὸν,

ὑγρὸν

nes, & aiunt diſtillare ex capite: quamuis & in reliquum corpus diſtillare poteſt. & tunc ferè fit caloris commutatio.

Viſus autem ob has fit cauſas: A cerebri membrana, vena in vtrumque oculum per os deſcendit. Per has binas venas, quod eſt viſcoſiſſimi tenuiſſimum, de cerebro percolatur. Hinc ipſam circa ſe tunicam talem efficit, quale eſt ipſum oculi pellucidum, quæ ad aërem vergit, ad quam venti & aër irruunt: eâdem prorſus ratione, vt de aliis tunicis & membranis dixi. Sunt autem plurimæ tunicæ oculi prælucido præpoſitæ, eidémque ſimiles. In hocce enim pellucido, lumen & cuncta ſplendida relucent. Et per hoc relucens fit viſio. Quod verò lucidum non eſt, neque reſplendet, per illud non videt. Aliud autem illud quod circa oculos eſt album, caro eſt.

Iam quæ pupilla oculi dicitur, hanc ob cauſam nigra apparet, quia in profundo conſedit, & tunicæ nigræ circa ipſam ſunt. Tunicam autem vocamus id, quod velut pellicula ineſt, neutiquam nigra, ſi quis ſeorſim inſpiciat, ſed alba & pellucida. Humidum verò oculi viſcoſum eſt. Sæpe enim conſpicimus oculo rupto elabi viſcoſum humorem: qui, dum

calet,

ὑγρόν ἐστιν· Ἐπὴν δὲ ψυχθῇ, ἐγγύς ἐστι ξηρόν, ὥσπερ λιβανωτὸς διαφανής. καὶ τῶν ἀνθρώπων καὶ τῶν θηρίων ὁμοῖόν ἐστι. Τὸν δὲ ὀφθαλμὸν αἰτιῶμαι ὅ,τι ἂν ἐμπίσῃ, καὶ τὰ συνδήματα προσβάλλοντα, καὶ τὰ ἄλλα ὅσα λαμπρότερα ἢ κατ' αὐτόν ἐστι. Καὶ λύπης * ἐγγίνεσθαι, διὰ τόδε, ὅτι ἐμαλακόν ἐστιν. Ὥσπερ τὸ στόμα, καὶ ἡ γλῶσσα, καὶ ἡ ἄλλη κοιλίη, ἔνυγρά ἐστιν.

Διαλέγεται δὲ διὰ τὸ πνεῦμα ἕλκον εἴσω παρ' τὸ σῶμα, τὸ πλεῖστον δὲ ἐς τὰ κοῖλα αὐτὸς ἑωυτῷ. Αὐτὸ δὲ θύραζε ὠθεόμενον διὰ τὸ κενὸν, ψόφον ποιέει. Ἡ κεφαλὴ γὰρ ἐπηχεῖ· ἡ δὲ γλῶσσα, ἀρθροῖ προσβάλλουσα, ἐν τῷ φάρυγγι ἀποφράσσουσα, καὶ προσβάλλουσα πρὸς τὴν ὑπερῴην, καὶ πρὸς τοὺς ὀδόντας, ποιέει σαφηνίζειν. Ἢν δὲ μὴ ἡ γλῶσσα ἀρθροῖ προσβάλλουσα ἑκάστοτε, οὐκ ἂν σαφέως διαλέγοιτο, ἀλλ' ἢ ἕκαστα φύσει τὰ μονόφωνα. Τεκμήριον δέ ἐστι τουτέου οἱ κωφοὶ, οἳ ἐκ γενεῆς οὐκ ἐπίστανται διαλέγεσθαι, ἀλλὰ τὰ μονόφωνα μοῦνον φωνέουσιν. Οὐδ' εἴ τι τὸ πνεῦμα ἐκπνεύσας πειρῷτο διαλέγεσθαι.

Δῆλον δὲ τόδε. Οἱ ἄνθρωποι ὁκόταν βούλωνται μέγα φωνῆσαι, ἕλκοντες τὸ πνεῦμα τὸ ἔξω, ὠθέουσι θύραζε. καὶ φθέγγονται μέγα, ἕως ἂν τέχῃ τὸ πνεῦμα, ἔπειτα δὲ

κατα-

calet, liquidus eſt: dum verò refrixit, ſiccus euadit, inſtar thuris pellucidus: quod ipſum in hominibus, & in brutis ſimiliter ſe habet. Oculum autem affligit quicquid in eum inciderit, & venti irruentes, & cætera quæ validiore ſplendore ipſo micant. Et ſi quis cauſam roget, reſpondere licet, quod conſimilis coloris ſunt. Quemadmodum os & lingua, & reliquus venter, humida ſunt.

Loquendi autem vis hinc oritur: vniuerſum corpus dum abripit intus ſpiritum, plurimum in cauitates ſibi ipſi abducit. Is autem qui foras pellitur per inane, ſtrepitum edit. Caput enim reſonat: lingua verò occurrens articulat, & in faucibus obſtruens, & impingens ad palatum & dentes, claritatem eius facit. Quòd niſi lingua vndiquaque allidens & impingens articularet, non poſſet homo diſtinctè diſſerere, ſed ſingula à natura vnam vocem haberent. Argumento ſunt huic rei muti à primo natali, qui diſſerere nequeunt, ſed vnam tantùm vocem efferunt. Tum etiam ſi quis ſpiritum tantùm efflando loqui conetur.

Exemplo illuſtremus. Homines dum ſtudent altam vocem edere, attrahentes ſpiritum qui foris eſt, eum foras propellunt, & magnam vocem proferunt, quo vſque ſpiritus durat, poſteà verò vox contabe-

καταμαραίνεται τὸ φθέγμα. Καὶ οἱ κιθαρῳδοὶ, ὁκόταν δέῃ αὐτοῖς μακροφωνέειν, ἐπ' ἄκρον ἑλκύσας τις τὸ πνεῦμα ἔσω, πουλὺ ἐκλείπουσι τὴν ἐκφορὴν, καὶ φωνέουσι, καὶ φθέγγονται μέγα, ὡς ἂν τέχωσι τῷ πνεύματι. Ἐπὴν δὲ τὸ πνεῦμα ἐπιλίπῃ, καταπαύονται. Τουλέουσι δῆλον, ὅτι τὸ πνεῦμά ἐστι τὸ φθεγγόμενον. Εἶδον δὲ ἤδη, οἳ σφάζοντες ἑωυτοὺς, ἀπέταμον τὴν φάρυγγα παντάπασιν. Οὗτοι ζῶσι μὲν, φθέγγονται δὲ οὐδὲν, εἰ μή τις συλλάβῃ τὴν φάρυγγα· οὗτοι δὲ φθέγγονται. Δῆλον δὲ καὶ τοῦτο, ὅτι τὸ πνεῦμα οὐ δύναται διατετμημένης τοῦ λάρυγγος ἕλκειν ἔσω ἐς τὰ κοῖλα, ἀλλὰ κατὰ τὸ διατετμημένον ἐκπνέει. Οὕτως ἔχει περὶ φωνῆς ἴσως καὶ διαλέξιος.

Τοῦ περὶ ἀρχῶν τέλος.

tabeſcit. Etiam citharœdi cùm vocem intendere coguntur, ſpiritum quàm plurimum intrò ducentes pronunciationem extendunt, & vociferantur, ac vocem magnam edunt, quantum ſpiritus durarit. Poſtquam verò ſpiritus defecit, ſilent. His patet, quòd ſpiritus eſt qui vocem edit. Vidi præterea quoſdam, qui ſibi ipſis manus inferentes, poſtquam guttur penitùs præſecuiſſent, viuentes quidem, ſed nullam vocem edentes, niſi quis guttur conſtrinxiſſet: nam tum demum ſermonem proferre poterant. Manifeſtum enim hoc eſt, quòd præſecto gutture ſpiritum attrahere nequit intrò in cauitates, ſed per vulneratam partem exit. Et ſanè hoc modo res ſe habet de voce ac ſermone.

Finis Libri De Principiis.

HIPPOCRATIS
COI
DE PVRGATORIIS REMEDIIS,
Græcè, & Latinè,

ex interpretatione

IOHANNIS HEVRNII
Vltraiectini.

Digitized by Google

ΙʹΠΠΟΚΡΑʹΤΟΥΣ
ΚΩʹΟΥ
ΠΕΡΙ` ΦΑΡΜΑʹΚΩΝ.

1 Τὰ περὶ φαρμάκων προήματα τοῦ χοῖα
νομίζεται, ἐστί.
2 Τῷ γὰρ αὐτῷ φαρμάκῳ καθαίρεταί τε καὶ οὐ
καθαίρεται. ἔστι δ᾽ ὅτε δὲ ἄλλα καθαίρει, ἢ
οἷα εἴωθε καθαίρειν, ἐνίοτε δὲ ὑπερκα-
θαίρειν· ἐστὶ δὲ ὅτε καὶ τὰ δέοντα ἐποίησεν.
Ὥστε οὐκ οἷόν τε πιστευθέντα τινὶ φαρ-
3 μάκοισιν, εἰκῇ διδόναι.
Ὑπολαμβάνειν γὰρ χρὴ καὶ τὰ σιτία τὰ
4 τρέφοντα ἡμᾶς, φάρμακα εἶναι, ἥσσω δὲ
ἐκείνων.
Οἱ γὰρ ἄνθρωποι ταῦτα ὀρθῶς μὲν σι-
5 τεόμενοι, ὑγιαίνουσι· μὴ ὀρθῶς δὲ, κά-
μνουσιν.
Ὑπερβαλλόντως δὲ, καθαίρονται μὲν
6 ὥσπερ ἀπὸ τῶν εἰλικρινέων φαρμάκων, ἥσ-
σον δὲ καὶ βραδύτερον τῶν εἰλικρινέων
φαρμάκων.
7 Δῆλον οὖν ὅτι ἐστὶ καὶ ταῦτα φάρμακα.

8 Ὅμως δὲ ταῦτα βραδύτερα καὶ ξυνή-
θη ἐόντα ἡμῖν, ἑκάστην ἡμέρην ἐσιόντα ἐς
τὸ σῶ-

HIPPOCRATIS
COI
DE PVRGATORIIS REMEDIIS.

Pharmacorum purgantium actiones, 1
non vt vulgò exiſtimatur, ita ſe habent.

Ab eodem enim pharmaco quidam 2
nunc purgantur, modò non purgantur: quandoque verò alia excludit, quàm quæ efferre ſolebat: interdum nimium purgat: nonnunquam qualia oportet facit.

Quare non decet, vt quis, pharmacis 3
confiſus, temerè ea exhibeat.

Quin & cibos, quorum nutricatu frui- 4
mur, pharmaca eſſe putandum eſt: non æquè tamen ac medicata.

Homines enim qui commodè horum 5
vſum ineunt, ſalubriter degunt: qui verò ſúſque dèque, ægritudinibus implicantur.

Qui verò paſtum liberiori manu in- 6
eunt, hi purgantur quidem veluti à meris pharmacis: verùm parciùs & cunctantiùs.

Quare elucet & alimenta eſſe pharma- 7
ca purgantia.

Verùm hæc tardiora ſunt, nobiſque 8
familiaria, vtpote quæ cottidiè corpus ingre-

τὸ σῶμα, εἰκῇ καὶ ἀμήχως διδοῦσα, εἰκῇ ταράσσει τὸν ἄνθρωπον, καὶ νοσοποιεῖ πᾶς.

9 Καὶ τὰ εἰλικρινέα, καὶ τὰ ὀξέα, ἢν ἀπαθῶς καὶ ἀπερισκέπτως διδῷ τις, οὐ μᾶλλον διαπράξεσθαί τι σύμφορον.

10 Χρὴ οὖν προειπεῖν διδόναι τοῖσι μὲν χολώδεσιν, ὅ, τι χολὴν καθαίρει· τοῖσι δὲ φλεγματώδεσιν, ὅ, τι φλέγμα· τοῖσι δὲ ὑδρωπιώδεσιν, ὅ, τι ὕδωρ· τοῖσι δὲ μελαγχολώδεσιν, ὅ, τι μέλαιναν χολήν.

11 Ἢν δὲ τούτων ἔξω καθαίρῃς, τὰ μὲν δέοντα οὐ καθαιρεῖς· τὰ δὲ μὴ δέοντα κενώσεις· ὥστ' ἐς ἀμφότερα ἁμαρτάνειν.

12 Ὅταν οὖν μέλλῃς τινὶ φάρμακον διδόναι, ἤν τι κάτω, ἤν τι ἄνω, ἐπερωτᾶν αὐτὸν χρή, εἰ δή τι ἔπιε φάρμακον.

13 Καὶ ὁπότερον ἡ κοιλίη ἐν τοῖσι κατωτερικοῖσι φαρμάκοισιν ὀξεῖα καὶ ὑπακούει ταχέως, ἢ σκληρή.

14 Καὶ ἢν μὲν ὀξεῖα καὶ εὔλυτος ᾖ, μαλακωτέρων τε καὶ ἐλασσόνων τῶν φαρμάκων δεῖ.

15 Ἢν δὲ σκληρὴ εἴη, ἰσχυροτέρων δεῖ.

16 Ὁ αὐτὸς δὲ τρόπος καὶ πρὸς τὰ ἀνωτερικά.

17 Ἢν δὲ μηδέποτε φῇ μήτε ἄνω, μήτε κάτω κεκαθάρθαι, ἢ πεπωκέναι φάρμακον, ἐγχειρέειν χρή, εἰ πρὸς τὰ ἐόντα ὑγιαί-

νοντα

ingrediuntur: ſi tamen temerè exhibeantur, homines turbant, ac morbos acerſunt.

Quare (vt breuiter tranſigam,) qui ſine delectu & temerè cibos dederit, acidos acrésve impermixtos, nihil commodi adferet. 9

Itaque ante omnia biliosis oportet propinare cholagogum pharmacum: pituitoſis phlegmagogum: hydropicis hydragogum: melancholicis melanogogum. 10

Si verò alia quàm hæc purgaueris, quæ quidem excludi debent non purgabis: quæ verò minimè conuenit euacuabis. Quare bis peccabis. 11

Præſcripturus itaque pharmacũ quod vel ſurſum vel deorſum purgat; primùm rogandum, num aliàs pharmacum purgans hauſerit. 12

Et num aluus ex purgatoriis deorſum facile ſe ſoluat, ac citò obediat: vel num dura. 13

Quodſi facilem eſſe aluum lubricámque dixerit, mollioribus paucioribúſque pharmacis opus erit. 14

Sin aluus dura, ſolutúque contumax fuerit, potentiora pharmaca poſtulat. 15

Eadem cautio in ſurſum purgantibus eſt obſeruanda. 16

At ſi nunquam pharmacorum ſurſum ducentiũ, aut aluum ſubducentium vſum ſe iniiſſe affirmet, tum demum exquirendum, num dum ſanus eſſet, officij memor fuerit 17

νοιτο ἄλυτος, ἢ κοιλίη πρὸς τὰ κάτω, ἢ ἀνήμετος πρὸς τὰ ἄνω, καὶ εἰ πρὸς πλευμονίην τινα γινόμενος, ἢ διάῤῥοια ἐπεγένετο αὐτῷ.

18 Ταῦτα πάντα εἰδέναι χρὴ, ὡς ἂν ὁ ἐνθῇς ὀρθῶς βουλεύεσθαι, αἰσχρὰ γὰρ ξυμφορὰ, φάρμακον δόντα ἀνθρώπῳ, ἀποκτεῖναι.

19 Ὁκόσοι μὲν οὖν ὑπὸ πυρετῶν ἰσχυρῶν λαμβάνονται, οὐ χρὴ τούτοισι φάρμακα διδόναι καθαρτήρια, ἔστ' ἂν μεθῇ ὁ πυρετός.

20 Εἰ δὲ μὴ, μὴ ἐν τοῖς τεσσάρεσιν καὶ δέκα ἡμερῶν.

21 Θερμαὶ γὰρ αἵ τε σάρκες ἐοῦσαι αὐτέων, καὶ αἱ κοιλίαι, ἀναλαμβάνουσι τὸ φάρμακον καὶ ἀποκαθαίρονται οὐδέν.

22 Καὶ ὅ τε πυρετὸς γίνεται πλείων, καὶ τὸ χρῶμα ἐκτρέπεται, καὶ ἰκτερώδεες γίνονται.

23 Κινηθείσης γὰρ τῆς χολῆς, καὶ μὴ καθαρθείσης, οὔτε ῥοφέειν θέλει, οὔτε πίνειν, ἀλλὰ πάντα βδελλύσσεται, καὶ ὡς τὰ πολλὰ ἀπόλλυται.

24 Ἢν δὲ καθάρῃ τὸ φάρμακον, τὸ μὲν ἀπὸ μέσου ἡμέρης, οὐδὲν καθαίρεται, ἐκ μέσου δὲ ἡμέρης καθαιρόμενος, ὑπέρινος γίνεται, καὶ ἀπόλλυται.

25 Ἢν ταύτην τὴν ἡμέρην παραγένηται, καὶ ἅμα τῇ καθάρσει μεθῇ ὁ πυρετὸς, ὑγιὴς γίνεται.

Οὐκοῦν

fuerit aluus pro conditione rerum aſ-ſumptarum; & num à rebus quæ in vomitum faciles ſunt, ventriculus facilè ſe in vomitum laxaret; & an à pleniore cibo ſe in fluxum effundere aluus ſoleat.

Cuncta hæc interrogare oportet, quò 18 tutò ei conſulere poſſis: fœda eſt enim calamitas, à pharmaco purgatorio hominem interiiſſe.

Qui validis febribus impliciti iacent, 19 his non ante febris remiſſionem pharmaca dare oportet.

Sin minùs, cunctandum, ſaltem, ne ci- 20 tra decimum quartum diem.

Carnes enim ipſorum & ventres cùm 21 incendio flagrent, pharmaca retrahunt, nihílque purgantur.

Tunc magis incandeſcit febris; colo- 22 rémque auriginoſum ducunt.

Agitatâ perturbatáque bile & non 23 eductâ, neque ſorbere poteſt neque bibere, ſed auerſatur omnia, & plerumque moritur.

Cæterùm ſi pharmacum ſuperârit, an- 24 te meridiem nulla fiet purgatio: à meridie verò ex hypercatharſi perit.

Quodſi hunc diem ſuperauerit, vnáque 25 cum purgatione miteſcat febris, conualeſcit.

Quare

26 Οὐκοῦν δὲ χρὴ τοῖς ἰσχυροῖς τῶν πυρετῶν φάρμακα καθαρτήρια προσφέρειν.

27 Ἀλλ' ἣν τινα δέῃ, ὑποκλύζειν χρή, ὁποσάκις ἂν βούλῃ· ἀκινδυνότερον γάρ.

28 Κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ ἐν τῇ θερινῇ ὥρᾳ, ἀπὸ κυνὸς ἀνατολῆς ἡμέρας πεντήκοντα φυλάσσεσθαι χρὴ μὴ διδόναι φάρμακον, ἀλλὰ κλυσμοῖσι χρέεσθαι· ὁ γὰρ αὐτὸς κίνδυνος.

Περὶ φαρμάκων τέλος.

Quare per validas febres de pharma- 16
cis purgantibus vereri oportet.

Sed tamen vbi res alui ſubductionem 17
poſtulat, enematum vſus, quotieſcumque
viſum fuerit, tutò initur magis.

Eadem hac ratione, æſtate à canis or- 18
tu, quinquaginta dierum ſpacio à phar-
macia cauendum: ſed clyſmis potiùs in-
dulgendum, vbi opus eſt: alioqui idem
diſcrimen inde imminebit.

Finis Libri de Purgatoriis remediis.

Digitized by Google

Digitized by Google

HIPPOCRATIS
COI
DE VETERI MEDICINA,

Græcè, & Latinè,

ex interpretatione

IOHANNIS HEVRNII

Vltraiectini.

Digitized by Google

ἹΠΠΟΚΡΆΤΟΥΣ

ΚΩ͂ΟΥ

ΠΕΡῚ ἈΡΧΑΊΗΣ ἸΗΤΡΙΚΗ͂Σ.

Ὁκόσοι ἐπεχείρησαν περὶ ἰητρικῆς λέγειν ἢ γράφειν, ὑπόθεσιν σφίσιν αὐτέοισιν ὑποθέμενοι τῷ λόγῳ θερμὸν ἢ ψυχρὸν ἢ ὑγρὸν ἢ ξηρὸν ἢ ἄλλ' ὅ, τι ἂν ἐθέλωσιν, ἐς βραχὺ ἄγοντες, τὴν ἀρχὴν τῆς αἰτίης τοῖσιν ἀνθρώποισι τῶν νούσων τε καὶ τοῦ θανάτου, καὶ πᾶσι τὴν αὐτὴν ἓν ἢ δύο προθέμενοι· ἐν πολλοῖσι μὲν καὶ οἷσι λέγουσι καταφανέες εἰσὶν ἁμαρτάνοντες· μᾶλλον δὲ ἄξιον μέμψασθαι ἀμφὶ τέχνης ἐούσης, ᾗ χρέωνται πάντες ἐπὶ τοῖσι μεγίστοισι, καὶ τιμῶσι μάλιστα τοὺς ἀγαθοὺς χειροτέχνας. Εἰσὶ δὲ δημιουργοὶ οἱ μὲν φλαῦροι, οἱ δὲ πολὺ διαφέροντες. Ὅπερ εἰ μὴ ἦν ἰητρικὴ ὅλως, μηδ' ἐν αὐτῇ ἔσκεπτο μηδ' εὕρητο μηδὲν, οὐκ ἂν ἦν. ἀλλὰ πάντες ἂν ὁμοίως αὐτῆς ἄπειροί τε καὶ ἀνεπιστήμονες ἦσαν, καὶ τύχῃ πάντα τὰ τῶν καμνόντων διοικεῖτο.

Νῦν δ' οὐχ οὕτως ἔχει ἀλλ' ὥσπερ καὶ τῶν ἄλλων τεχνέων πασέων οἱ δημιουργοὶ πολλὸν ἀλλήλων διαφέρουσι κατὰ χεῖρα καὶ κατὰ γνώμην, οὕτω δὲ καὶ ἐπὶ ἰητρικῆς. Διὸ

οὐκ

HIPPOCRATIS
COI
DE VETERI MEDICINA.

Qvotquot de arte medica docere aut ſcribere animum adiecerunt, hypotheſin ſuæ diſputationis aut calidum, aut frigidum, aut humidum, aut ſiccum, aut quodcumque tandem aliud ſuppoſuerunt: adeòque rem in compendium contrahentes, propoſuere principium cauſæ morbificæ ac mortis hominibus euenire vnum aut duo, & omnibus principium id idem conſtituerunt: vt in multis quæ docent manifeſtò erraſſe deprehendantur: iuſtiſſima tamen de illis querela eſt, artis, quæ reuera exiſtit, nomine, quâ omnes præ maximis vtuntur, cuiúsque peritos artifices ſummoperè colunt. Sunt autem opifices alii viles, alij longè præſtantes. Quòd ſanè, ſi nulla eſſet omnino medica ars, neque in ipſa vel obſeruationes vel inuenta aliqua extarent; nequiquam (id) contingeret: ſed cuncti æquè eius imperiti & ignari forent, ac fortunâ cunctæ ægrorum res gubernarentur.

At verò nunc aliter hæc ſe res habet: vt enim aliarum artium cunctarum opifices plurimùm inter ſe differunt, tum manu, tum mente; ſic etiam in medica

ὐκ ἠξίουν ἔγωγε καινῆς αὐτὴν ὑποθέσιος δεῖσθαι, ὥσπερ τὰ ἀφανέα τε καὶ ἀπορεόμενα, περὶ ὧν ἀνάγκη, ἤν τις ἐπιχειρέῃ λέγειν, ὑποθέσει χρῆσθαι. Οἷον περὶ τῶν μετεώρων ἢ τῶν ὑπὸ γῆν· ἃ εἰ λέγοι τις, καὶ γινώσκοι ὡς ἔχει, οὔτ' ἂν αὐτῷ τῷ λέγοντι, οὔτε τοῖς ἀκούουσι δῆλα ἂν εἴη, εἴτε ἀληθέα ἐστὶν, εἴτε μή. Οὐ γάρ ἐστι πρὸς ὅ, τι χρὴ ἐπανενέγκαντα εἰδέναι τὸ σαφές.

Ἰητρικῇ δὲ πάντα πάλαι ὑπάρχει, καὶ ἀρχὴ καὶ ὁδὸς εὑρημένη, καθ' ἣν καὶ τὰ εὑρημένα πολλά τε καὶ καλῶς ἔχοντα εὕρηται, ἐν πολλῷ χρόνῳ, καὶ τὰ λοιπὰ εὑρεθήσεται, ἤν τις ἱκανός τε ἐὼν, καὶ τὰ εὑρημένα εἰδὼς, ἐκ τούτων ὁρμώμενος ζητέῃ. Ὅστις δὲ ταῦτα ἀποβαλὼν καὶ ἀποδοκιμάσας πάντα, ἑτέρῃ ὁδῷ, καὶ ἑτέρῳ σχήματι ἐπιχειρέει ζητέειν, καὶ φησί τι εὑρηκέναι, ἐξηπάτηται, καὶ ἐξαπατᾶται. Ἀδύνατον γάρ. Δι' ἃς δὲ ἀνάγκας ἀδύνατον, ἐγὼ πειράσομαι ἐπιδεῖξαι, λέγων καὶ δεικνὺς τὴν τέχνην ὅ, τι ἐστίν· ἐκ δὲ τούτου καταφανὲς ἔσται, ἀδύνατα ἐόντα ἄλλως πως ταῦτα εὑρίσκεσθαι.

Μάλιστα δέ μοι δοκεῖ, περὶ ταύτης δεῖν λέγοντα τῆς τέχνης, γνωστὰ λέγειν τοῖσι δημότῃσιν. Οὐ γὰρ περὶ ἄλλου τινὸς οὔτε ζητεῖν προσήκει, οὔτε λέγειν, ἢ περὶ τῶν παθημάτων,

euenit arte. Quapropter cenſeo ego, ipſam non egere imbelli hypotheſi, velut ea quæ ſunt obſcura & dubia, de quibus ſi quis diſſerere velit, eum neceſſe eſt hypotheſi vti. Velut ſi quis de meteoris aut de ſubterraneis dicat, & ſe ſcire quomodo ea ſe habeant profiteatur, tamen neque profitenti ipſi, neque auditoribus manifeſtum ſatis fuerit, veráne ſint, nec ne. Neque enim datur aliquid, ad quod rationes cunctas referendo, certa ſcientia haberi queat.

Medicinæ autem iam cuncta ab antiquo inſunt, & eius principium & via inuenta eſt, per quam & multa & vitæ vtiliſſima longâ die deprehenſa ſunt, & reliqua deinceps inuenientur, ſi modò quis aptus fuerit, & iam inuentorum gnarus, hinc ad reliqua perueſtiganda proſiliat. Quicumque verò omnibus his reiectis ac reprobatis, alia via aliáque forma inueſtigare conatur, & quid inueniſſe ſe gloriatur, fallit, & fallitur. Fieri enim id nequit. Verùm ob quas cauſas id fieri non poſſit, ego demonſtrare conabor, docens ac demonſtrans artem exiſtere: ex hoc autem palam fiet, impoſſibile eſſe aliquo alio modo inueniri.

Maximè autem mihi conſentaneum eſſe videtur eum, qui de hac arte docturus ſit, oportere vulgo ac plebeis nota dicere. Non enim decet de alio quopiam inquirere, vel dicere, quàm de paſſionibus

 ex

μάτων, ὧν αὐτοὶ ἐπινοσέουσιν. Αὐτοὺς μὲν οὖν τὰ σφέων αὐτῶν παθήματα καταμαθεῖν, ὥστε γίνεται καὶ παύεται, καὶ δι' οἵας προφάσιας αὔξεταί τε * καὶ φθίνει, ἰδιώτας ἐόντας, οὐ ῥαΐδιον· ὑπ' ἄλλου δ' εὑρημένα καὶ λεγόμενα, εὐπετές. Οὐδὲν γὰρ ἕτερον ἢ ἀναμιμνήσκεται ἕκαστος, ἀκούων τῶν ἑαυτῷ ξυμβαινόντων. Εἰ δέ τις τῆς τῶν ἰδιωτέων γνώμης ἀποτεύξεται, καὶ μὴ διαθήσει τοὺς ἀκούοντας, τοῦ ἐόντος ἀποτεύξεται. Καὶ διὰ ταῦτα οὖν οὐδὲν δεῖται ὑποθέσιος.

Τὴν γὰρ ἀρχὴν οὔτ' ἂν εὑρέθη τέχνη ἡ ἰητρικὴ, οὔτ' ἂν ἐζητήθη (οὐδὲν γὰρ αὐτῆς ἔδει) εἰ τοῖσι κάμνουσι τῶν ἀνθρώπων τὰ αὐτὰ διαιτωμένοισί τε καὶ προσφερομένοισιν, ἅπερ ὑγιαίνοντες ἐσθίουσι καὶ πίνουσι· εἰ μὴ καὶ τ' ἄλλα διαιτωμένοις ξυνέφερε, καὶ μὴ ἦν ἕτερα τούτων βελτίω. Νῦν δ' αὐτὴ ἡ ἀνάγκη ἰητρικὴν ἐποίησε ζητηθῆναί τε καὶ εὑρεθῆναι ἀνθρώποισιν, ὅτι τοῖσι κάμνουσι ταὐτὰ προσφερομένοισιν, ἅπερ οἱ ὑγιαίνοντες, οὐ ξυνέφερεν, ὡς οὐδὲ νῦν ξυμφέρει.

Ἔτι δ' ἄνωθεν, ἔγωγε ἀξιῶ οὐδ' ἂν τὴν τῶν ὑγιαινόντων δίαιτάν τε καὶ τροφὴν, ᾗ νῦν χρέονται, εὑρεθῆναι, εἰ ἐξήρκει τῷ ἀνθρώπῳ ταὐτὰ ἐσθίοντι καὶ πίνοντι, βοΐ τε καὶ ἵπ-

πῳ,

ex quibus illi ipſi ægrotant. Ipſos ſiquidem proprias ſuas affectiones intelligere, quomodo naſcantur ac miteſcant, & ex quibus cauſis eſfloreſcant ac tabeſcant, quum idiotæ ſint, haud facile eſt: verùm ab alio inuentas ac proditas, facile factu eſt. Nullius enim rei alterius faciliùs quiſque recordatur, quàm quam ſibi ipſi eueniſſe audit. Si verò quis ab idiotarum cognitione remota docuerit, neque in præſens audientes perſuaſerit, ille etiam deinceps in eo, quod maximè verum eſt, perſuadendo periclitabitur. Hinc eſt quòd alia hypotheſi nobis opus non ſit.

Medicina enim ab initio non fuiſſet inuenta, neque perueſtigata (nihil enim eâ opus fuiſſet) ſi ægroti homines citra noxam, eâdem diætâ vti, & eadem aſſumere potuiſſent, quæ ſani edunt ac bibunt: imò quælibet alia victus ratio eis profuiſſet, ſi his non alia fuiſſet ægris commodior. Nunc verò neceſſitas ipſa, homines coëgit ad Medicinæ perueſtigationem ac inuentionem. Etenim ægris eo modo paſtis & iis nutritis, quibus fruuntur ſani, nec olim profuit, nec nunc prodeſt.

Quin, vt rem altiùs arceſſamus, ego cenſeo, ad ipſam ſanorum diætam & paſtum, cui nunc indulgent, inueniendum, nunquam priſcos illos animum adiecturos fuiſſe, ſi ſuffeciſſet homini idem cibus & potus, qui boui ac equo, & cunctis reliquis

 liquis

πτῃ, καὶ ταῦτα πάντα ἐκτὸς οἱ ἄνθρωποι· δὴ τὰ ἐκ τῆς γῆς φυόμενα, καρπούς τε, καὶ ὕλην, καὶ χόρτον, οἱ ἀπὸ τουτέων καὶ τρέφονται, αὔξονται, καὶ ἄπονοι διάγουσιν οὐδὲν προσδεόμενοι ἄλλης διαίτης. Καί τοι τήν γε ἀρχὴν ἔγωγε δοκέω καὶ τὸν ἄνθρωπον τοιαύτῃ τροφῇ κεχρῆσθαι. Τὰ δέ γε νῦν διαιτήματα εὑρημένα, τετεχνημένα, ἐν πολλῷ χρόνῳ γεγενῆσθαί μοι δοκέει.

Ὡς γὰρ ἔπασχον πολλά τε καὶ δεινὰ ἀπὸ ἰσχυρῆς τε καὶ θηριώδεος διαίτης ὠμά τε, καὶ ἄκρητα καὶ μεγάλας δυνάμιας ἔχοντα ἐσφερόμενοι, οἷά περ ἂν καὶ νῦν ὑπ' αὐτέων πάσχοιεν, πόνοισί τε ἰσχυροῖσι καὶ νούσοισι περιπίπτοντες, καὶ διὰ ταχέος θανάτοισιν. Ἧσσον μὲν οὖν ταῦτα τότε εἰκὸς ἦν πάσχειν, διὰ τὴν συνήθειαν· ἰσχυρῶς δὲ καὶ τότε, καὶ τοὺς μὲν πλείστους τε καὶ ἀσθενεστέρην φύσιν ἔχοντας ἀπόλλυσθαι εἰκός· τοὺς δὲ ὑπερέχοντας, πλείω χρόνον ἀντέχειν.

Ὥσπερ καὶ νῦν ἐκ τῶν ἰσχυρῶν βρωμάτων· οἱ μὲν γὰρ ῥηιδίως ἀπαλλάσσονται· οἱ δὲ μετὰ πολλῶν πόνων τε καὶ κακῶν. Διὰ δὴ ταύτην τὴν χρείην καὶ οὗτοί μοι δοκέουσι ζητῆσαι τροφὴν ἁρμόζουσαν τῇ φύσει, καὶ εὑρεῖν ταύτην, ᾗ νῦν χρεόμεθα. Ἐκ μὲν οὖν τῶν πυρῶν βρέξαντες, καὶ πτίσαντες αὐτά,

καὶ κα-

liquis animalibus præter hominem: in quo cenſu ſunt terrâ naſcentia, fructus nempe, herbæ, & fœnum, quibus nutriuntur & incrementis augeſcunt, & illæſa degunt, non indiga alterius diætæ. Quanquam ego ſanè exiſtimem hominem ab initio talem viuendi rationem iniiſſe. Quæ autem nunc inuenta ſunt edulia, prolixa arte excogitata, & longâ die enata eſſe mihi videntur.

Vt enim varia & acerba patiebantur corpora ex validâ & efferâ diæta, quæ immoderata & validas vires gerens ingerebatur, quemadmodum ſanè etiam nunc ex illis paterentur, acerbis doloribus, morbis, quin ſubitaneæ etiam morti impingentes. Conſentaneum autem eſt eos hæc incommoda parciùs paſſos fuiſſe, ob aſſuetudinem: etiamſi tunc quoque acerbè eos afflictos fuiſſe veriſimile ſit, & plurimos quidem tenellulam naturam ſortitos interiiſſe: qui verò (robuſtiores) illam diætam ſuperare poterant, longiori tempore duraſſe ac reſtitiſſe.

Vt etiam nunc euenit in his malis quæ ex validis ſurgunt eduliis: hi enim facilè his defunguntur, hi, plurimis moleſtiis ac tædiis. Ob hanc itaque neceſſitatem etiam priſci illi mihi videntur quæſiuiſſe victum naturæ humanæ dicatum, & inueniſſe hunc quo nunc vtimur. Ex tritico igitur macerato, & à cortice purgato, moli-

καὶ καταλέξαντες, καὶ διασήσαντες, καὶ φορύξαντες, καὶ ὀπτήσαντες, ἀπετέλεσαν ἄρτον. Ἐκ δὲ γε τῶν κριθέων μᾶζαν, ἄλλα τε συχνὰ περὶ ταύτην πρηγματευσάμενοι, ἥψησάν τε καὶ ὤπτησαν, καὶ ἔμιξαν, καὶ ἐκέρασαν ἰσχυρά τε καὶ ἄκρητα τοῖσιν ἀσθενεστέροισι, πλάσσοντες πάντα πρὸς τὴν τοῦ ἀνθρώπου φύσιν τε καὶ δύναμιν· ἡγεύμενοι ὅσα μὲν ἰσχυρότερα ἢ, οὐ δυνήσεται κρατέειν ἡ φύσις, ἢν ἐσβάλληται· ἀπὸ τούτων δ' αὐτῶν, πόνους τε, καὶ νόσους καὶ θανάτους ἔσεσθαι· ὅσων δ' αὖ δύνηται ἐπικρατέειν, ἀπὸ τουτέων τροφήν τε, καὶ αὔξησιν καὶ ὑγιείην.

Τῷ δ' εὑρήματι τί ἂν οὖν ὄνομα δικαιότερον ἄν τις προσῆκον μᾶλλον θείη τι, ἢ ἰητρικὴν; ὅτι εὕρηται ἐπὶ τῇ τοῦ ἀνθρώπου ὑγιείῃ τε καὶ τροφῇ καὶ σωτηρίῃ, ἄλλαγμα κείνης τῆς διαίτης, ἐξ ἧς οἱ πόνοι καὶ νοῦσοι γίνονται. Εἰ δὲ μὴ τέχνη αὕτη νομίζεται εἶναι, οὐκ ἀπεικός· ἧς γὰρ μηδείς ἐστιν ἰδιώτης, ἀλλὰ πάντες ἐπιστήμονες, διὰ τὴν χρῆσίν τε καὶ ἀνάγκην, οὐ προσήκει ταύτης οὐδένα τεχνίτην καλέεσθαι. Ἐπεὶ τόγε εὕρημα καὶ μέγα, καὶ πολλῆς τέχνης τε καὶ σκέψιος. Ἔτι γοῦν καὶ νῦν οἱ τῶν γυμνασίων τε καὶ ἀσκησίων ἐπιμελόμενοι, αἰεί τι προσεξευρίσκουσι, κατὰ τὴν αὐτὴν ὁδὸν ζητέοντες, ὅ, τι ἔδοντ

καὶ πι

molitóq. ac cribrato, & ſubacto ac aſſato panem fecerunt. Ex hordeo verò mazan. atque in hanc curam incumbentes, plurima alia coxerunt & aſſarunt, & miſcuerunt, fortiáque & immoderata remiſſioribus temperarunt, effingentes cuncta ad humanam naturam ac vires: ita exiſtimantes, quòd his quæ robuſtiora forent, natura humana par non eſſet, ſi ingererentur: indéque adeò, indicabant, dolores, morbos ac mortes ſurgere: contrà verò ab his, quæ natura donare poſſet, exſplendeſcere nutricatum, incrementum, ac ſanitatem.

Porrò huic inuento quodnam iuſtius magiſque aptum nomen quis impoſuerit, quàm Medicinæ? quandoquidem gratiâ ſanitatis humanæ nutricatusque ac ſalutis inuentum eſt, ſuccedaneum illius diætæ, ex qua dolores & morbi naſcebantur. Si vero hæc ipſa in artium numero non habeatur, id abſurdum videri minimè debet: cuius enim nullus ignarus eſt, ſed conſcij omnes ob frequentem vſum ac neceſſitatem, eius non decet aliquem profeſſione artificem appellari. Attamen inuentum ipſum nihilominus & magnum, & multæ artis ac indagationis exiſtit. Quin etiam in hunc vſque diem qui nunc quoque gymnaſticæ & viribus reparandis præſunt conualeſcentium, perpetuò quid vberius inueniunt, iuxta eandem viam peruestigantes quod quis edens

καὶ αἴνει, ὅτι κεφαλαλγῇ τε αὐτέων μάλιςα, καὶ ἰσχυρότερος ἑωυτοῦ ἐστι.

Σκεψάμενοι γοῦν καὶ τὴν ὁμολογουμένην ἰητρικὴν, τὴν ἀμφὶ τοὺς κάμνοντας εὑρημένην, ᾗ καὶ οὔνομα, καὶ τεχνίτας ἔχει, κρατεῖν καὶ αὐτὴ τῶν αὐτέων ἐθέλει, καὶ ὁπόθεν ποτὲ ἦρκται. Ἐμοὶ μὲν γὰρ, ὅπερ ἐν ἀρχῇ εἶπον, οὐδ᾽ ἂν ζητῆσαι δοκέειν ἰητρικὴν οὐδεὶς, εἰ ταυτὰ διαιτήματα τοῖσί τε κάμνουσι καὶ τοῖσιν ὑγιαίνουσιν ἥρμοζεν. Ἔτι γοῦν καὶ νῦν, ὅσοι ἰητρικῇ μὴ χρέονται, οἵ τε βάρβαροι, καὶ τῶν Ἑλλήνων ἔνιοι, τὸν αὐτὸν τρόπον ὥσπερ ὑγιαίνοντες διαιτέονται πρὸς ἡδονὴν, καὶ οὔτ᾽ ἂν ἀπόσχοιντο οὐδενὸς ὧν ἐπιθυμέουσι, οὐδὲ στείλαιντο. Οἱ δὲ ζητήσαντές τε καὶ εὑρόντες ἰητρικὴν, τὴν αὐτὴν ἐκείνοισι διάνοιαν ἔχοντες, περὶ ὧν μοι ὁ πρότερος λόγος εἴρηται, πρῶτον μὲν οἶμαι, ὑφεῖλον τοῦ πλήθεος τῶν σιτίων αὐτέων τουτέων, καὶ ἀντὶ πλειόνων ὀλίγα ἐποίησαν.

Ἐπεὶ δὲ αὐτέοισι τοῦτο ἔστι μὲν ὅτε πρός τινας τῶν καμνόντων ἤρκεσε, καὶ φανερὸν ἐγένετο ὠφελῆσαν, οὐ μὴν πᾶσί γε, ἀλλ᾽ ἦσάν τινες οὕτως ἔχοντες, ὡς μηδὲ ὀλίγων σιτίων δύνασθαι ἐπικρατεῖν· ἀσθενεστέρου δὲ δή τινος οἱ τοιοῦτοι ἐδόκεον δεῖσθαι· εὗρον ῥοφήματα, μίξαντες ὀλίγα τῶν ἰσχυρῶν

πολλῷ

edens ac bibens maximè conficiat, & ſeipſo robuſtior euadat.

Itaque conſideremus Medicinam quam cuncti fatentur eſſe, quæ ægrorum cauſâ inuenta eſt, cùm nomen & artifices habeat, an ipſa quoque iiſdem præeſſe & imperare velit, & vnde tandem originem traxerit. Mihi profectò, velut primùm admonui, nullus ne inueſtigaturus quidem fuiſſe Medicinam videtur, ſi idem victus & ſanis & ægris dicatus foret. Itaque qui vſque in hunc diem medicina non vtuntur Barbari, tum etiam Græcis confines, ſi quando ægrotárint, ſanorum more victitant ad voluptatem, & à nulla re, quam appetunt, genium ſuum defraudant, neque quicquam vitant. At verò qui medicinam inueſtigarunt ac deprehenderunt, eandem cum his, de quibus ſuperiori ſermone dictum eſt, ſententiam habuere. primùm itaque, vt exiſtimo, ex his ipſis cibis copiam accidêrunt, & quæ primùm plena manu, parca tandem exhibuerunt.

Quum verò ipſis nonnunquam iſtud ſatisfaceret in quibuſdam ægris, palámque fieret quod profuiſſet, quamuis non cunctis, attamen eſſe quoſdam ita comparatos, vt ne quidem parca manu oblatis cibis pares ſint; viſi ſunt illis imbelliore quodam victu indigere. Itaque ſorbitiones inuenerunt, paucam valentioris

πολλῷ τῷ ὕδατι. καὶ ἀφαιρεόμενοι τὸ ἰσχυρὸν τῇ κρήσει τε καὶ ἑψήσει. Ὁκόσοι δὲ μηδὲ τῶν ῥοφημάτων ἐδύναντο ὑπερκρατέειν, ἀφεῖλον καὶ ταῦτα, καὶ ἀφίκοντο ἐς πόματα, καὶ ταῦτα τῇσι τε κρήσεσι, καὶ τῷ πλήθει διαφυλάσσοντες ὡς μετρίως ἔχῃ, μήτε πλείω τῶν δεόντων, μήτε ἀκρητέστερα προσφερόμενοι, μήτε ἐνδεέστερα.

Εὖ δὲ χρὴ εἰδέναι καὶ τοῦτο, ὅτι τὰ ῥοφήματα ἐν τῇσι νούσοισιν οὐ ξυμφέρει, ἀλλ' ἄντικρυς, ὅταν τοῦτο πιπίσκωσι, παροξύνονται σφίσιν οἵ τε πυρετοὶ καὶ τὰ ἀλγήματα· καὶ δῆλον τὸ προσενεχθὲν, τῇ μὲν νούσῳ τροφή τε καὶ αὔξησις γενόμενον, τῷ δὲ σώματι φθίσις τε καὶ ἀῤῥωστίη. Ὁκόσοι δ' ἂν τῶν ἀνθρώπων ἐν ταύτῃ τῇ διαθέσει ἐόντες, προσενέγκωνται ξηρὸν σιτίον, ἢ μᾶζαν, ἢ ἄρτον, καὶ ἢν πάνυ σμικρὸν, δεκαπλασίως ἂν μᾶλλον καὶ ἐπιφανέστερον κακωθεῖεν, ἢ ῥοφέοντες· δι' οὐδὲν ἄλλο ἢ διὰ τὴν ἰσχὺν τοῦ βρώματος πρὸς τὴν διάθεσιν. καὶ ὅτῳ γε ῥοφέειν συμφέρει, ἐσθίειν δ' οὔ· εἰ γὰρ πλείω φάγοι, πολὺ ἂν ἔτι κακωθείη· καὶ εἰ ὀλίγα, πονήσειεν ἄν.

Πάντα δὴ τὰ αἴτια τῶν πόνων εἰς τὸ αὐτὸ ἄγεται· τὰ ἰσχυρότατα μάλιστά τε καὶ ἐπιφανέστατα λυμαίνεσθαι τὸν ἄνθρωπον, καὶ τὸν ὑγιέα ἐόν-

τα, καὶ

ſibi copiam plurima aqua diluentes, eique vim mixtura & coctione detrahentes. Iam ſi qui neque ſorbitiones euincere poſſent, his ſubduxerunt & illas, & potiones ſubſtituerunt, ea cautione adhibita, vt hæ tum vſu ac copia moderata forent, neque vberiores quàm oportet, neque meraciores nec parciores offerrentur.

Illud enim perſpectum eſſe debet, iis ipſis quibus per morbi decurſum non ſorbere, ſed alius diuerſus victus confert, ilico poſtquam vſum ſorbitionum iniere, febres ac dolores exſplendeſcere: vt ſic manifeſtum fiat, id quod ingeſtum eſt morbo quidem alimentum ac incrementum præbuiſſe, corpori verò decrementum ac infirmitatem attuliſſe. Eadem ratione qui huic affectioni impliciti ſicco cibo indulgent, aut ſi mazam, vel panem aſſumant, etiamſi parca manu, decuplo grauiùs & manifeſtiùs damnis augentur, quàm ſi ſorbitioni indulſiſſent: non aliunde quàm ex robore edulij ad paſſionem, quod nec homini conuenit, cui ſorbere, non autem edere, ſatius eſt: ita quidem, vt ſi liberaliùs indulſerit genio, grauiùs etiam affligatur: ſi parciùs, doleat ſaltem.

Cunctæ proinde doloris cauſæ, eundem auctorem agnoſcunt: nimirum robuſtiſſima edulia maximè & conſpicuò hominem affligere, ſeu ſanus, ſeu æger

 fuerit,

τα, καὶ τὰ νοσέοντα. Τί οὖν φαίνεται ἕτερον ἐνθυμηθεὶς ὁ καλεόμενος ἰητρὸς, καὶ ὁμολογημένως χειροτέχνης, ὃς ἐξεῦρε τὴν ἀμφὶ τοὺς κάμνοντας δίαιτάν τε καὶ τροφὴν, ἢ κεῖνος ὁ ἀπ᾽ ἀρχῆς τοῖσι πᾶσιν ἀνθρώποισι τροφὴν, ᾗ νῦν χρεώμεθα, ἐξ ἐκείνης τῆς ἀγρίης καὶ θηριώδεος εὑρών τε καὶ παρασκευάσας διαίτης; ἐμοὶ μὲν γὰρ φαίνεται ὠυτὸς τρόπος, καὶ ἕν τι καὶ ὅμοιον τὸ εὕρημα. ὁ μὲν, ὅσων μὴ ἠδύνατο ἡ φύσις ἡ ἀνθρωπίνη ἐπικρατέειν ὑγιαίνουσα ἐμπιπτόντων διὰ τὴν ἀγριότητά τε καὶ ἀκρησίην. Ὁ δὲ, ὅσων ἡ διάθεσις, (ἐν οἵῃ ἂν ἑκάστοτε ἕκαστος τύχῃ διακείμενος,) μὴ ἠδύνατο ἐπικρατέειν, ταῦτα ἐζήτησεν ἀφαιρεῖν.

Τί δὴ τοῦτο ἐκείνου διαφέρει, ἀλλ᾽ ἢ πλέον τὸ εἶδος, καὶ ὅτι ποικιλώτερον, καὶ πλείονος πραγματείης. Ἀρχὴ δὲ κείνη ἡ πρότερον γενομένη. Εἰ δέ τις σκέπτοιτο, τίς ἡ τῶν καμνόντων δίαιτα πρὸς τὴν τῶν ὑγιαινόντων, εὕροι ἂν βλαβερωτέρην, ἢ περ ἥ τις τῶν καμνόντων θηρίων τε καὶ τῶν ἄλλων ζώων. Ἀνὴρ γὰρ κάμνων νουσήματι, μήτε τῶν χαλεπῶν τε καὶ ἀφόρων, μήτ᾽ αὖ παντάπασιν εὐηθέων, ἀλλ᾽ ἅ τε αὐτέῳ ἁμαρτάνοντι μέλλει ἐπίδηλα ἔσεσθαι, εἰ ἐθέλει καταφαγεῖν ἄρτον, ἢ κρέα, ἢ ἄλλο τι ὧν οἱ ὑγιαίνοντες ἐσθίοντες ὠφελέονται, μὴ πολλὰ,

fuerit. Quid itaque aliud quæſo in animo habuiſſe videtur hic, quem medicum appellamus, vnóque ore artificem celebramus, in ægrorum diæta ac victu inueniendo, quàm prior ille, qui ab initio omnibus hominibus victum, quo nunc vtimur, ex agreſti illo ac ferino adinuenit ac parauit? Mihi ſanè videtur idem modus, & vnum quoddam ac ſimile commentum eſſe: hic enim ea, quæ ſi ingeſta forent, natura humana, etiamſi ſana, propter efferam eorum vim ac immoderationem edomare non poterat: ille verò ea, quæ ob qualemcumque tandem paſſionem (cui implicitus iacebat) mitigare non poterat, auferre inſtituit.

Verùm quid amabo hoc ab illo differt? præterquam quòd multiplicior & variegatior ac maioris negocij eſt hæc ſpecies. Cuius tamen initium fuit illa, quæ priùs eſt enata. Iam ſi quis animaduertat, quænam ſit ægrorum diæta, collatione ad ſanorum diætam habitâ, is deprehendet hanc ægris damnoſiorem, quàm ſit ea quæ ferarum eſt & aliorum animalium, ipſis hominibus ſanis. Etenim vir laborans ex morbo neque admodum ſæuo nec intolerabili malíque moris, neque rurſus deſpicabili optimíque moris, qui ne ipſi quidem in victu delinquenti manifeſtus ſit, ſi indulgere velit pani, carni, aliiſve quibus ſani gaudent ac recrean-

 tur,

πολλὴ, ἀλλὰ πολλῷ ἂν ἐλάσσω ἢ ὑγιαίνων ἠδυνάσθη. Ἄλλος τε τῶν ὑγιαινόντων, φασὶν ἔχων μήτε πάντα πάσιν ἀσθενέα, μήτ' αὖ ἰσχυρὴν, φαγὼν τι ὧν βοῦς ἢ ἵππος φαγὼν ὠφελοῖτό τε, καὶ ἐσθίει ὀρόβους, ἢ κριθὰς, ἢ ἄλλό τι τῶν τοιουτέων, μὴ πολὺ, ἀλλὰ πολλῷ μεῖον ἢ δύναιτο· κἂν ἧσσον ὑγιαίνων τοῦτο ποιήσας πονήσειέ τε καὶ κινδυνεύσειε, κεῖνος τοῦ νοσέοντος, ὃς τὸν ἄρτον ἢ τὴν μάζαν ἀκαίρως προσηνέγκατο. ταῦτα δὴ πάντα τεκμήρια, ὅτι αὕτη ἡ τέχνη ἡ ἰητρικὴ τῇ ὁδῷ ζητεομένη εὑρίσκοιτο ἄν.

Καὶ εἰ μὲν ἦν ἁπλῶς, ὥσπερ ὑφηγεῖται, ὅσα μὲν ἦν ἰσχυρότερα ἔβλαπτεν, ὅσα δ' ἦν ἀσθενέστερα ὠφέλει τε καὶ ἔτρεφε τὸν κάμνοντα καὶ τὸν ὑγιαίνοντα, εὔπετες ἂν ἦν τὸ χρῆμα· πολλὸν γὰρ τοῦ ἀσφαλέος ἂν ἔδει περιλαμβάνοντας, ἄγειν ἐπὶ τὸ ἀσθενέστατον. Νῦν δὲ οὐκ ἔλασσον ἁμάρτημα, οὐδὲ ἧσσον λυμαίνεται τὸν ἄνθρωπον, ἢν ἐλάσσονα καὶ ἐνδεέστερα τῶν ἱκανῶν προσφέρηται· τὸ γὰρ τοῦ λιμοῦ μένος, δύναται ἰσχυρῶς ἐν τῇ φύσει τοῦ ἀνθρώπου, καὶ γυιῶσαι, καὶ ἀσθενέα ποιῆσαι, καὶ ἀποκτεῖναι. Πολλὰ δὲ καὶ ἄλλα κακὰ, ἑτεροῖα μὲν τῶν ἀπὸ πληρώσιος, οὐχ ἧσσον δὲ ἅμα δεινὰ κενώσιος· δι' ὧν πολλὸν ποικιλώτερά τε, καὶ διὰ πλείονος ἀκρι-

tur, non multùm, imò longè minùs, quàm ſanus ſi foret, ex his recreari poterit. Alius contrà ſanus titubantem ſortitus naturam, adeò vt non omnino langueat; nec rurſus fortem, ſi vſum inierit rerum earum, quibus ſuauiter perfruuntur boues & equi, vtpote ſi eruum, aut hordeum comedat, aut quid huiuſmodi, nec tamen id copioſè fecerit, ſed longè minùs quàm poterat: ſanus vtique qui hoc fecerit, minùs & dolebit & periclitabitur, quàm æger ille qui panem & mazam non iure & loco ingeſſerit. Hæc itaque cuncta argumenta ſunt ſyllogiſtica, quòd ars ipſa medica inueſtigata methodo inueniri poſſit.

Porrò ſi ſimpliciter, vt quidam exiſtimant, alimenta robuſtiora damno eſſent; quæ verò debiliora prodeſſent ac nutrirent tum ægrum tum ſanum, facile ſanè negocium foret: oportebat enim, magnâ non errandi fiduciâ conceptâ, ad debiliſſimum alimentum ægrum abducere. Nunc autem non minùs peccatur in commoda ægrorum, nec minùs damnis augentur ægri, ſi pauciora & debiliora, quàm decet, aſſumat. Fames enim magnam vim in humanam naturam exercet, & ſanandi, & naturam frangendi, & peſſumdandi. Quin & multa alia mala, diuerſa quidem àb his quæ ex repletione fiunt, non minùs autem grauia, vacuationi inſunt: vt proinde longè magis eua-

ἀκριβίης ἐστί. Δεῖ γὰρ μέτρου τινὸς στοχάσασθαι. Μέτρον δὲ, οὐδὲ σταθμὸν, οὐδὲ ἀριθμὸν οὐδένα ἄλλον, πρὸς ὃ ἀναφέρων εἴσῃ τὸ ἀκριβὲς, οὐκ ἂν εὕροις ἄλλο, ἢ τοῦ σώματος τὴν αἴσθησιν. Διὸ ἔργον, οὕτω καταμαθεῖν ἀκριβέως, ὥστε μικρὰ ἁμαρτάνειν ἔνθα ἢ ἔνθα. Κἂν ἐγὼ τοῦτον τὸν ἰητρὸν ἰσχυρῶς ἐπαινέοιμι, τὸν σμικρὰ ἁμαρτάνοντα. Τὸ δ' ἀκριβὲς ὀλιγάκις ἐστὶ κατιδεῖν.

Ἐπεὶ οἱ πολλοί γε τῶν ἰητρῶν ταὐτά μοι δοκέουσι τοῖσι κακοῖσι κυβερνήτῃσι πάσχειν. Καὶ γὰρ ἐκεῖνοι ὅταν ἐν γαλήνῃ κυβερνῶντες ἁμαρτάνωσιν, οὐ καταφανέες εἰσίν· ὅταν δὲ αὐτοὺς κατάσχῃ ἄνεμός τε μέγας, καὶ χειμὼν, φανερῶς ἤδη πᾶσιν ἀνθρώποισι δι' ἀγνωσίην καὶ ἁμαρτίην δῆλοί εἰσιν, ἀπολέσαντες τὴν ναῦν. Οὕτω δὴ καὶ οἱ κακοί τε καὶ πλεῖστοι ἰητροὶ, ὅταν μὲν θεραπεύωσιν ἀνθρώπους μηδὲν δεινὸν ἔχοντας, ἐς οὓς ἄν τις καὶ τὰ μέγιστα ἁμαρτάνων οὐδὲν δεινὸν ἐργάσαιτο (πολλὰ δὲ τὰ τοιαῦτα νοσήματα, καὶ πολὺ πλείω τῶν δεινῶν ἀνθρώποισι συμβαίνει) ἐν μὲν δὴ τοῖσι τοιούτοισιν ἁμαρτάνοντες οὐ καταφανέες εἰσὶ τοῖσιν ἰδιώτῃσιν. Ὁκόταν δὲ τύχωσι με.

riet, & maiorem diligentiam requirat. Decet enim dimenſionem aliquam collineare. Dimenſionem autem nullam aliam reperies, neque pondus, neque menſuram, cuius intuitu exacta diætæ inſtituendæ ſcientia haberi queat, quàm corporis ſenſum. Quapropter negocioſum eſt, id ita accuratè cognoſcere, vt tantùm tenuiter in alterutram partem delinquas. Certè eum ego medicum vehementer laudarim, qui leuiter delinquat. Quod enim exactè abſolutum eſt, raro videre contingit.

Proinde plerique medicorum eadem, quæ mali gubernatores, in ſe admittere mihi videntur. Hi enim dum in tranquillitate gubernacula tenentes errant, non omnibus deprehenſa eorum ignorantia eſt: dum autem eos inuaſerit validus ventus, & vehemens procella maris, conſpicuum tunc eſt cunctis hominibus, quòd ignorantia & eorum errore naufragium euenerit. Sic profectò & mali plurimíque medici, dum medicinam leuiculis malis implicitis hominibus faciunt, in quorum commoda ſi vel quis grauiter peccauerit, non magnum tamen incommodum adferat (ſunt enim plurimi tales morbi, & multo frequentiores quàm hi qui cum periculo inuadunt) in talibus, inquam, peccantes in commoda ægrorum, non deprehenduntur ab idiotis. Vbi verò euenerit hominem impli-

cari

στι μεγάλῳ τε καὶ ἰσχυρῷ καὶ ἐπισφαλεῖ νοσήματι, τότε σφέων τὰ ἁμαρτήματα καὶ ἡ τέχνη πᾶσι καταφανής ἐστι. Οὐ γὰρ ἐς μακρὸν αὐτέων ἑκάστου αἱ τιμωρίαι, ἀλλὰ διὰ ταχέος παρέασιν.

Ὅτι δὲ οὐδὲν ἐλάσσους ἀπὸ κενώσιος ἀκαίρου κακοπάθειαι γίνονται τῷ ἀνθρώπῳ, ἢ καὶ ἀπὸ πληρώσιος, καταμανθάνειν καλῶς ἔχει, ἐπαναφέροντας ἐπὶ τοὺς ὑγιαίνοντας. Ἔστι γὰρ οἷσιν αὐτέων ξυμφέρει μονοσιτέειν, καὶ τοῦτο διὰ τὸ ξυμφέρειν σφίσιν αὐτοῖσιν ἐτάξαντο· ἄλλοισι δὲ ἀριστᾶν, διὰ τὴν αὐτὴν ἀνάγκην, οὕτω γὰρ αὐτοῖς ξυμφέρει, καὶ μὴ τούτοισιν, οἳ δι' ἡδονὴν ἢ δι' ἄλλην τινὰ συγκυρίην ἐπιτηδεύουσιν ὁπότερον αὐτέων. Τοῖσι μὲν γὰρ πλείστοισι τῶν ἀνθρώπων οὐδὲν διαφέρει ὁπότερον ἂν ἐπιτηδεύσωσιν, εἴτε μονοσιτέειν, εἴτε ἀριστᾶν, τουτέῳ τῷ ἔθει χρῆσθαι.

Εἰσὶ δέ τινες οἳ οὐκ ἂν δύναιντο, ἔξω τοῦ συμφέροντος ποιέοντες, ῥηιδίως ἀπαλλάσσειν· ἀλλὰ ξυμβαίνει αὐτέων ἑκατέροισι παρ' ἡμέρην μίην, καὶ ταύτην οὐχ ὅλην μεταβάλλουσιν, ὑπερφυὴς κακοπαθείη. Οἱ μὲν γὰρ ἢν ἀριστήσωσι, μὴ ξυμφέροντος αὐτέοισιν, εὐθὺς βαρέες, καὶ νωθροὶ τὸ σῶμα καὶ τὴν γνώμην, χάσμης τε καὶ νυσταγμοῦ καὶ δίψης πλήρεις. Ἢν δὲ ἐπιδειπνήσωσι,

καὶ φῦσα

cari magno, valido, ac periculi pleno morbo, tunc cunctis horum delicta & ars conſpicua redditur. Neque enim horum pœnæ longè abſunt, ſed ilico præſto adſunt.

Quòd autem non minores afflictiones ab intempeſtiua euacuatione quàm à repletione hominibus eueniant, probè diſcemus, ſi in ſanis rem expendamus. Sunt enim quibus ſemel de die paſtum inire confert, & hanc, quia id ſibi conferre obſeruant, legem ſibi poſuere. Alij etiam prandent, ob eandem legem, quoniam ſic illis confert. Nam vt eos hic excipio, qui vel voluptate, vel alia quauis occaſione adducti alterutrum faciunt: ſic pleriſque hominibus nihil intereſt vtrum tandem faciant, ſiue ſemel tantùm paſtum ineant, ſiue etiam prandeant, nam conſuetudinem receptam abſque diſcrimine ſequuntur.

Sunt autem quidam ab his diuerſi, qui, ſi quid ex re eorum quod non fuerit in prandio vel in cœna commiſerint, ægrè ab errore illo ſine incommodo euadunt: ſed euenit vtriſque ipſorum, per diem vnum, atque eum non ocioſè tranſigentibus, immenſa afflictio. Nam ſi pranſi fuerint, quibus prandere non confert, hi ſtatim graues, & corpore menteque ſegnes fiunt, oſcitatione & nictatione & ſiti pleni. Quod ſi & cœnam adiecerint, &

flatus & tormina ſuperueniunt, aluúſque in fluxum effunditur: adeóque pluri-mis origo validi morbi hoc fuit, ſi cibos, quos ſemel ſumere conſueuerant, bis ingeſſiſſent, etſi nihil his ampliùs.

E contra, ſi hi, quibus prandium conducebat, impranſi fuerint, quamprimùm elapſum id tempus fuerit, inuadit illos maxima imbecillitas, tremor, animi defectus, prætereà oculi ſolito pallidiores, vrina craſſa & calida: amareſcit os, ac ſuſpenſa videntur iis viſcera, vertigo, iracundia, triſtitia. Quæ ſimiliter cuncta his eueniunt, qui præter morem ac inſtitutum ſuum cænantes, poſtero die rurſus prandium inierint, antequam ea, quæ in cæna priore aſſumpſerant, edomita fuerint. Atque hæc ipſa cum tormine ac ſtrepitu deſcendentia aluum intercipiunt: ipſi verò ægrè ſomnum ineunt, inſomnia perturbata ac tumultuoſa habent: quin plurimis adeò hoc ipſum morbi initium fuit.

Notare autem oportet ob quas cauſas hæc ipſis eueniant. Nimirum ei qui ſemel paſtum inire conſueuit, quòd non expectauit ſtatum tempus, donec venter ipſius pridie ingeſtos cibos perfectè in commodum ſuum verterit, & euicerit, & laxauerit, ac quieuerit: ſed in feruentem adhuc & in fermentatum nouos ingeſſerit:

ἐνήνεκται. Αἱ δὲ τοιαῦται καὶ ἔτι πολλῷ τι βραδύτερον σίνονται, καὶ πλείονος δέονται* ἀναστάσιός τε καὶ ἡσυχίης. Ὁ δὲ μὴ δειπνήσας ἀριστῆν εἰθισμένος, ὅτι οὐκ ἐπειδὴ τάχιστα ἐδεήθη τροφῆς τὸ σῶμα, καὶ τὰ πρότερα καταναλώτο, καὶ οὐκ εἶχεν οὐδεμίην ἀπόλαυσιν, αὐθέως αὐτέῳ παραγίνεται ἡ τροφὴ, φθίνει δὲ καὶ συντήκεται ὑπὸ λιμοῦ. Πάντα γὰρ ἃ λέγω πάσχειν τὸν τοιοῦτον ἄνθρωπον, λιμῷ ἀνατίθημι. Φημὶ δὲ καὶ τοὺς ἄλλους ἀνθρώπους ἅπαντας, οἵτινες ἂν ἄσιτοι δύο ἢ τρεῖς ἡμέρας γένωνται, ταὐτὰ πείσεσθαι. οἷα περὶ τοῦ ἀναριστοῦντος γενομένου εἴρηκα. Τὰς δὲ τοιαύτας φύσιας ἐγώ γε φημὶ, *ταχέως τε καὶ ἰσχυρῶς τῶν ἁμαρτημάτων ἀπολαυούσας, ἀσθενεστέρας εἶναι τῶν ἑτέρων. Ἐγγύτατα δὲ τοῦ ἀσθενέοντος ἐστὶν ὁ ἀσθενής· ἔστι δὲ ἀσθενέστερος ὁ ἀσθενέων· καὶ μᾶλλον αὐτῷ προσήκει, ὅ, τι ἂν τοῦ καιροῦ ἀποτυγχάνῃ, πονέειν.

Χαλεπὸν δὲ, τοιαύτης ἀκριβείης ἐούσης περὶ τὴν τέχνην, τυγχάνειν αἰεὶ τοῦ ἀτρεκεστάτου. Πολλὰ δὲ εἴδεα κατ' ἰητρικὴν ἐς τοσαύτην ἀκριβείην ἥκει, περὶ ὧν εἰρήσεται. Οὔ φημι δὴ διὰ τοῦτο δεῖν τὴν τέχνην, ὡς οὐκ ἐοῦσαν οὐδὲ καλῶς ζητουμένην, τὴν ἀρχαίην ἀποβάλλεσθαι, εἰ μὴ ἔχει περὶ πάντα ἀκριβείην· ἀλλὰ πολὺ μᾶλλον διὰ τὸ ἐγγὺς εἶναι τοῦ ἀτρεκε-

στάτου

rit: Etenim eiuſmodi ventres longè tardiùs coquunt, ac maiore egent ocio ac quiete. Ei verò qui prandere aſſueuit, quòd non, quàm primùm corpus alimenti indigens erat, & iam priora abſumpta erant, nec habebat vnde nutritionem ampliùs hauriret, ilicò ipſi recens nutricatum ſuppeditarit, vt proinde deficiat & contabeſcat præ fame. Cuncta autem hæc tædia quæ tales homines pati dixi, fami aſcribo. Aſſero quin etiam quoſuis alios homines, qui per duos aut tres dies genium ſuum fraudarunt, eadem paſſuros eſſe, quæ de impranſis dixi. Cæterùm eiuſmodi naturas affirmo, quæ ilicò ac validè eiuſmodi ab erratis affliguntur, imbecilliores aliis eſſe. Proximus autem ægro eſt imbecillus: verùm debilior eſt is qui iam ægrotat, & atrociùs affligitur, ſi iuſtum tempus non obſeruetur.

Cùm itaque eiuſmodi accurata certitudo in arte exiſtat, difficile fuerit ſemper aſſequi quod rectiſſimum eſt. Multæ autem ſpecies in Medicina tantam certitudinem petunt, de quibus dicetur. Non puto itaque propterea artem veterem, velut nulla foret, nec prudenter inueſtigata, reiiciendam eſſe, quòd non exquiſitam illam certitudinem præ ſe ferat: quin potiùs quòd recto vicinum ſit, ſi

ςάτε, ὁμοῦ δύνασθαι ἥκειν λογισμῷ, ἐκ πολλῆς ἀγνωσίης, θαυμάζειν τὰ ἐξευρημένα, ὡς καλῶς καὶ ὀρθῶς ἐξεύρηται, καὶ οὐκ ἀπὸ τύχης.

Ἐπὶ δὲ τὴν τῶν καινὸν τρόπον τὴν τέχνην ἐξ ὑποθέσιος ζητεόντων, τὸν λόγον ἐπανελθεῖν βούλομαι. Εἰ γὰρ ἐστι θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν, τὸ λυμαινόμενον τὸν ἄνθρωπον, καὶ δεῖ τὸν ὀρθῶς ἰητρεύοντα βοηθεῖν, τῷ μὲν θερμῷ ἐπὶ τὸ ψυχρόν· τῷ δὲ ψυχρῷ ἐπὶ τὸ θερμόν· τῷ δὲ ξηρῷ ἐπὶ τὸ ὑγρόν· τῷ δ' ὑγρῷ ἐπὶ τὸ ξηρόν. ἔστω μοι ἄνθρωπος, μὴ τῶν ἰσχυρῶν φύσει, ἀλλὰ τῶν ἀσθενεστέρων· οὗτος δὲ πυροὺς ἐσθιέτω, οὓς ἂν ἀπὸ τῆς ἅλω αἱρέῃ, ὠμοὺς καὶ ἀργοὺς, καὶ κρέα ὠμὰ, καὶ πινέτω ὕδωρ. Ταύτῃ χρεώμενος τῇ διαίτῃ, εὖ οἶδ' ὅτι πείσεται πολλὰ καὶ δεινά. Καὶ γὰρ πόνους πονήσει, καὶ τὸ σῶμα ἀσθενὲς ἔσται, καὶ ἡ κοιλίη φθαρήσεται, καὶ ζῆν πολὺν χρόνον οὐ δυνήσεται. Τί δεῖ τοι γὰρ οὖν βοήθημα παρασκευάσασθαι ὧδ' ἔχοντι; θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρόν; ἁπλοῦν γὰρ ὅτι τούτων τί. Εἰ γὰρ τὸ λυμαινόμενον αὐτὸν ἐστι τούτων τὸ ἕτερον, τῷ ὑπεναντίῳ προσήκει λῦσαι, ὡς ὁ ἐκείνων λόγος ἔχει. Τὸ μὲν γὰρ βεβαιότατόν τε καὶ προφανέστατον φάρμακον, ἀφελόντα τὰ διαιτήματα, οἷσιν ἐχρῆτο, ἀντὶ μὲν τῶν πυρῶν ἄρτον διδόναι,

ἀντὶ

quis ex ignorantiæ tenebris ductu rationis aliquouſque progrediatur, admiranda exiſtimo artis inuenta, quòd ſcilicet prudenter & rectè inuenta ſunt, miniméque à fortuna pendeant.

Verumenimuerò nunc ad eos qui nouo modo artem ex hypotheſibus quærunt, ſermonem conuertere volo. Si itaque calidum eſt, aut frigidum, aut ſiccum, aut humidum, quod hominem affligit, & neceſſe ſit rectè medicinam facientem auxiliari, calido quidem in frigidum permutato, frigido verò in calidum, ſicco in humidum, humido in ſiccum: detur mihi homo non vegetæ naturæ, ſed fractioris; qui indulgeat tritico, quod ex area ſuſtulit, crudo nec præparato, carnes item crudas voret, & aquam bibat. Hanc viuendi rationem ſi ceperit, ſat ſcio quòd acerba multa perpetietur. Nam & doloribus affligetur, & corpus labefactabitur, & aluina œconomia corrumpetur, nec diu viuere poterit. Quid itaque remedij adferri poterit ita habenti? calidúmne, frigidum, ſiccum, aut humidum? nam vnumquodq; horum ſimplex eſſe exiſtimant. Si enim id quod ipſum affligit ex horum numero eſt, certè æquum foret contrario ſolui, vt eorum præ ſe fert ratio. Atqui certiſſimum manifeſtiſſimúmque remedium eſt, victum, quo vtebatur, auferre, & pro tritico panem dare,

αὐτὶ δὲ τῶν ὠμῶν χρεῶν ἐσθὰ, πεῖν τι ἐπὶ τούτοισιν εἶναι. Ταῦτα μεταβάλλοιτο οὐχ οἷόν τε μὴ ὑγιέα γενέσθαι, ἤν γε μὴ παντάπασιν ᾖ διεφθαρμένος ὑπὸ χρόνου τε καὶ τῆς διαίτης.

Τί δὴ φήσομεν; πότερον αὐτέῳ ὑπὸ ψυχροῦ κακοπαθέοντι θερμὰ ταῦτα προσενέγκαντες ὠφέλησαν, ἢ τἀναντία; οἶμαι γὰρ ἔγωγε πολλὴν ἀπορίην ἐρωτηθέντι παρέχειν. ὁ γὰρ τὸν ἄρτον σκευάζων τῶν πυρῶν, τὸ θερμὸν, ἢ τὸ ψυχρὸν, ἢ τὸ ξηρὸν, ἢ τὸ ὑγρὸν ἀφείλετο; ὁ γὰρ καὶ πυρὶ καὶ ὕδατι δίδοται, καὶ πολλοῖσιν ἄλλοισιν εἴργασται, ὧν ἕκαστον ἰδίην δύναμιν καὶ φύσιν ἔχει, καὶ τὰ μὲν τῶν ὑπαρχόντων ἀποβέβληκεν, ἄλλοισι δὲ κέκρηται καὶ μέμικται.

Οἶδα μὲν γὰρ καὶ τάδε δήπου, ὅτι διαφέρει εἰς τὸ σῶμα τοῦ ἀνθρώπου καθαρὸς ἄρτος, ἢ συγκομιστός· ἢ ἀπτίστων πυρῶν, ἢ ἐπτισμένων· ἢ πολλῷ ὕδατι πεφυρημένος, ἢ ἀφύρητος· ἢ ἔξοπτος, ἢ ἔνωμος· ἄλλα τε πρὸς τουτέοισι μυρία. Ὡς δ' αὔτως καὶ περὶ μάζης. Καὶ αἱ δυνάμιες δὲ μεγάλαι τε ἑκάστου, καὶ οὐδὲν ἡ ἑτέρη τῇ ἑτέρῃ ἐοικυῖα. Ὅστις δὲ ταῦτα μὴ σκεπτόμενος οὐκ οἶδε, πῶς ἄν τι τούτων δύναιτο τῶν κατὰ τὸν ἄνθρωπον παθημάτων εἰδέναι; ὑπὸ γὰρ ἑνὸς ἑκάστου τουτέων πάσχει τε καὶ ἑτεροιοῦται ὥνθρωπος, ἢ τοῖον, ἢ τοῖον· καὶ διὰ τουτέων

πᾶς

pro crudis verò carnibus coctos, inſuperque vinum propinare. His permutatis fieri nequit quin ſanus euadat, niſi penitus fuerit tempore & diæta corruptus.

Quid itaque dicemus? num quòd ipſi à frigidis afflicto, calida hæc oblata auxilio fuerint, aut contrà? Equidem opinor plurimùm hæſitaturum, quid ad interrogata reſpondere debeat: num, ſcilicet, is qui panem ex tritico parauit, calidum, aut frigidum, aut ſiccum aut humidum abſtulerit? quandoquidem panis in ignem & aquam datur, quin plurimis aliis elaboratur, quorum quæque peculiarem facultatem ac naturam habent, cùm quædam illorum excutiant quæ illi à natura inſita erant, alia verò ad temperiem & commixtionem conferant.

Quin & hoc ſcio plurimùm referre, vtrum purus & putus panis in corpus hominis ingeratur, an cibarius: an ex tritico non decorticato, an decorticato: multa aqua ſubactus, vel nullo modo ſubactus: an retorridus, an crudior: aliaque præterea innumera. Eodem modo de maza. Adeò ſingulorum vires magnæ, & inter ſe penitùs diuerſæ. Quicumque verò hæc, non animaduertens, neſcit, haud ſcio quo modo paſſiones in homine rectè perſpectas habere poterit; nam ex horum ſingulis afficitur & alteratur homo, vel hoc, vel alio modo, & ex his om-

 nis

πᾶσι ὁ βίος καὶ ὑγιαίνοντι, καὶ ἐκ νόσου ἀνακομιζομένῳ, καὶ κάμνοντι. Οὐκ ἂν οὖν ἑτέρα τουτέων χρησιμώτερα οὐδ' ἀναγκαιότερα εἴη εἰδέναι δήπου.

Ὡς δὲ καλῶς καὶ λογισμῷ προσήκοντι ζητήσαντες, πρὸς τὴν τοῦ ἀνθρώπου φύσιν εὗρον αὐτὰ οἱ πρῶτοι εὑρόντες, καὶ ᾠήθησαν ἀξίην τὴν τέχνην θεῷ προσθεῖναι, ὡς καὶ νομίζεται. οὐ γὰρ τὸ ξηρὸν, οὐδὲ τὸ ὑγρὸν, οὐδὲ τὸ θερμὸν, οὐδὲ τὸ ψυχρὸν, οὐδ' ἄλλο τουτέων οὐδὲν ἡγησάμενοι οὔτε λυμαίνεσθαι, οὔτε προσδέεσθαι οὐδενὸς τουτέων τὸν ἄνθρωπον. Ἀλλ' ὅ, τι ἰσχυρὸν ἑκάστου, καὶ τὸ κρέσσον τῆς φύσιος τῆς ἀνθρωπίνης, οὗ μὴ ἐδύνατο κρατέειν, τοῦτο βλάπτειν ἡγήσαντο, καὶ τοῦτο ἐζήτησαν ἀφαιρέειν. Ἰσχυρότατον δέ ἐστι τοῦ μὲν γλυκέος τὸ γλυκύτατον, τοῦ δὲ πικροῦ τὸ πικρότατον, τοῦ δὲ ὀξέος τὸ ὀξύτατον· ἑκάστου δὲ πάντων τῶν ἐόντων ἡ ἀκμή. Ταῦτα γὰρ ἑώρων καὶ τῷ ἀνθρώπῳ ἐνεόντα, καὶ λυμαινόμενα τὸν ἄνθρωπον. Ἔνι γὰρ ἐν ἀνθρώπῳ καὶ πικρὸν, καὶ ἁλμυρὸν, καὶ γλυκὺ, καὶ ὀξὺ, καὶ στρυφνὸν, καὶ πλαδαρὸν, καὶ ἄλλα μυρία, παντοίας δυνάμιας ἔχοντα, πλῆθός τε καὶ ἰσχύν. Ταῦτα μὲν μεμιγμένα καὶ κεκρημένα ἀλλήλοισιν, οὔτε φανερά ἐστιν, οὔτε λυπέει τὸν ἄνθρωπον. Ὅταν δέ τι τουτέων ἀποκριθῇ, καὶ αὐτὸ ἐφ' ἑαυ-

τοῦ γένη-

nis vita & ſano, & ex morbo conualeſcenti, & ægro pendet. Nihil itaque vtilius aut æquè neceſſarium quàm hæc percepiſſe.

Quàm eleganter igitur & quàm congruenti ratiocinatione hæc inueſtigantes, iuxta hominis naturam hæc inuenerunt primi indagatores, ac æſtimauere artem Deo dignam, quemadmodum etiam à poſteris receptum eſt! Etenim nec ſiccum, nec humidum, neque calidum, neque frigidum, nec quicquam ex his exiſtimarunt homini damno eſſe, neque quoquam horum opus fore homini putauere. Sed quod in vnoquoque forte, & natura humana potentius eſt, vt ab ea edomari nequeat, hoc ipſum eſſe quod damnis augeret corpus opinati ſunt, atque id exigere quæſiuerunt. Robuſtiſſimum eſt inter dulcia dulciſſimum, inter amara amariſſimum, inter acida acidiſſimum: & in omnibus adeò rebus vigor ipſe ac ſummum. Hæc enim homini ineſſe viderunt, & hominem affligere. Homini enim ineſt, & amarum, & ſalſum, & dulce, & acidum, & acerbum, & inſipidum, & reliqua infinita, omnigenas facultates habentia, copiámque & robur. Atque hæc quidem mixta ac contemperata inter ſe, nec ſenſibus conſpicua ſunt, nec hominem affligunt. Vbi verò quid horum à cæteris ſeceſſionem fecerit, atque ipſum per ſe ſolum

τοῦ γλυκέος, τό τε καὶ φανερόν ἐστι, καὶ λυπέει τὸν ἄνθρωπον.

Τούτων δὲ τῶν βρωμάτων ὅσα ἡμῖν ἀνεπιτήδειά ἐστι, καὶ λυμαίνεται τὸν ἄνθρωπον ἐμπεσόντα, τουτέων ἕκαστον ἢ πικρόν τι, καὶ ἄκρητόν ἐστι, ἢ ἁλμυρόν, ἢ ὀξὺ ἢ ἄλλο τι ἄκρητόν τε καὶ ἰσχυρόν· καὶ διὰ τοῦτο ταρασσόμεθα ὑπ' αὐτέων, ὥσπερ καὶ ὑπὸ τῶν ἐν τῷ σώματι ἀποκρινομένων. Πάντα δὲ ὅσα ὥνθρωπος ἐσθίει ἢ πίνει, τὰ τοιαῦτα βρώματα ἥκιστα τουτέου χυμοῦ ἀκρήτου τε καὶ διαφέροντος δῆλα ἐστὶ μετέχοντα, οἷον ἄρτος τε καὶ μᾶζα, καὶ τὰ ἑπόμενα τουτέοισιν, οἷσιν εἴθισται ὥνθρωπος πλείστοισί τε καὶ αἰεὶ χρέεσθαι. (ἔξω τῶν πρὸς ἡδονήν τε καὶ κόρον ἠρτυμένων τε καὶ ἐσκευασμένων) καὶ ἀπὸ τουτέων πλείστων εἰσιόντων ἐς τὸν ἄνθρωπον, ταραχή τε καὶ ἀπόκρισις τῶν ἀμφὶ τὸ σῶμα δυναμίων ἥκιστα γίνεται· ἰσχύς τε καὶ αὔξησις καὶ τροφὴ μάλιστα δι' οὐδὲν ἕτερον γίνεται, ἢ ὅτι εὖ τε συγκέκρηται, καὶ οὐδὲν ἔχει ἄκρητον, οὐδὲ ἰσχυρόν, ἀλλ' ὅλον ἕν τε γέγονε, καὶ ἁπλόον, καὶ ἰσχυρόν.

Ἀπορέω δ' ἔγωγε, οἱ τὸν λόγον ἐκεῖνον λέγοντες, καὶ ἄγοντες ἐκ ταύτης τῆς ὁδοῦ ἐπὶ ὑπόθεσιν τὴν τέχνην, τίνα ποτὲ τρόπον θεραπεύσουσι τοὺς ἀνθρώπους, ὥσπερ ὑποτίθενται. Οὐ γάρ ἐστιν αὐτέοισιν, ὡς ἐγὼ οἶμαι, ἐξευ-

lum conſtiterit, tunc & ſenſui conſpicuum fit, ac hominem fatigat.

Quin & ex cibis quicumque nobis incommodi ſunt, & ingeſti hominem lædunt, horum quilibet aut amarus eſt, & eatenus intemperatus, aut ſalſus, aut acidus, aut quouis alio modo intemperatus & fortis, vt ab his turbetur corpus, æquè ac ex his quæ excernuntur à corpore. Contrà, quæ edit ac bibit homo, ea palàm eſt minimè eo intemperato & à reliquis diffidente ac excedente ſucco perfuſos eſſe, cuiuſmodi eſt panis, & maza, & his ſimilia, quibus aſſueuit homo & copioſis & aſſiduò vti: (exceptis his quæ ad cupediam ac delicias condiuntur ac præparantur) neque ab his, licet plurima ingerantur, commotio ac ſeceſſio fit ſtimulatis corporis facultatibus: quin potiùs robur & incrementum & nutricatus nullâ æquè ex cauſâ efflorefcit, quàm inde quod commiſtum eſt, quódque nihil intemperati gerat, neque vehementia emicat, ſed totum vnum factum eſt & ſimplex, & eatenus robori ſtudens.

Quin ego valdè dubito, quonam ducti auctores huius ſententiæ, quíque artem ex hac via ad hypotheſin abducunt, medicinam facturi ſint hominibus, ex ſua hypotheſi. Non enim exiſtimo illis compertum

ἐξευρημένον αὐτό τι ἐφ' ἑωυτοῦ θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν, μηδενὶ ἄλλῳ εἴδει κοινωνέον. Ἀλλ' οἶμαι ἔγωγε ταυτὰ πόματα καὶ βρώματα αὐτέοισιν ὑπάρχειν, οἷσι πάντες χρώμεθα· Προστιθέασι δὲ τῷ μὲν εἶναι θερμῷ, τῷ δὲ ψυχρῷ, τῷ δὲ ξηρῷ, τῷ δὲ ὑγρῷ. Ἐπεὶ ἐκεῖνό γε ἄπορον, προστάξαι τῷ κάμνοντι θερμόν τι προσενέγκασθαι· εὐθὺς γὰρ ἐρωτήσει τί ἐστιν· ὥστε ληρεῖν ἀνάγκη, ἢ ἐς τούτων τι τῶν γινωσκομένων καταφεύγειν. Εἰ δὲ δὴ τυγχάνει τι μὲν θερμὸν ἐὸν στρυφνὸν, ἄλλο δὲ θερμὸν πλαδαρὸν, ἄλλο δὲ θερμὸν ἀραδὸν ἔχον (ἔστι γὰρ καὶ ἄλλα τε θερμὰ, καὶ ἄλλας δυνάμιας ὑπεναντίας ἑωυτοῖσιν ἔχοντα) δεήσει δὲ τί αὐτέων προσενεγκεῖν; ἢ τὸ θερμὸν καὶ στρυφνὸν, ἢ τὸ θερμὸν καὶ πλαδαρὸν, ἢ ἅμα τὸ ψυχρὸν, καὶ στρυφνόν; (ἔστι γὰρ καὶ τοῦτο, καὶ τὸ ψυχρόν τε καὶ πλαδαρόν.) Ὡς μὲν γὰρ ἔγωγε οἶδα, πᾶν τοὐναντίον ἀφ' ἑκατέρου αὐτέων ἀποβαίνει, καὶ οὐ μόνον ἐν ἀνθρώπῳ, ἀλλὰ καὶ ἐν σκύτει, καὶ ἐν ξύλῳ, καὶ ἐν ἄλλοισι πολλοῖσιν, ἅ ἐστιν ἀνθρώπου ἀναισθητότερα.

Οὐ γὰρ τὸ θερμόν ἐστι τὸ τὴν μεγάλην δύναμιν ἔχον, ἀλλὰ τὸ στρυφνὸν, καὶ πλαδαρὸν, καὶ τἄλλα ὅσα μοι εἴρηται, καὶ ἐν τῷ ἀνθρώπῳ, καὶ ἔξω τοῦ ἀνθρώπου, καὶ ἐσθιόμενα, καὶ πινόμενα, καὶ ἔξωθεν ἐπι-

χριόμε-

pertum quid eſſe; quod ipſum per ſe aut calidum, aut frigidum, aut ſiccum, aut humidum ſit, nullaq. alia idea ſe participem faciat. Sed exiſtimo eoſdem potus & cibos ipſis in vſu eſſe, quibus omnes indulgemus: Quorũ alij aſcribunt calorem, alij frigus, alij ſiccitatem, alij madorem. Etſi interim dubij plenum ſit, imperare ægro vt calidũ quid aſſumat: cùm ſi illicò interrogetur quid ſit illud, aut nugas dicere cogatur, aut ad aliquid eorum quæ parari conſueuerunt, confugere. Iam cùm detur calidum quoddam acerbum, aliud autem quod eſt inſipidum & lubricum, quoddam cum turbatione ac morſu coniunctum (ſunt enim & multæ aliæ calidi ideæ, vires ſubcontrarias ſibi ipſis habentes) quodnam quæſo ipſorum aſſumere oportebit? calidúmne acerbum, an calidum lubricum, an quod vnà & frigidum eſt & acerbum? (nam & hoc tale exiſtit, vt & datur frigidum lubricum.) Quandoquidem hoc mihi compertum eſt, planè contraria ab vtroque ipſorum euenire, non ſolùm in homine, ſed etiam in corio ac ligno, & in aliis multis rebus, quæ minùs quàm homo ſentiunt.

Non enim calidum eſt quod eximiam per ſe vim habet, ſed ſi iunctum fuerit vel acerbum, vel lubricum, vel aliis, quas iam rettuli, qualitatibus imbutum, tum in homine, tum quæ extra hominem, in omnibus eduliis, ac potulentis, vel foris illi-

χεόμενά τι, καὶ πᾶσι πλασσόμενα. Ψυχρό-
τητα δ' ἔγωγε καὶ θερμότητα πασέων ἥκι-
στα τῶν δυναμίων νομίζω δυναστεύειν ἐν τῷ
σώματι, διὰ τάσδε τὰς προφάσιας. Ὃν
μὲν ἂν δήπου χρόνον μεμιγμένα αὐτὰ αὐ-
τέοισιν ἅμα τὸ ψυχρόν τε καὶ θερμὸν ᾖ, οὐ λυπεῖ
(κρῆσις γὰρ καὶ μετριότης τῷ μὲν ψυχρῷ
γίνεται ἀπὸ τοῦ θερμοῦ, τῷ δὲ θερμῷ ἀπὸ
τοῦ ψυχροῦ) ὅταν δὲ ἀποκριθείη χωρὶς ἑκά-
τερον, τότε λυπεῖ. Ἐν δὲ δὴ τουτέῳ τῷ
καιρῷ, ὅταν τὸ ψυχρὸν ἐπιγένηται, καὶ λυπή-
σῃ τὸν ἄνθρωπον, διὰ τάχεος πρῶτον, δι'
αὐτὸ τοῦτο, πάρεστι τὸ θερμὸν αὐτόθεν ἐκ
τοῦ ἀνθρώπου, οὐδεμιῆς βοηθείης οὐδὲ παρα-
σκευῆς δεόμενον. Καὶ ταῦτα καὶ ἐν ὑγιαί-
νουσι τοῖσιν ἀνθρώποισιν ἀπεργάζεται, καὶ ἐν
κάμνουσιν. Τοῦτο μὲν, εἴ τις θέλει ὑγιαίνων
χειμῶνος διαψύξαι τὸ σῶμα, ἢ λουσάμε-
νος ψυχρῷ, ἢ ἄλλῳ τῳ τρόπῳ, ὅσῳ ἂν αὐ-
τὸ ἐπὶ πλεῖον ποιήσῃ, καὶ ἢν γε μὴ παντά-
πασι παγῇ τὸ σῶμα, ὅταν εἵματα λά-
βῃ, καὶ ἔλθῃ ἐς τὴν σκέπην, μᾶλλον δὲ καὶ
ἐπὶ πλέον θερμαίνεται τὸ σῶμα. Τοῦτο δὲ
εἰ ἐθέλει ἐκθερμανθῆναι σφοδρῶς, ἢ λου-
τρῷ θερμῷ ἢ πολλῷ πυρί· ἐκ δὲ τοῦ αὐτοῦ τὸ
αὐτὸ εἷμα ἔχων ἐν τῷ αὐτέῳ χωρίῳ τὴν
διατριβὴν ποιέεσθαι, ὥσπερ ὁ διεψυγμέ-
νος,

muntur, vel adhibentur. Inter cunctas autem facultates, languidiſſimam eſſe exiſtimo frigiditatem & caliditatem, ob has ſanè cauſas. Dum enim conſociata inter ſe fuerint frigidum ac calidum, nequaquam affligunt (temperamentum enim & moderatio naſcitur frigido à calido, & viciſſim calido à frigido) vbi verò ſeceſſionem vtrumque fecerit, tunc affligit. Eo itaque tempore, ſi quando frigidum intus ſurgat, propter hoc ipſum, ilicò præſto eſt calidum ex ipſomet homine, nullius egens alterius auxilij aut præparationis. Atque hoc in ſanis & ægris hominibus ita euenit. Exempli cauſa, ſi quis proſpera in valetudine corpus hyeme perfrigeret, vel à frigida perfuſus, aut alio aliquo modo, & vt id vehementer faciat, dummodo ne corpus omnino gelu ſtringatur, ſimulátque ſe veſtierit, & ſub tectum venerit, fortiùs ac pleniùs eius corpus incaleſcet. Rurſus ſi quis validè incaleſcere velit, aut calido lauacro, vel valido ab igne, mox verò eadem veſte indutus, in eodem loco, in quo alter, qui perfrixit,

νος, πολὺ φαίνεται καὶ ψυχρότερος, καὶ ἄλλως φρικαλεώτερος.

Ἢν ῥιπιζόμενός τις ὑπὸ πνίγεος, καὶ παρασκευάζων αὐτὸς ἑωυτῷ ψῦχος ἐν τούτῳ τῷ τρόπῳ διαπαύσαι, τῷ τοῦτο ποιέοντι δεκαπλάσιον φαίνεται τὸ καῦμα καὶ τὸ πνῖγος, ἢ τῷ μηδὲν τοιοῦτον ποιέοντι. Τὰ δὲ δὴ καὶ πολὺ μείζω, ὅσοι αὖ διὰ χιόνος ἢ ἄλλης ψύξιος βαδίζοντες, ῥιγώσωσι διαφερόντως πόδας, ἢ χεῖρας, ἢ κεφαλὴν, οἷα πάσχουσιν ἐς τὴν νύκτα, ὅταν περισταλέωσί τε καὶ ἐν ἀλέῃ γένωνται, ὑπὸ καύματος καὶ κνησμοῦ· καὶ ἔστιν οἷσι φλυκταῖναι ἀνίστανται, ὡς ἀπὸ πυρὸς κατακεκαυμένοισι. καὶ οὐ πρότερον τοῦτο πάσχουσιν, πρὶν ἢ θερμανθῶσιν. Οὕτως ἑτοίμως ἑκάτερον αὐτέων ἐπὶ θάτερα παραγίνεται. Μυρία δ' ἂν καὶ ἕτερα ἔχοιμι εἰπεῖν.

Τὰ δὲ κατὰ τοὺς νοσέοντας, οὐχ οἷσιν ἂν ῥῖγος γένηται, τουτέοισιν ὀξύτατος ὁ πυρετὸς ἐκλάμπει; καὶ οὐχ οὕτως ἰσχυρῶς, ἀλλὰ καὶ παυόμενος δι' ὀλίγου, καὶ ἄλλως τὰ πολλὰ ἀσινὴς, καὶ ὅσον ἂν χρόνον παρῇ διάθερμος, καὶ διεξιὼν διὰ παντὸς, τελευτάων ἐς τοὺς πόδας μάλιστα, οὗπερ τὸ ῥῖγος καὶ ἡ ψύξις νεανικωτάτη καὶ ἐπὶ πλέον ἐχρόνισε; πάλιν δὲ ὅταν ἱδρώσῃ καὶ ἀπαλλαγῇ ὁ πυρετὸς, πολὺ μᾶλλον ἔψυξεν, ἢ εἰ μὴ ἔλαβε τὴν ἀρχήν;

verſetur, multo videbitur frigidior, & longè magis horroribus concuti.

Eodem modo ſi quis præ æſtu ventilationi indulgeat, vt hac ratione frigus ſibi conciliet, decuplo grauiorem æſtum ac ardorem percipiet, quàm is qui horum nihil efficit. Quin euidentiſſimè huic rei argumento ſunt qui per niuem aut aliud frigus iter facientes, vel pedibus, vel manibus, vel capite vehementer perfrixere, qualia experiuntur noctu, vbi tecti & in tempore fuerint, ab æſtu & pruritu; quibuſdam certè phlyctænæ exurgunt, velut ambuſtis ab igne, nec tamen antè hoc experiuntur, quàm dum incaluerint. Adeò promptè vtrumque horum ſibi mutuò conſectarium eſt. Poſſem & alia innumera recenſere.

Quod ſi nunc ægrotorum res examinauerimus, an non quibus rigor euenit, his acutiſſima febris exardeſcit: aut ſi quibus non ita validè exſplenduerit, ſed breui ſpacio quieſcens, & aliàs ferè innoxia, tamen quo tempore affuerit percalida, & totum corpus peruadens, an non deſinit quàm maximè in pedes, vbi rigor & frigus validiſſimum durauerant? Rurſus poſtquam ſudor manauit ac febris abierit, nónne multo magis frigeſcit æger,

ἀρχήν; τί οὖν διὰ ταχέος ἄν τις παραγένοιτο ἐν ἅπασι τισί τε, καὶ ἀφῃρημένου τῆς δυνάμιος ἀπὸ ταὐτομάτου, τί ἂν ἀπὸ τούτου μέγα ἢ δεινὸν γένοιτο; ἢ τίνος δεῖ πολλῆς ἐπὶ τοῦτον βοηθείας;

Εἴποιεν ἄν τις· ἀλλ' οἱ πυρεταίνοντες τοῖσι καύσοισί τε, καὶ περιπλευμονίῃσι, καὶ ἄλλοισιν ἰσχυροῖσι νοσήμασιν, οὐ ταχέως ἐκ τῆς θέρμης ἀπαλλάσσονται, οὐδὲ πάρεστιν ἐνταῦθα τὸ θερμὸν ἐπὶ τὸ ψυχρόν. Ἐγὼ δὲ τοῦτό μοι μέγιστον τεκμήριον ἡγεῦμαι εἶναι, ὅτι οὐ διὰ τὸ θερμὸν ἁπλῶς πυρεταίνουσιν οἱ ἄνθρωποι, οὐδὲ τοῦτο εἴη τὸ αἴτιον τῆς κακώσιος μοῦνον· ἀλλ' ἔστι καὶ πικρὸν καὶ θερμὸν τὸ αὐτό, , καὶ θερμὸν καὶ ὀξύ, καὶ ἁλμυρὸν καὶ θερμόν· καὶ ἄλλα μυρία. καὶ πάλιν γε ψυχρὸν μετὰ δυνάμιων ἑτέρων.

Τὰ μὲν οὖν λυμαινόμενα ταῦτά ἐστι· συμπάρεστι δὲ καὶ τὸ θερμόν, ῥώμης μετέχον (ὡς ἂν τὸ ἡγεύμενον, καὶ παροξυνόμενον καὶ αὐξανόμενον) ἅμα κείνῳ· δύναμιν δὲ οὐδεμίην πλείω τῆς προσηκούσης δηλαδή. ταῦτ' ὧδε ἔχει, ἐπὶ τῶν δὲ τῶν σημείων πρῶτον μέν ἐστι φανερώτατα, ὧν πάντες ἔμπειροι πολλάκις ἤδη ἐσμέν τε καὶ γενόμεθα. Τοῦτο μὲν ὅσοισιν ἂν ἡμέων κόρυζα ἐγγένηται, καὶ ῥεῦμα κινηθῇ διὰ τῶν ῥινέων, τοῦτο ὡς πολὺ δριμύτερον τοῦ πρότερον γινομένου τὸ

νου τὸ

quàm ſi ne à principio quidem febri implicitus fuiſſet? Cui itaque breui adeò contrarium ſuccedit, cuíque vltrò vis admitur, quidnam ab hoc eximium aut terribile expectes? aut quid opus eſt polydædalo ad hoc auxilio?

Sed dixerit aliquis; qui à cauſo febricitant, vel qui peripneumoniis inuoluuntur, aut aliis validis morbis, non facilè caloribus liberantur, nec hîc frigidum aduerſus calidum ſe erigit. Atqui ego hoc ſignum ſyllogiſticum eſſe exiſtimo, quòd non à ſolo calido abſolutè homines febricitent, neque hoc ſit vnica afflictionis cauſa: verùm idem eſt vnà amarum & calidum, aut calidum & acidum, & ſalſum & calidum, & alia innumera; eadémque ratione frigidum cum aliis facultatibus conſociatum.

Hæc itaque ſunt quæ lædunt: quibus cunctis iunctum eſt calidum, robore præditum (in deducendo, & irritando, & augendo) communi cum illis: peculiarem verò aliam vim maiorem nullam, quàm conueniat videlicet, habens. Atque hæc quidem eo modo ſe habere ex hiſce notis primùm elucebit, quas iam vſu ſæpè compertas habemus. Etenim quibuſcumque noſtrûm coryza naſcitur, ac fluxus per nares præcipitatur, hic cùm longè acrior ſit quàm prior ille, qui cottidie ex nari-

νου τε καὶ ἰόντος ἐκ τῶν ῥινέων καθ' ἑκάστην ἡμέρην, καὶ οἰδέειν μὲν ποιέει τὴν ῥῖνα, καὶ συγκαίει θερμόν τε καὶ διάπυρον ἐσχάτως. ἢν δὲ τὴν χεῖρα προσφέρῃς, καὶ πλείω χρόνον ἅπτῃ, καὶ ἐξελκοῦται τὸ χωρίον, ἄσαρκόν τε καὶ σκληρὸν ἐόν.

Παύεται δέ πως τόγε καῦμα ἐκ τῆς ῥινὸς, οὐχ ὅταν τὸ ῥεῦμα γίνεται, καὶ ἡ φλεγμονὴ ᾖ, ἀλλ' ἐπειδὰν παχύτερόν τε καὶ ἧσσον δριμὺ, πέπον τε καὶ μεμιγμένον μᾶλλον τοῦ προτέρου γινόμενον, τότε ἤδη καὶ τὸ καῦμα πέπαυται. Ἄλλοισι δὲ ὑπὸ ψύχεος φανερῶς αὐτοῦ μόνου γίνεται, μηδενὸς ἄλλου ξυμπαραγενομένου. Πᾶσι δὲ αὕτη ἡ ἀπαλλαγὴ, ἐκ μὲν τοῦ ψύχεος διαθερμανθῆναι· ἐκ δὲ τοῦ καύματος, διαψυχθῆναι· καὶ ταῦτα ταχέως παραγίνεται, καὶ πέψιος οὐδεμιῆς προσδεῖται. Τὰ δ' ἄλλα πάντα, ὅσα διὰ χυμῶν δριμύτητας καὶ ἀκρησίας φημὶ ἔγωγε γίνεσθαι, τὸν αὐτὸν τρόπον ἀποκαθίστασθαί τε *κρηθέντα, καὶ πεφθέντα. Ὅσα τ' αὖ ἐπὶ τοὺς ὀφθαλμοὺς τρέπεται τῶν ῥευμάτων, ὡς ἰσχυρὰς καὶ παντοίας δριμύτητας ἔχοντα, ἑλκοῖ μὲν βλέφαρα, κατεσθίει δὲ ἐνίων γνάθους τε, καὶ τὰ ὑπὸ τοῖσιν ὀφθαλμοῖς, ἐφ' ὅ,τι ἂν ἐπιρρυῇ, ῥήγνυσί τε καὶ διεσθίει τὸ ἀμφὶ τὴν ὄψιν χιτώνιον. ὀδύναι δὲ καὶ καῦμα καὶ φλογμὸς

ἔσχα-

bus dimanabat, non ſolùm in tumorem attollit naſum, verùm eundem etiam æſtu incandeſcentem ad manus tactum torret. quod ſi diutiùs perſeueret, etiam exulceratur locus, quamuis minimè carnoſus & durus exiſtat.

Sedatur autem aliquo modo ardor in naribus, non cùm fluxus prodit, & inflammatio conſiſtit; ſed poſtquam fluxus craſſior & minùs acris, & iam coctus ac rectiùs permixtus priore fuerit, tunc ſanè æſtus placatur. Sunt alij quibus ex ſola frigiditate nulli alij conſociata manifeſtè coryza naſcitur. Cunctis verò ſalus hæc eſt, vt à frigore afflicti incaleſcant; at qui à calore, inalgeſcant: quæ vtraque exiguo temporis ſpacio peraguntur, cùm nulla coctione egeant. Cætera verò cuncta, quæ ex ſuccorum acrimonia & intemperantia oriri aſſero, reſtituuntur ac redintegrantur, vbi temperata fuerint & concocta. Similiter rheumata quæ curſum ſuum flectunt in oculos, cùm validis variiſque prædita ſint acrimoniis, exulcerant palpebras, exedunt nonnunquam genas, & oculis ſubditas partes, ad quaſcunque tandem fluxerint; quin frangunt etiam ac erodunt eam, quæ oculum cingit tunicam. Dolor præterea, æſtus, ac

ſummus

ἔσχατος καλέεται μέχρι τινὸς, μέχρις ἂν τὰ ῥεύματα πεφθῇ, καὶ γένηται παχύτερα, καὶ λύσις ἀπ' αὐτέων εἴη· τὸ δὲ πεφθῆναι γίνεται ἐκ τοῦ μιχθῆναι, κρηθῆναί τε ἀλλήλοισι καὶ συνεψηθῆναι.

Τοῦτο δὲ ὅσα ἐς τὴν φάρυγγα, ἀφ' ὧν βράγχοι γίνονται κυνάγχαι, ἐρυσιπέλατα, περιπλευμονίαι· πάντα ταῦτα τὸ μὲν πρῶτον ἁλμυρά τε, καὶ ὑγρὰ, καὶ δριμέα ἀφίει, καὶ ἐν τοῖσι τοιουτέοισιν ἔρρωται τὰ νοσήματα. Ὅταν δὲ παχύτερα καὶ πεπαίτερα γίνεται, καὶ πάσης δριμύτητος ἀπηλλαγμένα τότ' ἤδη καὶ οἱ πυρετοὶ λύονται, καὶ τἄλλα τὰ λυπέοντα τὸν ἄνθρωπον. Δεῖ δὲ δήπου ταῦτα αἴτια ἑκάστου ἡγεῖσθαι, ὧν παρεόντων μὲν τοιοῦτον τρόπον ἀνάγκη γίνεσθαι· μεταβαλλόντων δὲ ἐς ἄλλην κρῆσιν, παύεσθαι. Ὁκόσα οὖν ἀπὸ αὐτῆς τῆς θέρμης εἰλικρινέος ἢ ψύξιος γίνεται, καὶ μὴ μετέχει ἄλλης δυνάμιος μηδεμιῆς, οὕτω παύοιτ' ἂν, ὅταν μεταβάλλῃ ἐκ τοῦ ψυχροῦ ἐς τὸ θερμὸν, καὶ ἐκ τοῦ θερμοῦ ἐς τὸ ψυχρόν. Μεταβάλλει δὲ ὅν μοι προείρηται τρόπον.

Ἔτι τοίνυν τ' ἄλλα, ὅσα κακοπαθέει ἄνθρωπος, πάντα ἀπὸ δυναμίων γίνεται· τοῦτο μὲν, ὅταν πικρότης τις ἀποχυθῇ, ἣν δὴ χολὴν ξανθὴν καλέομεν, οἷαι ἄσαι καὶ καύματα καὶ ἀδυναμίαι κατέχουσι· ἀπαλ-

λασσό-

ſummus ardor aliquamdiu fatigat, donec ſcilicet rheumata coctione edomita fuerint, ac craſſamentum nacta fuerint, ac lemæ ab ipſis gignantur. Fit autem coctio ex mixtione, & temperatura mutua, mutuáque veluti elixatione.

Quinetiam quæ in fauces delabuntur, ex quibus raucedines, anginæ, eryſipelata, peripneumoniæ, animaduertamus: cuncta hæc ineunte fluxu ſalſa, & humida, acriáque affluunt, & in talibus incrementis morbi augeſcunt. Vbi verò craſſa euaſerint, ac pepaſmo mitigata fuerint, & ab omni acrimonia aliena euaſerint, tunc ilicò tum febres ſoluuntur, tum cætera quæ hominem affligebant mitescunt. Oportet autem cauſas cuiuſque affectionis has putare, quarum præſentia talem affectionis ideam naſci neceſſarium eſt: quibúsque in aliud temperamentum ſe flectentibus affectio ceſſat. Quandocumque igitur ab ipſa nuda caliditate, aut frigiditate hæc euenirent, nec vllius alterius facultatis participes forent, certè illa mitescerent, ſi ex frigido in calidum verterentur, & ex calido in frigidum. At ſolùm eo quo dixi modo peranitantur.

Præterea cuncta alia mala quibus affligitur homo, ea omnia ex ſuccorum potentiis proficiſcuntur: verbi causâ, ſi amaror quidam ſecernatur, quam bilem flauam appellamus, quales ilico iactationes & æſtus incandeſcentia & proſtratio

λαπτόμενοί τι τελέως ἐνίοτε, κ̀ καθαιρόμενοι ἢ αὐτόματοι ἢ ὑπὸ φαρμάκου, ἢν ἐν καιρῷ τι αὐτέων γένηται, φλυζῶσι καὶ τοῦ πόνου καὶ τῆς θέρμης ἀπαλλάσσονται. Ὅσα δ' αὖ χρόνον ταῦτα μὴ πέπειρα ᾖ, καὶ ἄπεπτα καὶ ἄκρητα, μηχανὴ οὐδεμίη οὔτε τῶν πόνων παύσασθαι, οὔτε τοῦ πυρετοῦ. Καὶ ὅσοισι μὲν ὀξύτητες προσίστανται δριμεῖαί τε καὶ ἰώδεες, οἷαι λύσσαι, καὶ δήξιες σπλάγχνων, κ̀ θώρηκος, καὶ ἀπορίη. Οὐ παύεται τουτέων πρότερον, πρὶν ἀποκαθαρθῇ τε, καὶ καταστορεσθῇ, καὶ μιχθῇ τοῖσιν ἄλλοισι. Πέσσεσθαι δὲ, καὶ μεταβάλλειν, καὶ λεπτύνεσθαι, καὶ παχύνεσθαι ἐς χυμῶν εἶδος διὰ πολλῶν εἰδέων καὶ παντοίων (διὸ καὶ αἱ κρίσιες καὶ οἱ ἀριθμοὶ τῶν χρόνων ἐν τοῖσι τοιούτοισι μέγα δύνανται) πάντων δὴ τουτέων ἥκιστα προσήκει θερμῷ ἢ ψυχρῷ πάσχειν. Οὔτε γὰρ ἂν τοῦτό γε σαπῇ, οὔτε παχυνθῇ.

Τί δ' αὖ αὐτὸ φαίημεν εἶναι; κρήσιας τε αὐτέων εἶναι, πλείω πρὸς ἄλληλα ἔχουσαν δύναμιν. Ἐπεὶ ἄλλῳ γε οὐδενὶ τὸ θερμὸν μιχθὲν, παύσεται τῆς θέρμης, ἢ τῷ ψυχρῷ· οὐδέ γε πάλιν τὸ ψυχρὸν ἢ τῷ θερμῷ. Τὰ δ' ἄλλα πάντα περὶ τὸν ἄνθρωπον, ὅσῳ ἂν πλέοσι μίσγηται, τοσούτῳ ἠπιώτερα κ̀ βελτίονα. Πάντων δὲ ἄριστα διάκειται ἄνθρωπος, ὅταν σέσσηται

tio virium inuoluunt! verùm liberati ab illa nonnunquam, aut vltrò aut pharmaco purgati, modò loco & tempore quid horum factum fuerit, liquidò & doloribus & ardoribus defunguntur. Quamdiu autem eadem mole turgida, & pepaſmi expertia, & immoderata fuerint, nullâ arte nec dolores nec febres placari poterunt. Itidem quibus acuti, & acerrimi, & æruginoſi ſucci moleſti ſunt, quaſi mox rabiei, ac viſcerum thoracíſque morſibus, & anxietati inuoluuntur! Neque horum finis priuſquam iidem excludantur & ſedentur, & aliis remiſceantur. Concoqui autem, & mutari, attenuaríque ac craſſeſcere in aliàm humorum ideam oportet (quapropter & criſes & numeri temporum in his talibus plurimum valent) verùm hæc cuncta euenire calido aut frigido minimè omnium conſentaneum eſt: cùm nec putreſcere, nec craſſeſcere queant.

Quod itaque officium vtriuſque dicemus? Attemperatio ipſorum propria eſt, tum verò etiam in ſe mutuò agendi facultatem habent: quandoquidem nulli alij remixtum calidum, feruore ſpoliatur, quàm vnico frigido. nec alij cedit frigidum, quàm ſoli calido. Reliqua cuncta in homine, quanto pluribus remixta fuerint, tanto mitiora & meliora euadunt. Quin tunc optima valetudine fruitur homo, cùm cibos rectè coquit, ac cùm

περιέσονται, καὶ ἐν ἡσυχίῃ, μηδεμίην δύναμιν ἰδίην ἀποδεικνύμενοι. Περὶ μὲν οὖν τουτέων ἱκανῶς μοι ἡγεῦμαι ἐπιδεδεῖχθαι.

Λέγουσι δέ τινες καὶ ἰητροὶ, καὶ σοφισταὶ, ὡς οὐκ ἔνι δυνατὸν ἰητρικὴν εἰδέναι, ὅστις μὴ οἶδεν ὅ, τι ἐστὶν ἄνθρωπος, καὶ ὅπως ἐγένετο πρῶτον, καὶ ὅπως συνεπάγη. Ἐγὼ δὲ τουτέων μὲν ὅσα τινὶ εἴρηται σοφιστῇ, ἢ ἰητρῷ, ἢ γέγραπται περὶ φύσιος, ἧσσον νομίζω τῇ ἰητρικῇ τέχνῃ προσήκειν, ἢ τῇ γραφικῇ. Νομίζω δὲ, ὅτι περὶ φύσιος γνῶναί τι σαφὲς, οὐδαμόθεν ἄλλοθεν εἶναι, ἢ ἐξ ἰητρικῆς· τοῦτο δὲ οἷόν τε καταμαθεῖν, ὅταν αὐτήν τις τὴν ἰητρικὴν ὀρθῶς πᾶσαν περιλάβῃ. Μέχρι δὲ τουτέου πολλοῦ μοι δοκέει ἰδεῖν, λέγω δὲ τὴν ἱστορίην ταύτην εἰδέναι, ἄνθρωπος τί ἐστι, καὶ δι' οἵας αἰτίας γίνεται, καὶ τ' ἄλλα ἀκριβέως. Ἐπεί τοι γε μοι δοκέει ἀναγκαῖον εἶναι παντὶ ἰητρῷ περὶ φύσιος εἰδέναι, καὶ πάνυ σπουδάσαι, ὡς εἴσεται (εἴπερ τι μέλλει τῶν δεόντων ποιήσειν) ὅ, τι ἐστὶν ἄνθρωπος πρὸς τὰ ἐσθιόμενα, καὶ πινόμενα, καὶ ὅ, τι ἀφ' ἑκάστου ἑκάστῳ συμβήσεται· καὶ μὴ ἁπλῶς οὕτω δοκέειν, ὅτι πονηρὸν βρῶμα τυρὸς (πόνον γὰρ παρέχει τῷ πληρωθέντι αὐτοῦ) ἀλλὰ τίνα τε πόνον,

καὶ διὰ

in ocio eſt; nec vllus in corpore ſuccus præ cæteris peculiari vi exſplendeſcit. Et de his quidem videor mihi abundè ſatis demonſtraſſe.

Cæterùm & medici & ſophiſtæ quidam aiunt, quòd non potis ſit medicinam cognoſcere eum, cui exploratum non ſit quid ſit homo, & quo modo primùm factus & conſociatus ſit. Ego verò hæc quæ ita de naturâ dicuntur aut ſcribuntur ſiue à ſophiſta, ſiue à medico, minus conſentanea medicæ arti exiſtimo quàm pictoriæ. Mea autem hæc ſententia eſt, de natura aliquid certum exploratum habere, non aliunde euenire, quàm ex medicina: atque idipſum tunc demum diſci poſſe, vbi quis totam medicinam rectè perceperit. Enimuerò quamplurimi eò cognitionis progreſſum fecere, vt veluti ſenſu comperta narrare poſſint, quid ſit homo, & è quibus cauſis enatus, & cætera exactè. Verùm mihi maximè è re medicorum eſſe videtur, vt is in naturæ rebus exercitatus ſit, vtque omni ſtudio annitatur, vt percipiat (ſi quid quod facto opus eſt præſtabit) quid ſit homo collatione facta ad ea quæ eduntur & bibuntur, & quid à ſingulis cuique euenturum ſit: nec ita abſolutè putare, quòd malum edulium ſit caſeus (damnis enim affligit liberaliùs ei indulgentem) verùm etiam explorandum, quódnam incommodum, &

καὶ διὰ τί. καὶ πίνει τῶν ἀνθρώπων ἐνεόντων ἀνεπιτήδειον.

Ἔστι γὰρ καὶ ἄλλα πολλὰ βρώματα καὶ πόματα φύσει πονηρὰ, καὶ διατίθησι τὸν ἄνθρωπον οὐ τὸν αὐτὸν τρόπον. Οὕτως οὖν μοι ἔστω τὸ λόγο, ὅτι οἶνος ἄκρητος πολὺς ποθεὶς, διατίθησί πως τὸν ἄνθρωπον ἀσθενέα· καὶ ἅπαντες ἂν ἰδόντες τοῦτο γνοίησαν, ὅτι αὕτη ἡ δύναμις οἴνου, καὶ αὐτὸς ἐστιν αἴτιος· καὶ οἷσί γε τῶν ἐν τῷ ἀνθρώπῳ τοῦτο μάλιστά γε δύναται, οἴδαμεν. Τοιαύτην δὴ βούλομαι ἀληθείην καὶ περὶ τῶν ἄλλων φανῆναι. Τυρὸς γὰρ (ἐπειδὴ τούτῳ σημείῳ ἐχρησάμην) οὐ πάντας ἀνθρώπους λυμαίνεται· ἀλλ' εἰσὶν, οἵ τινες αὐτοῦ πληρεύμενοι, οὐδ' ὁτιοῦν βλάπτονται· ἀλλὰ καὶ τοῖς ἰσχύειν, οἷσιν ἂν ξυμφέρῃ θαυμασίως παρέχεται· εἰσὶ δ' οἳ χαλεπῶς ἀπαλλάσσουσι. Διαφέρουσι δὲ τούτων αἱ φύσιες.

Διαφέρουσι δὲ κατὰ τοῦτο. ὅπερ ἐν τῷ σώματι ἔνεστι πολέμιον τυρῷ, ὑπὸ τοιούτου ἐγείρεταί τε καὶ κινέεται, οἷσιν ὁ τοιοῦτος χυμὸς τυγχάνει πλείων ἐνεών· καὶ μᾶλλον ἐνδυναστεύων ἐν τῷ σώματι, τούτους μᾶλλον καὶ κακοπαθέειν εἰκός. Εἰ δὲ πάσῃ τῇ ἀνθρωπίνῃ φύσει ἦν κακὸν, πάντας ἂν ἐλυμαίνετο. Ταῦτα δὲ εἴ τις εἰδείη, οὐκ ἂν πάσχοι. Τὰ δ' ἐν ὑγιείῃσιν ἀνακομιδῇσι, τῇσιν ἐκ τῶν

quamobrem, & cui humani corporis parti incommodus habeatur.

Sunt enim & plurima alia edulia ac potulenta naturâ maligna, nec tamen eodem modo hominem affligunt. Exempli cauſa, vinum merum plenâ manu ſumptum, hominem aliquo modo debilem reddit, & cuncti qui viderunt hoc fatentur, & agnoſcunt quòd hæc ſit vini vis, & à vino id proficiſci: & quas in homine partes maximè percellat nouimus. Quare & talem veritatem certitudinemque & in aliis exſplendeſcere volo. Itaque caſeus (cùm hoc argumento vti cepi) non omnibus hominibus iniurius eſt: ſed ſunt qui eo pleni, nihil & ne tantillum quidem incommodi ſentiunt: imò tenuibus mirum in modum conferre animaduerſum eſt: ſunt iterùm alij qui ægrè eius defunguntur moleſtiis. Horum itaque naturæ diuerſæ ſunt.

Diuerſæ autem ſunt hac ratione: quòd id quod in corpore caſeo bellum indicit, à caſeo excitetur ac agitetur, his quibus eiuſmodi ſucco circumfluit corpus; qui quanto efficacior redditus fuerit in corpore, tanto vehementiùs eos affligi conſentaneum eſt. Quod ſi toti naturæ humanæ is iniurius eſſet, omnes vtique affligeret. Has itaque differentias ſi quis nouiſſet, non incurreret hæc, nec ea pateretur. In refectionibus verò, dum ſe à mor-

ἐκ τῶν νούσων, ἔτι δὲ καὶ ἐν τῇσι νούσοισι τῇσι μακρῇσι, γίνονται πολλαὶ συμπαρατάξιες, αἱ μὲν ἀπὸ ταυτομάτου, αἱ δὲ καὶ ἀπὸ τῶν προσενεχθέντων τῶν τυχόντων.

Οἶδα δὲ τοὺς ἰητροὺς τοὺς πολλοὺς, ὡς τοὺς ἰδιώτας, ἢν τύχωσι περὶ τὴν ἡμέρην ταύτην τι κεκαινουργηκότες, ὡς λουσάμενοι, ἢ περιπατήσαντες, ἢ φαγόντες τι ἑτεροῖον, ταῦτα δὲ πάντα βελτίω προσενηνεγμένα ἢ μὴ, οὐδὲν ἧσσον τὴν αἰτίην τουτέων τινὶ ἀνατιθέντας, τὸ μὲν αἴτιον ἀγνοοῦντας, τὸ δὲ συμφορώτατον ἢν οὕτως τύχῃ, ἀφαιρέοντας. Δεῖ δὲ οὔ· ἀλλ' εἰδέναι, τί λουτρὸν ἀκαίρως προσγενόμενον ἐργάσεται, ἢ τί κόπος. Οὐδέποτε γὰρ ἡ αὐτὴ κακοπάθεια τουτέων, οὐδ' ἑτέρου, οὐδέ γε ἀπὸ πληρώσιος, οὐδέ γε ἀπὸ βρώματος τοίου ἢ τοίου. Ὅστις οὖν ταῦτα μὴ εἴσεται, ὡς ἕκαστα ἔχει πρὸς τὸν ἄνθρωπον, οὔτε γινώσκειν τὰ γινόμενα ἀπ' αὐτέων δυνήσεται, οὔτε χρέεσθαι ὀρθῶς.

Δεῖν δέ μοι δοκεῖ καὶ ταῦτ' εἰδέναι, ὅσα τῷ ἀνθρώπῳ παθήματα ἀπὸ δυναμίων ἔρχεται, καὶ ὅσα ἀπὸ σχημάτων. Λέγω δὲ τί τοῦτο, δύναμιν μὲν εἶναι, τῶν χυμῶν εἰδέναι

τὰς

bo colligunt conualeſcentes, præterea in his qui morbis diuturnis conflictantur, multi velut inſtructa acie conflictus fiunt, partim vltrò, partim ex iis quæ ſine delectu adhibentur.

Noui autem medicos & idiotas multos, qui ſiquid fortè ea die ægri nouaſſent, puta ſi lauiſſent, aut deambulaſſent, aut quid alienum à præſcriptis comediſſent, etſi hæc cuncta adhibuiſſe quàm neglexiſſe præſtaret, nihilominus tamen cauſam nouæ afflictionis prædictorum alicui aſcribebant, veram quidem cauſam ignorantes, & nonnunquam id quod maximè recreabat ſuis beneficiis defraudantes. Verùm hoc modo tranſigere non licet: ſed illud compertum potiùs eſſe debet, quidnam balneum, nec loco nec iure adhibitum, adferre ſoleat, & quid ſit afflictio. Nunquam enim eiuſdem ideæ afflictio vel ab his, vel à quouis alio proficiſcitur, & neque ex ſatietate, neque ex hoc vel illo edulio. Si quis hæc explorata non habet, quomodo horum quæque ad hominem comparata ſe habeant, is neque horum euenta percipere poterit, nec iis commodè vti.

Cæterùm præter hæc neceſſe fuerit vt rectè dignoſcat, quænam paſſiones dimanent ex ſuccorum exuperantibus qualitatibus & viribus, quæ item ex figuris eueniant. Hoc volo, ac facultatem quidem appello, humorum excellentes qualita-

τὰς ἀκρότητάς τε καὶ ἰσχύς. σχήματα δὲ λέγω, ὅσα ἔνεστιν ἐν τῷ ἀνθρώπῳ. Τὰ μὲν γὰρ κοῖλά τε καὶ ἐξ εὐρέος εἰς στενὸν ἐπὶ συνηγμένα· Τὰ δὲ καὶ ἐκπεπταμένα, τὰ δὲ στερεά τε καὶ στρογγύλα, τὰ δὲ πλατέα καὶ ἐπικρεμάμενα, τὰ δὲ διατεταμένα, τὰ δὲ μακρά, τὰ δὲ πυκνά, τὰ δὲ μανά τε καὶ τεθηλότα, τὰ δὲ σπογγοειδέα, καὶ ἀραιά.

Τοῦτο μὲν ἑλκύσαι ἐφ' ἑωυτὸ καὶ ἐπισπάσασθαι ὑγρότητα ἐκ τοῦ ἄλλου σώματος, πότερον τὰ κοῖλά τε καὶ ἐκπεπταμένα, ἢ τὰ στερεά τε καὶ στρογγύλα, ἢ τὰ κοῖλά τε καὶ ἐς στενὸν ἐξ εὐρέος συνηγμένα, δύναιτ' ἂν μάλιστα; οἶμαι μὲν τὰ τοιαῦτα εἰς στενὸν συνηγμένα ἐκ κοίλου τε καὶ εὐρέος. Καταμανθάνειν δὲ δεῖ αὐτὰ ἔξωθεν ἐκ τῶν φανερῶν. Τοῦτο μὲν γὰρ τῷ στόματι κεχηνὼς, ὑγρὸν οὐδὲν ἀνασπάσαις· προμυλλήνας δὲ καὶ συστείλας, πιέσας τε τὰ χείλεα, ἔτι τε αὐλὸν προσθέμενος, ῥηϊδίως ἀνασπάσαις ἂν ὅ,τι θέλοις. Τοῦτο δὲ, αἱ σικύαι προσβαλλόμεναι ἐξ εὐρέος εἰς στενότερον συνηγμέναι πρὸς τοῦτο τετεχνέαται, πρὸς τὸ ἕλκειν ἀπὸ τῆς σαρκὸς καὶ ἐπισπᾶσθαι· ἄλλα τε πολλὰ τοιουτότροπα. Τῶν δ' ἔσω τοῦ ἀνθρώπου, φύσις καὶ σχῆμα τοιοῦτον, κύστις τε καὶ κεφαλὴ, καὶ ὑστέρα γυναιξί. Καὶ φανερῶς ταῦτα μάλιστα ἕλκει, καὶ πλήρεά ἐστιν ἐπά-

litates vireſque. figuras autem dico ea quæ inſunt in homine. Aliæ enim partes cauæ ſunt, & ex ampliſſimo ſpacio in arctum coactæ, aliæ expaſſæ, aliæ ſolidæ & rotundæ, aliæ latæ & penſæ, aliæ extentæ, aliæ longæ, aliæ denſæ, aliæ raræ & ſucculentæ, aliæ ſpongiformes & molles.

Quæ itaque quæſo ex his in ſeſe trahere ac prolectare humiditatem ex reliquo corpore optimè poterunt? num cauæ & expaſſæ, an ſolidæ & rotundæ, aut cauæ & in arctum ex fuſa amplitudine coactæ? Equidem exiſtimo has quæ ex cauitate & amplitudine in arctum ſunt coactæ. Quod colligere licet ex his quæ foris conſpicua ſunt. Partim quidem quòd hiante ore nihil liquoris attraxeris: vbi verò labra foras produxeris, contraxeríſque ac compreſſeris, inſuperque fiſtulam admoueris, facillimè ſanè attrahes ea quæ volueris. Partim verò quòd cucurbitæ ex anguſto ſpacio in anguſtum arctatæ in hunc vſum fabricatæ ſunt, ad trahendum ac prolectandum ex carne: vt & multa inueniuntur alia quæ huic non abſimilia ſunt. Tales autem naturâ ac figurâ partes ſunt in corpore, veſica & caput, & vterus in mulieribus. Atque hæ partes manifeſtiſſimè trahunt, ac perpetuò

ἐπάκτου ὑγρότητος αἰεί. Τὰ δὲ κοῖλα καὶ ἐκπεπταμένα, ἐπιῤῥυεῖσαν μὲν ἂν ὑγρότητα μάλιστα δέξαιτο πάντων, ἐπισπάσαιτο δ' ἂν οὐχ ὁμοίως.

Τὰ δέ γε στερεὰ καὶ στρογγύλα οὔτ' ἂν ἐπισπάσαιτο, οὔτ' ἂν ἐπιῤῥυεῖσαν ἐδέξαιτο· περιολισθάνοι τε γὰρ ἄν, καὶ οὐκ ἔχοι ἕδρην, ἐφ' ἧς μένοι. Τὰ δὲ σπογγοειδέα τε καὶ ἀραιὰ, οἷ σπλὴν, πλεύμων, καὶ μαζοὶ, προσκαθεζόμενα μάλιστα ἀναπίνοι, καὶ σκληρυνθείη καὶ αὐξηθείη ὑγρότητος προσγενομένης ταῦτα μάλιστα. Οὐ γὰρ ἂν, ὥσπερ ἐν κοιλίῃ ἐν ᾗ τὸ ὑγρὸν, ἔξω τε περιέχει, αὐτὴ ἡ κοιλίη ἐν ᾗ τὸ ὑγρὸν καὶ ἐξαγγίζοιτ' ἂν καθ' ἑκάστην ἡμέρην· ἀλλ' ὅταν πίῃ καὶ δέξηται αὐτὸ ἐς ἑωυτὸ τὸ ὑγρὸν, τὰ κενὰ καὶ ἀραιὰ, καὶ τὰ σμικρὰ πάντῃ· καὶ ἀντὶ ἀραιοῦ τε καὶ μαλθακοῦ σκληρός τε καὶ πυκνὸς ἐγένετο, καὶ οὔτ' ἐκπέσσει, οὔτ' ἀφίησι. Ταῦτα δὲ πάσχει διὰ τὴν φύσιν τοῦ σχήματος.

Ὅσα δὲ φῦσάν τε καὶ ἀνειλήματα ἐργάζονται ἐν τῷ σώματι, προσήκει ἐν μὲν τοῖσι κοίλοισί τε καὶ εὐρυχωρέσιν, οἷον κοιλίῃ τε καὶ θώρηκι, ψόφον τε καὶ πάταγον ἐμποιέειν. Ὅτι γὰρ ἂν μὴ ἀποπληρώσῃ οὕτως ὥστε στῆναι, ἀλλ' ἔχῃ μεταβολάς τε καὶ κινήσιας, ἀνάγκη ὑπ' αὐτέων καὶ ψόφον καὶ καταφανέας κινήσιας γίνεσθαι. Ὅσα δὲ σαρκώδεά τε

καὶ μαλ-

tuò plenæ ſunt attracta humiditate. Cauæ econtrà & latè fuſæ partes, affluentem maximè ſuccum accipiunt, non tamen ſimiliter attrahunt.

Solidæ autem & rotundæ, neque trahunt, nec ſuſcipiunt: quandoquidem dilabitur humor, & non ſtabilem inuenit ſedem. Spongiformes verò & molles, velut ſplen, pulmones, & mammæ, quæ in procinctu ſunt maximè ebibunt, duræque fiunt ac turgeſcunt hæ partes illabente humore. Neque enim ſi ventre conceptus ſit humor, & foris etiam humor contineatur, ipſe venter humorem illum ſingulis diebus euacuare poterit: ſed cùm imbiberit viſcus ſuccum, & in ſe receperit, cuncta loca vacua & rara, quantumlibet parua adimplentur: & viſcus quod rarum & molle erat, durum ac denſum redditur, & nec concoquit, nec excernit. Hæc autem patitur ob figuræ indolem.

Quæcumque verò flatum & torſiones excitant in corpore, ea in cauis ac amplis partibus, veluti ventre ac pectore, ſonum ac ſtrepitum efficere ſolent. Nam cùm non ita repleant vt ſtent, ſed tranſmutationes & motus habeant, neceſſariò ab his & ſtrepitus & manifeſtæ motiones fiunt. At quæ carneæ ſunt & molles partes,

καὶ μαλθακὰ, ἐν τοῖσι τελέοισι σάρκες τε καὶ πληρώματα, οἷα ἐν τοῖσιν ἀποσφαγεῖσι, γίνεται.

Ὅταν δ' ἐγκύρσῃ πλατεῖ τε καὶ ἀντικεκλιμένῳ, καί τι πρὸς αὐτὸ ἀντιπέσῃ, *τοῦτο τύχῃ μήτε ἰσχυρὸν ἐὸν, ὥστε δύνασθαι ἀντέχεσθαι τῆς βίης, καὶ μηδὲν κακὸν παθεῖν, μήτε μαλθακόν τε καὶ ἀραιὸν, ὥς' ἐκδέξασθαί τε καὶ ὑπεῖξαι, ἁπαλόν τε καὶ τεθηλὸς, καὶ ἔναιμον καὶ πυκνὸν, οἷον ἧπαρ· διὰ μὲν τὴν πυκνότητα καὶ πλατύτητα, ἀνθέστηκέ τε καὶ οὐχ ὑπείκει. Φῦσα δὲ ὑποδεχομένη, αὔξεταί τε, καὶ ἰσχυροτέρη γίνεται, καὶ ὁρμᾷ μάλιστα πρὸς τὸ ἀντιπαῖον· διὰ δὲ τὴν ἁπαλότητα καὶ τὴν ἐναιμότητα οὐ δύναται ἄνευ πόνου εἶναι. Καὶ διὰ ταύτας τὰς προφάσιας ὀδύναι τε ὀξύταται καὶ πυκνόταται πρὸς τοῦτο χωρίον γίνονται, ἐκπυήματά τε καὶ φύματα πλεῖστα.

Γίνεται δὲ καὶ ὑπὸ φρένας ἰσχυρῶς, ἧσσον δὲ πολλόν. Διάτασις μὲν γὰρ φρενῶν πλατείη καὶ ἀντικεκλιμένη, φύσις δὲ νευρωδεστέρη τε καὶ ἰσχυροτέρη, διὸ ἧσσον ἐπώδυνά ἐστι. Γίνονται δὲ καὶ περὶ ταῦτα καὶ πόνοι, καὶ φύματα. Πολλὰ δὲ καὶ ἄλλα καὶ ἔσω καὶ ἔξω τοῦ σώματος εἴδεα σχημάτων, ἃ μεγάλα ἀλλήλων διαφέρει πρὸς τὰ παθήματα καὶ νοσέοντι καὶ ὑγιαίνοντι. Οἷον κεφαλαὶ σμικραὶ

tes, in his torpores & repletiones eueniunt, vt in iugulatis apparet.

Cùm verò inciderit flatus in latum corpus & renitens, & aliquid ipſi contra nitatur, idque fuerit nec naturâ ita forte, vt violentiam eius ſuſtinere, nihilque offenſæ accipere queat; neque ita molle & rarum, vt excipere & cedere queat, ſed tenerum & ſucculentum, & ſanguineum, & denſum, velut hepar: propter denſitatem quidem ac latitudinem renititur nec cedit loco. Flatus verò ſubiens increſcit validiórque euadit, & maximo impetu fertur aduerſum id, quod renititur ac referit: propter teneritudinem autem & ſanguineitatem expers doloris eſſe nequit. Hinc eſt quòd acuti dolores ac creberrimi hoc loco eueniunt, & ſuppurata ac tubercula quamplurima.

Surgunt etiam ſub diaphragmate acerbi dolores, verùm longè minùs. Expanſio enim diaphragmatis ampla eſt, & renitens, & natura eius neruoſior & robuſtior, proptereà minùs doloribus inuoluitur. Attamen doloribus & tuberculis etiam hic locus eſt. Quin & plurimæ aliæ intùs & foris figurarum ideæ ſunt, quæ plurimùm inter ſe differunt, ſecundũ affectiones quas inferunt tum ægro tũ ſano. Cuiuſmodi ſunt capita exigua aut magna,

κραὶ ἢ μεγάλαι, τράχηλοι λεπτοὶ ἢ παχέες, μακροὶ ἢ βραχέες, καὶ ταῦτα μακραὶ ἢ στρογγύλαι, θώρηκες καὶ πλευρέων πλατύτητες ἢ στενότητες, καὶ ἄλλα μυρία· ἃ δεῖ πάντα εἰδέναι ᾗ διαφέρει, ὅπως τὰ αἴτια ἑκάστων εἰδὼς, ὀρθῶς τηρέῃς.

Περὶ δὲ δυναμίων χυμῶν, αὐτέων τε ἕκαστος ὅ, τι δύναται ποιέειν τὸν ἄνθρωπον, ἐσκέφθαι, ὥσπερ καὶ πρότερον εἴρηται, τὰς ξυγγενείας ὡς ἔχουσι πρὸς ἀλλήλους. Λέγω δὲ τὸ τοιοῦτον· εἰ γλυκὺς χυμὸς μεταβάλλοι ἐς ἄλλο εἶδος, μὴ ἀπὸ ξυγκρήσιος, ἀλλ' αὐτὸς ἐξιστάμενος, ποῖός τις πρῶτος γένοιτο, πικρὸς, ἢ ἁλμυρὸς, ἢ στρυφνὸς, ἢ ὀξύς; *ἆρα ὀξὺς χυμὸς ἐπιτήδειος, προσφέροιτ' ἂν τῶν λοιπῶν μάλιστα εἴη, εἴπερ ὁ γλυκύς γε πάντων ἐπιτηδειότατος. Οὕτως εἴ τις δύναιτο, ζητέων, ἔξωθεν ἐπιτυγχάνειν, δύναιτ' ἂν πάντων ἐκλέγεσθαι αἰεὶ τὸ βέλτιον. βέλτιστον δέ ἐστι, τὸ προσωτάτω τοῦ ἀνεπιτηδείου ἀπέχειν.

Περὶ ἀρχαίης ἰητρικῆς τέλος.

gna, colla tenuia aut craſſa, longa aut breuia, ventres longi aut rotundi, thoracis & coſtarum latitudines aut anguſtiæ, & alia infinita: quæ cuncta explorata eſſe debent, quâ differant; quo cauſas ſingulorum callens, has rectè obſerues.

De vi autem ſuccorum, quam potentiam ſinguli in hominem exercere poſſint, compertum eſſe debet, vt etiam primùm diximus, quáſque cognationes inter ſe habeant. Quod dico tale eſt: Si dulcis humor aliam in ideam mutetur, non quidem propterea quòd aliis remixtus, ſed ipſe abiens à priſtina ſua indole, qualiſnam primùm fiat? amarus, an ſalſus, an acerbus, an acidus? Sanè acidus ſuccus omnium maximè erit incommodus, reliquis aliquantum commodis exiſtentibus, etenim dulcis omnium vtiliſſimus eſt. Hoc modo ſi quis, inueſtigatione diligenti ea, quæ foris admittenda veniunt, percipere poſſit, poterit perpetuò ex cunctis quod optimum eſt eligere. Id autem optimum, quod quàm longiſſimè ab incommodo receſſit.

Finis Libri de veteri Medicina.

Digitized by Google

HIPPOCRATIS COI DE MEDICO,

Græcè, & Latinè,

ex interpretatione

IOHANNIS HEVRNII Vltraiectini.

⊙ 3

Digitized by Google

ἹΠΠΟΚΡΆΤΟΥΣ
ΚΩ'ΟΥ
ΠΕΡῚ ἸΗΤΡΟΥ͂.

Τὸ μὲν γράμμα ἐστὶν ἰητροῦ προστασίη, καὶ παράγγελμα, πῶς χρὴ κατασκευάζειν ἰητρεῖον. Ἰητροῦ μὲν εἶναι προστασίην, ὁρῶν εὔχρως τε καὶ εὔσαρκος ἔσται πρὸς τὴν ὑπάρχουσαν αὐτῷ φύσιν. Ἀξιοῦνται γὰρ ὑπὸ τῶν πολλῶν, οἱ μὴ εὖ διακείμενοι τὸ σῶμα οὕτως, ὡς οὐδ' ἂν ἑτέρων ἐπιμεληθῆναι καλῶς. Ἔπειτα τὰ περὶ αὐτὸν καθαρίως ἔχειν, ἐσθῆτι χρηστῇ, καὶ χρίσμασιν εὐόδμοις, ὀδμὴν ἔχουσιν ἀνυπόπτως πρὸς ἅπαντα. Τοῦτο γὰρ ἡδέως ἔχειν ξυμβαίνει τοὺς νοσέοντας. Δεῖ δὲ τοῦτον σκοπεῖν τάδε περὶ τὴν ψυχὴν σώφρονα, μὴ μόνον τὸ σιγᾶν, ἀλλὰ καὶ περὶ τὸν βίον πάνυ εὔτακτον. Μέγιστα γὰρ ἔχει πρὸς δόξαν ἀγαθά.

Τὸ δὲ ἦθος εἶναι καλὸν καὶ ἀγαθόν. τοιοῦτον δ' ὄντα, πᾶσι καὶ σεμνὸν καὶ φιλάνθρωπον. τὸ γὰρ προπετὲς καὶ τὸ πρόχειρον καταφρονεῖται, καὶ πάνυ χρήσιμον ᾖ.

Σκοπεῖν

HIPPOCRATIS COI DE MEDICO.

HVius libri inſcriptio eſt medici au-ctoritas, & admonitio conſiliũmque quo modo officina medica inſtrui debeat. Ex dignitate Medici eſſe exiſtimamus, vt aſpectus eius viuido colore fulgeat, ac habitu corporis ſit ſucci pleno, quantum peculiaris natura eius id feret. Putant enim plerique hominum, ſi qui minùs feliciter corpus diſpoſitum habeant, eos neque aliis rectè conſulere poſſe. Præterea ſtudeat externæ munditiei, veſtitu vtatur decoro, & vnguentis odoratis, ſecurum odorem ad omnia gerentibus. Inde enim ægros recreari continget. Dein animi cultus ita illi curæ ſit, vt omnia ad modeſtiam comparata ſint, non ſolùm in ſilentio, ſed etiam in toto vitæ curriculo vt rectè compoſitus ſit. Præclarè enim id facit ad veram auctoritatem.

Decet etiam moribus honeſtis elegantem eſſe. Et cùm talem ſe præſtiterit, erga omnes inſuper & grauis & humanus eſto. Promptitudo enim & facilitas medendi effusè oblata, ab ægris contemnitur, quamuis alioqui ſummæ benignitatis officium illud ſit. Metam itaque of-

Σκεπτὸν δὲ ἐπὶ τῆς ἕξιος. τὰ γὰρ αὐτὰ παρὰ τοῖς αὐτίοις σπανίως ἔχουσιν, ἀγαπᾶται. Σχήμασι δὲ ἀπὸ μὲν προσώπου σύννουν, μὴ πικρῶς· Αὐθάδης γὰρ δοκέει εἶναι καὶ μισάνθρωπος. Ὁ δὲ εἰς γέλωτα ἀνιέμενος, καὶ λίην ἱλαρὸς, φορτικὸς ὑπολαμβάνεται. Φυλακτέον δὲ τὸ τοιοῦτον οὐχ ἥκιστα. Δίκαιον δὲ πρὸς πᾶσαν ὁμιλίην εἶναι. χρὴ γὰρ πολλὰ ἐπικουρέειν δικαιοσύνην.

Πρὸς δὲ ἰητρὸν, οὐ μικρὰ συναλλάγματα τοῖσι νοσέουσίν ἐστιν. Καὶ γὰρ αὐτοὺς ὑποχειρίους ποιέουσι τοῖς ἰητροῖς· καὶ πᾶσαν ὥρην ἐντυγχάνουσι γυναιξὶν, παρθένοις, καὶ τοῖς ἀξίοις πλείστου κτήμασιν. Ἐγκρατέως οὖν δεῖ πρὸς ἅπαντα ἔχειν ταῦτα. Τὴν μὲν οὖν ψυχὴν καὶ τὸ σῶμα οὕτω διακεῖσθαι. Τὰ δὲ εἰς τὴν ἰητρικὴν τέχνην παραγγέλματα, (δι᾽ ὧν ἐστιν εἶναι τεχνικὸν,) ἀπ᾽ ἀρχῆς συνοπτέον, ἀφ᾽ ὧν καὶ μανθάνειν ἄνθρωπος ἄρξαιτο. Τὰ τοίνυν ἐν ἰητρείῳ θεραπευόμενα, σχεδὸν μανθανόντων ἐστίν· Δεῖ δὲ πρῶτον μὲν τόπον ἔχειν τῆς οἰκίης· Ἔσται δὲ τοῦτο, ἐὰν μήτε πνεῦμα εἰς αὐτὸ παραγινόμενον ἐνοχλῇ, μήθ᾽ ἥλιος ἢ αὐγὴ λυπέῃ. Φῶς δὲ τηλαυγὲς τοῖσι μὲν θεραπεύουσιν ἄλυπον, οὐχ ὁμοίως δὲ τοῖς θεραπευομένοις ὑπάρχει. Πάντως μὲν οὖν τοιαύτην τῆς αὐγῆς μάλιστα φυλακτέον, δι᾽ ἣν

ξυμβαί-

ſcium oblatum habeat, in auctoritate. Nam eadem officia ab eiſdem parciùs reddita, boni conſuluntur. Figuram faciei habeat meditabundam, citra amarulentiam; ne intractabilis videatur, & miſanthropos. Qui autem in riſum ſe ſoluit, ac nimium eſt hilaris, illepidus habetur. Quare magna cautione illud vitandum. Iuſtum autem ad omnem conuerſationem eſſe conuenit. Opus enim eſt ſummopere in omni vitâ iuſtitiâ, quæ plurimum præſidij adferre ſolet.

Non minima etenim commercia ægris cum Medico ſunt. Nam ſe in poteſtatem Medicorum tradunt. Et omni tempore, quo medicinam faciunt, occurrunt vxoribus, virginibus, & ſupellectili precioſæ. Temperanter itaque ad hæc omnia ſe gerere debent. Et animo quidem & corpore ſic comparatum eſſe oportet. Hoc itaque conſilium & has admonitiones medicas, (quæ ſi obſeruet, artifex eſſe videbitur) ab iis initiis conſiderabimus, à quibus primùm diſcere homo incipit exorſi. Quæ itaque in officina Medica curantur, ferè ad diſcentem pertinent. Itaque primum quidem locum domus habere oportet: qui ſanè talis ſit, vt neq. ventus ad ipſum accedens moleſtiam exhibeat, neque ſol vel ſplendor infeſtet: lux enim ſplendida vt medentibus minimè moleſta, ita ægris grauis eſſe ſolet. Omni itaque ſtudio vitandus erit ille ſplendor,

quo

ξυμβαίνει τῶν ὀφθαλμοὺς νοσεόντων. Τὸ μὲν οὖν φῶς τοιοῦτον εἶναι προσήκει. Τοῦτο δὲ ὅπως μηδαμῶς ἐναντίας ἕξει τῷ προσώπῳ τὰς αὐγάς· προσενοχλεῖ γὰρ τὴν ὄψιν ἀσθενέως ἔχουσι. Πᾶσα δ' ἱκανὴ πρόφασις, ἀσθενέοντας ὀφθαλμοὺς ἐπιταράξαι. Τῷ μὲν οὖν φωτὶ, τοῦτον τὸν τρόπον χρηστέον ἐστίν.

Τοὺς δὲ δίφρους ὁμαλοὺς εἶναι τοῖς ὕψεσιν ὅτι μάλιστα, ὅπως κατ' αὐτοὺς ὦσιν. Χαλκώματι δὲ, πλὴν τῶν ὀργάνων, μηδενὶ χρῆσθαι. Καλλωπισμὸς γάρ τις εἶναί μοι δοκεῖ φορτικὸς, σκεύεσι τοιούτοισι χρῆσθαι. Τὸ δὲ ὕδωρ παρέχειν δεῖ πότιμον τοῖς θεραπευομένοις, καὶ καθαρόν. Τοῖς δὲ ἀπομάγμασι, καθαροῖς καὶ μαλθακοῖς χρῆσθαι· Πρὸς μὲν τοὺς ὀφθαλμοὺς ὀθονίοις, πρὸς δὲ τὰ τραύματα σπόγγοις. Αὐτόματα γὰρ ταῦτα βοηθεῖν δοκεῖ καλῶς. Τὰ δ' ὄργανα πάντα εὐήρη πρὸς τὴν χρείην ὑπάρχειν δεῖ, τῷ μεγέθει καὶ βάρει, καὶ λεπτότητι. τὰ δὲ περιφερόμενα ἅπαντα μὲν χρὴ συνορῆν, ὅπως συνοίσῃ, μάλιστα δὲ, πλεῖστον εἰ ὁμιλεῖν μέλλει τῷ νοσοῦντι μέρει.

Ταῦτα δέ ἐστιν ἐπιδέσματα καὶ φάρμακα, καὶ τὰ περὶ τὸ ἕλκος ὀθόνια, καὶ τὰ καταπλάσματα· πλεῖστον γὰρ χρόνον ταῦτα περὶ τοὺς νοσέοντας ἐστὶ τόπους. Ἡ δὲ μετὰ ταῦτα ἀφαίρεσις τούτων, ἀνάψυξίς τι, καὶ

περι-

quo oculi affliguntur. Et hocce quidem præceptum eſto de luce. Alterum vt nequaquam faciem ſplendori aduerſam habeat; turbat enim viſum titubantem. Omnis enim occaſio, vel leuiſſima, prompta eſt in oculi turbationem. Hoc itaque modo luce vtendum.

Sellæ æquales altitudine ſint, quantum fieri poteſt, vt in ipſis ægri collocentur. Aeramento, exceptis inſtrumentis, nullo vtatur. Lepos enim illepidus mihi eſſe videtur, tali ſupellectile vti. Aqua exhibenda eſt his qui curantur potabilis, & pura. Abſtergmentis vtendum puris & mollibus: ad oculos quidem linteis, ad vulnera verò ſpongiis. Vltrò enim hæc egregiè auxiliari videntur. Omnia autem inſtrumenta commoda ad vſum eſſe oportet mole, grauitate & tenuitate. Cuncta verò quæ admouentur, vtilia vt ſint, ſtudendum eſt, maximè ſi ægræ parti diu inhærere debeant.

Talia ſunt ligamenta, pharmaca, linamenta vlceri dicata, & cataplaſmata. Hæc enim diu hærent in partibus morbo afflictis. At verò econtrà, horum ablatio, refrigeratio, & mundificatio, & aqua-

rum

παρεκκάθαρσις, καὶ τῶν ὑδάτων καταντλήσις, ὀλίγου τινός ἐστι χρόνου. Καὶ τὶ πιέσαι ὅπου χρὴ, μᾶλλόν τι καὶ ἧσσον ἐσκέφθαι δεῖ. Τούτων γὰρ ἀμφοτέρων ἡ χρῆσις εὔκαιρός τε· καὶ μὴ γινομένων, μηδ᾽ ἄλλην ἔχει διαφορήν. Ἔστι δὲ οἰκείη ἐπίδεσις τῆς ἰητρικῆς, ἀφ᾽ ἧς ὠφελεῖσθαι τὸν θεραπεύοντα. Μέγιστα δὲ ὠφελεῖ δύο ταῦτα, οἷς ἐστι χρηστέον, πιέσαι ὅκου δεῖ, καὶ ἀνειμένως ἐπιδῆσαι.

Περὶ δὲ τῶν χρόνου τῆς ὥρης, πότε δεῖ σκεπαστικῶς, καὶ μή· συνορῆν ὅκως μὴ δὲ ἀδυνατῇ· ληφθεὶς ποτέρῳ τούτων ἐν ἰσχῦ χρηστέον. Εὐρύθμους δὲ ἐπιδέσιας καὶ θεατρικὰς, μηδὲν ὠφελεύσας, ἀπογινώσκειν· φορτικὸν γὰρ τὸ τοιοῦτον, καὶ παντελῶς ἀλαζονικὸν, πολλάκις τε βλάβην οἶσον τῷ θεραπευομένῳ. ζητεῖται ὁ νοσέων οὐ καλλωπισμὸν, ἀλλὰ τὸ συμφέρον. Ἐπὶ δὲ τῶν χειρουργιῶν ὅσαι διὰ τομῆς εἰσὶν ἢ καύσιος, τὸ ταχέως ἢ βραδέως ὁμοίως ἐπαινεῖται. Χρῆσις γὰρ ἐστὶν ἀμφοτέρων. Ἐν οἷς μὲν γὰρ ἐστὶ διὰ μιῆς τομῆς ἡ χειρουργία, χρὴ ποιέεσθαι ταχεῖαν τὴν διαίρεσιν. Ἐπεὶ γὰρ συμβαίνει τῶν τεμνομένους πονέειν, τὸ λυπέον μὲν ὡς ἐλάχιστον χρόνον δεῖ παρεῖναι· τοῦτο δὲ ἔσται, ταχείης τῆς τομῆς γινομένης.

Ὅπου δὲ πολλὰς ἀναγκαῖον γίνεσθαι τὰς τομὰς,

rum affuſio exiguo tempore peraguntur. Quinetiam vbi quid agere oportet, validiúsne an languidiùs facere expediat, diligenter notandum eſt. Vtrorumque enim vſus eſt opportunus; & viciſſim horum neglectus damni non parum adferre poterit. Eſt autem peculiaris Medicinæ deligatio, ex qua æger opem ſentit. Plurimùm autem conferunt duo hæc, quibus vtendum, ſtringere vbi oportet, & remiſsè deligare.

At verò ſecundùm conſtitutionem temporis anni quando tegere oporteat, & non, conſiderandum; videndum præterea vt neque leuiore, quàm par ſit, vtare: ignarus atque dubius, vtro horum ſit vtendum. Concinnas autem deligationes, ad ſpectaculum comparatas, & nihil iuuantes, reprobare oportet: illiberales enim ſunt, & omninò effœminatæ, præter id quòd damnis ſæpe ægros auxere. Quærit enim æger non ornatum, ſed remedium. Cæterùm in Chirurgiis, quæ fiunt per ſectionem aut vſtionem, velocitas aut tarditas æqualem laudem merentur. Eſt enim vtriuſque vſus. Nam in quibus per vnam ſectionem Chirurgia abſoluitur, velocem ſectionẽ facere oportet. Cùm enim ita comparatum ſit, vt hi qui ſecantur doleant, dolorificam cauſam quàm minimo tempore perſeuerare cõuenit: quod ipſum à veloci ſectione obtinebimus.

Vbi verò multiplici ſectione opus eſt,

τομὰς, βραδείῃ χρηστέον τῇ χειρουργίῃ· ὁ μὲν γὰρ ταχὺς, ξυνεχῆ ποιέει τὸν πόνον καὶ πολύν. ὁ δὲ διαλείπων, ἀνάπαυσιν ἔχει τινὰ τούτων τοῖς θεραπευομένοις. τὸ δ' αὐτὸ ἐπὶ τῶν ὀργάνων λέγοιτ' ἄν. τοῖς δὴ μαχαιρίοις ὀξέσι δεῖ χρῆσθαι καὶ πλατέσιν, οὐκ ἐπὶ πάντων ὁμοίως παραγγέλλομεν· μέρεα γὰρ τινά ἐστι τοῦ σώματος, ἃ ἐν τάχει μὲν ἔχει τὴν ῥύμην τοῦ αἵματος, καὶ κατασχεῖν ἐστιν οὐ ῥηΐδιον· ταῦτα δέ ἐστιν οἵ τε κίρσοι, καί τινες ἄλλαι φλέβες· τὰς μὲν τομὰς χρὴ εἶναι τῶν τοιούτων στενάς. Οὐ γὰρ οἷόν τε τὴν ῥύσιν γίνεσθαι κατακορῆ· ξυμφέρει δέ ποτε ἀπὸ τῶν τοιούτων αἵματος ἀφαίρεσιν ποιέεσθαι. Πρὸς δὲ τοὺς ἀκινδύνους τόπους, καὶ περὶ οὓς μὴ λεπτόν ἐστι τὸ αἷμα, πλατυτέροισι χρῆσθαι τοῖς μαχαιρίοισι. τὸ γὰρ αἷμα προΐοιτ' ἄν· ἄλλως δὲ οὐδαμῶς. περὶ δ' ἐστὶν αἰσχρὸς, μὴ ξυμβαίνειν ἀπὸ τῆς χειρουργίης ὅ,τι θέλει.

Σικύας δὴ δύο τρόπους εἶναι χρησίμους. Ὅτε μὲν γὰρ ῥεῦμα ξυνεστηκὸς πόῤῥω τῆς ἐπιφαινομένης σαρκὸς, τὴν μὲν κύκλον αὐτῆς εἶναι δεῖ βραχὺν, αὐτὴν δὲ μὴ γαστροειδῆ, προμήκη τὸ πρὸς τὴν χεῖρα μέρος, μὴ βαρεῖαν· τοιαύτην γὰρ οὖσαν, ἕλκειν εἰς ἰθὺ ξυμβαίνει, καὶ τοὺς ἀφεστῶτας ἰχῶρας καλῶς ἀνεσπᾶσθαι πρὸς τὴν σάρκα. Τοῦ δὲ

πίεσ

lentâ chirurgiâ vtendum erit. Velox enim actio, continuum & multum dolorem inducit. Tarda econtra & intermittens, quietem aliquam concedit his qui curantur. Idem de inſtrumentis pronunciari poteſt. Gladiolis autem acutis ac latis vti non in omnibus æquè conſulimus. Sunt enim non nullæ partes corporis, quæ præcipitem ſanguinis fluxum habent, quem ſiſtere haud facile eſt; tales ſunt varices, & aliæ quædam venæ. quare in talibus tenues ſectiones facere oportet. Etſi enim per has fluxus, quantum ſatis eſt, fieri nequit: confert tamen nonnunquam à talibus ſanguinem abducere. Ad loca verò vbi periculi nullus metus, & circa quæ tenuis non ſtabulatur ſanguis, latioribus gladiolis vtendum eſt. ſic enim ſanguis prodierit: aliter nequaquam. Valde autem turpe eſt non obtinere à Chirurgia quod velis.

Cucurbitarum porrò duo modi commodi exiſtunt. Quando enim rheuma iam conſiſtens, longè ab extima carne abierit, circulum cucurbitæ paruum eſſe oportet, ipſámque minimè ventricoſam, ſed oblongam qua parte ad manum vergit, neque ponderoſam: Quæ enim eiuſmodi eſt, in directum trahet, & ichores longè diſtantes, commodè ad carnes tra-

 het.

πόνου πλείονος κατισχνασμένου τῆς σαρκός, τὰ μὲν ἄλλα παραπλησίην, τὸν δὲ κύκλον μέγαν· οὕτω γὰρ ἐκ πλείστων μερέων δι' ῥύσιος ἄγουσα ἐς ὃν δεῖ τὸν λυποῦντα τόπον. Οὐ γὰρ οἴονται μέγαν εἶναι τὸν κύκλον, μὴ συναγομένης τῆς σαρκὸς ἐκ πλείονος τόπου. Βαρεῖα δ' οὖσα, ῥέπει καὶ ἐς τοὺς ἄνω τόπους, κάτω δὲ μᾶλλον τὴν ἀφαίρεσιν, καὶ πολλάκις ὑπολείπεσθαι τὰς νόσους. Τοῖσι μὲν οὖν ἐφεστῶσι ῥεύμασιν, καὶ μακρὰν ἀπέχουσιν ἀπὸ τῶν ἄνω τόπων, οἱ πλατεῖς κύκλοι πολλὰ ξυνεπισπῶνται παρὰ τῆς ἄλλης σαρκός. Ἐπιπροσθεῖν οὖν ξυμβαίνει τὴν ἄνωθεν ἑλκομένην ἰκμάδα τῷ ξυναγομένῳ κάτωθεν ἰχῶρι, καὶ τὰ μὲν ὀχλεῦντα ὑπολείπεσθαι, τὰ δ' οὐδὲν λυπέοντα ἀφαιρεῖσθαι.

Μέγεθος δὲ σικύης τὸ χρήσιμον, στοχάζεσθαι χρὴ πρὸς τὰ μέρη τοῦ σώματος, οἷς ἂν δέῃ προσβάλλειν. Ὅταν δὲ κατακρούσῃς, κάτωθεν δέχεσθαι, (τὸ γὰρ αἷμα φανερὸν εἶναι δεῖ τῶν χειρουργουμένων τόπων.) ἄλλως δὲ οὐδὲ τὸν κύκλον τὸν ἑλκυσθέντα χρὴ κατακρούειν· ἐντονωτέρη γάρ ἐστιν ἡ σὰρξ τοῦ πονέοντος. Μαχαιρίοις δὲ τοῖς καμπύλοις, ἐξ ἄκρου μὴ λίην στενοῖς. Ἐνίοτε γὰρ ἰχῶρες ἔρχονται γλισχροὶ, καὶ παχεῖς. κίνδυνος οὖν

het. Fuſo autem dolore per multam carnem, in reliquis quidem conſimilem cucurbitam eſſe oportet, ſed circulum magnum: Ita enim ex plurimis partibus id, quod dolorificum eſt, educi comperies ad locum decentem. Neque enim magnum circulum eſſe putant, ſi non ex pluribus locis caro conſocietur. At ſi ponderoſa fuerit & fortis, premet ac prægrauabit partes carnis ſuperiores, & maximè ex ſubiectis partibus ſiue profundis detractionem faciet, vt ſæpè morbi relinquantur intacti. At ſi non conſiſtens fuerit rheuma, ſed incumbens, in his, ſi longè abierint à carnis ſuperficie, ampli magníque circuli multa ſimul attrahunt ex vicina carne ſana. Vnde euenit detractam inde humiditatem coniungi collecto in profundo humori, & ea quidem quæ infeſta ſunt relinqui, quæ verò minimè dolorifica ſunt, detrahi.

Commodam verò Cucurbitæ magnitudinem colligere opus eſt, iuxta corporis partes quibus admouere oportet. Vbi verò ſcarificare opus fuerit, plagas profundas facies: (oportet enim ſanguinem in ſcarificatis locis ſe in conſpectum dare) aut ſi id non licet, circulum attractum ſcarificare noli. Caro enim afflicti loci ſolidior eſt & compactior. Gladiolis incuruis in ſummo non valdè acutis vtendum. Aliquando enim ichores viſcoſi & craſſi veniunt: vt metus ſit, ne, ſi

ἐστιν ὑποστῆναι τῇσι τομῇσιν, ὅταν στεναὶ τμηθέωσιν.

Τὰς δὲ ἐπὶ τῶν βραχιόνων φλέβας τῇσι καταλήψεσι χρὴ φυλάσσειν· ἡ γὰρ καλύπτουσα σὰρξ πολλοῖς οὐ καλῶς συνήρμοσται τῇ φλεβί. τῆς γὰρ σαρκὸς ὀλισθηρῆς ἐούσης, οὐ καθ' ἑαυτὰς ξυμβαίνει τὰς τομὰς ἀμφοτέρων γίνεσθαι· τὴν γὰρ φλέβα ἐκφυσᾶσθαι ξυμβαίνει καλυφθεῖσαν, καὶ τὴν ῥύσιν τοῦ αἵματος κωλύεσθαι, πολλοῖσι δὲ καὶ πῦος διὰ τοῦτο ξυνίστασθαι. Δοκεῖ δὲ δύο βλάβας φέρειν ἡ τοιαύτη χειρουργίη, τῷ μὲν τμηθέντι πόνον, τῷ δὲ τέμνοντι πολλὴν ἀδοξίην. τὸ δ' αὐτὸ κατὰ πασῶν παρήγγελται γίνεσθαι. Τὰ μὲν οὖν καθ' ἰητρεῖον ἀναγκαῖα ὄργανα, καὶ περὶ ἃ δεῖ τεχνικὸν εἶναι τὸν μανθάνοντα, ταῦτ' ἐστίν.

Ὀδοντάγρῃσι γὰρ καὶ σταφυλάγρῃσι χρῆσθαι τοῦ τυχόντος ἐστίν. ἁπλῆ γὰρ ἡ χρῆσις αὐτῶν εἶναι δοκεῖ. Περὶ δὲ φυμάτων καὶ ἑλκέων, ὁκόσα μειζόνων ἐστὶ νοσημάτων. Τὰ μὲν φύματα τεχνικώτατον ὑπειληφέναι, καὶ δύνασθαι διαλύειν, καὶ τὰς συστάσεις αὐτῶν κωλύειν. Ἐχόμενον δὲ τουτέων, στέλλειν εἰς τὸν ἐπιφανῆ τόπον, ὡς εἰς βραχύτατον, καὶ τὴν σύστασιν ὁμαλῶς διὰ παντὸς ποιεῖσθαι τοῦ φύματος· Ἀνωμάλως γὰρ ἔχοντος αὐτοῦ, ῥαγῆναί τε καὶ δυσθεράπευτον

τὸ ἕλκος

ſectiones arctæ fuerint incuſſæ, ſub illis ſubſiſtant & colligantur.

Porrò venas in brachiis funiculorum apprehenſionibus conſtringere oportet: Caro enim quâ tegitur vena, in multis non probè copulata eſt venæ: vbi enim lubrica laxáque fuerit caro, ſectiones ſimul vtriuſquę directæ fieri nequeunt: quandoquidem venam carne contectam euenit flatu diſtendi, & ſanguinis effluuium impediri, & plurimis propter id ipſum pus colligi. Ita gemina damna talis infert chirurgia, ſecto quidem dolorem, ſecanti verò grauem ignominiam. Idem ſit præceptum in omnibus venis ſecandis. Et hæc quidem neceſſaria ſunt in officina medica inſtrumenta, in quorum vſu ingenioſum eſſe diſcentem æquum eſt.

Volſellis autem tum dentium tum vuarum, quilibet vti poteſt: nam ſimplex horum vſus eſſe videtur. Cæterùm in tumoribus quæ carnis ſuperficiem occupant, & vlceribus, eædem, quæ in aliis grauioribus morbis, cautiones adſint. Tumores enim dum efflorеſcunt deprehendere, maximè ingenioſum habetur, eoſdémque diſcutere, & collectiones ipſorum impedire. At qui eorum iam conſiſtunt, eos in conſpicuum & quàm breuiſſimum locum contrahere, & collectionem ipſam æqualem per totum tumorem efficere: Nam vbi inæqualiter ſe habuerit, metus erit ne rumpatur, & vl-

τὸ ἕλκος κίνδυνός ἐστι γενέσθαι. Ἐξομαλίζειν τε χρὴ πιέζοντα ἀνομοίως· καὶ μήτε διαιρεῖν πρότερον, μήτε αὐτόματον ἐὸν ῥαγῆναι. Τὰ δὲ ἐκπιέσαι δυνάμενα ὁμαλῶς, ἐν ἑτέροισιν εἴρηται.

Τὰ δὲ ἕλκεα δοκεῖ πορείας ἔχειν τέσσαρας· μίαν μὲν εἰς βάθος. ταῦτα δ᾽ ἐστὶ τὰ συριγγώδεα, καὶ ὅσα ὕπουλά ἐστι, καὶ ἔντοσθεν κεκοιλασμένα. Ἡ δὲ ἑτέρη, εἰς ὕψος, τὰ ὑπερσαρκέοντα. τρίτη δέ ἐστιν εἰς πλάτος· ταῦτα δέ ἐστι τὰ καλεόμενα ἑρπυστικά. τετάρτη ὁδός ἐστιν. αὕτη δὲ μόνη κατὰ φύσιν εἶναι δοκέει κίνησις. Αὗται μὲν οὖν ξυμφοραὶ τοιαῦται σαρκός εἰσιν, πᾶσαι δὲ κοιναὶ τοῦ ξυμφέροντος. Καὶ τὰ μὲν τούτων ἐν ἑτέροισι σημεῖα δεδήλωται, καὶ ἡ χρήσιος ἐστὶν ἐπιμηθείη.

Δι᾽ ὧν δὲ τὸ ξυμφυόμενον διαλυθήσεται, καὶ τὸ πληρούμενον, ἢ κοῖλον γινόμενον, ἢ τὸ εἰς πλάτος πορείην ποιεύμενον, προσηκόντως περὶ τουτέων ἐν ἄλλοις εἴρηται. Περὶ δὲ καταπλασμάτων ὧδε. Τῶν ἐπιτιθεμένων ὀθονίων, οὐκ ἂν ἡ χρῆσις κατὰ τοῦ νοσήματος ἀκριβὴς εἶναι δοκέει, καὶ τοῦ ἕλκεος ἁρμόζει τὸ ἐπιτιθέμενον ὀθόνιον, τῷ δὲ καταπλάσματι πρὸς τὸν κύκλον τόπον τοῦ ἕλκεος χρῶ. Χρῆσις γὰρ αὕτη καταπλάσματος ἐπιτυχής τε καὶ πλεῖστα ὠφελεῖν δυναμένη.

Ἐδέ

ctus ægrè curabile reddatur. Aequabile itaque reddere oportet, per totum æquabiliter concoquendo: & neque priùs aperire, neque committere vt vltrò rumpatur. Quæ verò æquabiliter concoquere poſſint, in aliis libris ſunt tradita.

At verò vlcera quattuor vias habere videntur. vnam in profundum: hæc autem ſunt illa fiſtuloſa, & quæ ſub cicatrice latentia ſanie plena ſunt, & intus excauata. Alteram in ſublime, quæ videlicet carne ſuperexcreſcunt. Tertia via eſt in latitudinem: atque hæc ſunt quæ appellantur ſerpiginoſa. Quarta via eſt, quæ ſola ex lege naturæ eſſe videtur motus. Et hi quidem carnoſæ ſubſtantiæ euentus ſunt, cuncti conuenientes in his, quæ ipſis debentur remediis. Et ſigna quidem horum in aliis relata ſunt, itémque qua curatione & prouidentiâ vtendum ſit.

Per quæ autem id, quod coaluit, ſoluatur, vel quod à carne enaſcente repletum eſt, aut cauum euaſit, quódve in latitudinem iter fecit, de his aliâs dictum eſt. De Cataplaſmatis verò ſic ſe rés habet. vbicumque linamentorum, quæ imponuntur ac induntur, vſus in morbis exquiſitus eſſe debet, ipſi quidem vlceri linamentum quod imponitur accommodato, cataplaſmate verò in ambitu vlceris vtitor. Etenim hic cataplaſmatis vſus, & artificialis eſt, & plurimum auxiliari

poteſt.

Ἐοίκε γὰρ τοῦ μὲν ἕλκεος βοηθεῖν ἡ τῶν ἐπιτιθεμένων δύναμις, τὸ δ' ὀθόνιον φυλάσσειν· τὰ δ' ἔξω μὲν τοῦ ἕλκεος τὸ καταπλάσμα ὠφελέει, ἡ μὲν οὖν χρῆσις αὐτέων εἶναι δεῖ τοιαύτην.

Περὶ δὲ καιρῶν, ὁκότε τούτοις ἑκάστοις χρηστέον ἐστὶ, καὶ τὰς δυνάμιας ὡς χρὴ τῶν γεγραμμένων καταμανθάνειν, παραλέλειπται δὲ τὰ τοιαῦτα * ἐπεὶ πλεῖον προσήκει τῆς κατ' ἰητρικὴν ἐπιμηθείας, καὶ πόῤῥω τοῦ τῆς τέχνης ἤδη προεληλυθότος ἐστίν. Ἐχόμενον δὲ τούτων ἐστὶ καὶ κατὰ στρατιὴν γινομένων τρωμάτων χειρουργίην, περὶ τὴν ἐξαίρεσιν τῶν βελέων. Ἐν τῇσι κατὰ πόλιν διατριβῇσι, βραχεῖά τις ἐστὶν τουτέων ἡ χρῆσις. ὀλιγάκις γὰρ ἐν παντὶ τῷ χρόνῳ γίνονται πολιτικαὶ στρατιαὶ καὶ πολεμικαί. ξυμβαίνει δὲ τὰ τοιαῦτα πλειστάκις καὶ ξυνεχέστατα περὶ τὰς ξενικὰς στρατιὰς γίνεσθαι.

Τὸν μὲν οὖν μέλλοντα χειρουργεῖν, στρατεύεσθαι δεῖ, καὶ παρηκολουθηκέναι στρατεύμασι ξενικοῖς. οὕτω γὰρ ἂν εἴη γεγυμνασμένος πρὸς ταύτην τὴν χρείαν. ὃ δὲ εἶναι δοκεῖ περὶ ταῦτα τεχνικώτερον, εἰρῆσθαι. Τῶν γὰρ ὅπλων ἐόντων καὶ σημεῖα πεποιεῖσθαι, τέχνης ἐστὶ πλεῖστον μέρος καὶ τῆς πρὸς ταῦτα χειρουργίης. Τούτου γὰρ ὑπάρξαντος ἴσως ἂν παραλίποιτο τρωματίας ἀγνοηθείς,

poteſt. Videtur enim vlceri opitulari vis eorum quæ circumponuntur: ſed cautio adſit ne hæc linamentum feriant: nam partibus potiùs extra vulnus poſitis opitulatur cataplaſma. Talem proinde eorum vſum eſſe oportet.

Iam verò de occaſione, qua vſus horum ſingulorum iniri debeat, & quo modo præſcriptorum vires diſcere oporteat, in præſens relinquimus: maiorem námque in arte induſtriam requirunt, & eius tantùm, qui magnum iam in arte progreſſum fecerit, propria ſunt. His deinceps eſt chirurgia vulnerum in militia acceptorum, in extractione telorum. In oppidanis conuerſationibus rarior horum vſus eſt: Rarò enim vel totâ hominis ætate, in eadem vrbe vel ciuilia diſſidia, vel oppugnationes hoſtiles oriuntur. Sæpe autem ac frequentiſſimè in externa militia euenire ſolent.

Qui itaque hac chirurgia vti volet, eum militare oportet, & externas militias ſequi. Ita vſu ſe exercebit ad huiuſmodi neceſſitatem. Quod verò in his omnium maximè ingenioſum eſſe videtur, referam. Telorum & armorum in corpore hærentium ſigna indagare ac inuenire, maxima artis & chirurgiæ huc pertinentis pars exiſtit. Vbi autem hoc innotuerit, non relinquetur vulneratus

ex igno-

θείς, ὅταν χειρουργῆται μὴ προσηκόντως. Μόνος δ' ἂν ὁ τῶν σημείων ἔμπειρος εἰκότως ἐπιχειρεῖν. Περὶ δὲ τῶν λοιπῶν ἀπάντων ἐν ἑτέροις γεγραμμένα ἐστίν.

Περὶ τοῦ ἰητροῦ, τέλος.

ex ignorantia neglectus, ſi quando aliter quàm decet, curari cœperit. Solus autem is, qui ſignorum peritus eſt, dextrè hanc chirurgiæ partem tractabit. Verùm de his omnibus alio loco ſcripſimus.

Finis Libri De Medico.

Digitized by Google

HIPPOCRATIS
COI
DE ARTE,

Græcè, & Latinè,

ex interpretatione

IOHANNIS HEVRNII

Vltraiectini.

q 2

Digitized by Google

ἹΠΠΟΚΡΆΤΟΥΣ
ΚΩ͂ΟΥ
ΠΕΡῚ ΤΈΧΝΗΣ.

Εἰσὶ τινὲς οἱ τέχνην πεποίηνται, τὸ τὰς τέχνας αἰσχροεπεῖν. ὡς μὲν οἴονται, οὐ τοῦτο διαπρησσόμενοι, ὃ ἐγὼ λέγω, ἀλλ' ἱστορίης οἰκείης ἐπίδειξιν ποιεύμενοι. Ἐμοὶ δὲ τὸ μὲν τι τῶν μὴ εὑρημένων ἐξευρίσκειν, ὅ, τι καὶ εὑρεθὲν κρέσσον ἢ ἀνεξεύρετον, ξυνέσιος δοκεῖ ἐπιθύμημά τι καὶ ἔργον εἶναι· καὶ τὸ τὰ ἡμίεργα ἐς τέλος ἐξεργάζεσθαι ὡσαύτως. Τὸ δὲ λόγων οὐ καλῶν τέχνῃ τὰ τοῖς ἄλλοις εὑρημένα αἰσχύνειν προθυμέεσθαι, ἐπανορθοῦντα μὲν μηδὲν, διαβάλλοντα δὲ τὰ τῶν εἰδότων πρὸς τοὺς μὴ εἰδότας ἐξευρήματα, οὐκέτι δοκεῖ ξυνέσιος ἐπιθύμημά τε καὶ ἔργον εἶναι, ἀλλὰ κακαγγελίη μᾶλλον φύσιος, ἢ ἀτεχνίη. Μούνοισι γὰρ τοῖσιν ἀτέχνοισιν, ἡ ἐργασίη αὕτη ἁρμόζει, φιλοτιμευμένων μὲν, (οὐδαμῇ δὲ δυναμένων κακίης ὑπουργεῖν,) εἰς τὸ τὰ τῶν πέλας ἔργα, ἢ ὀρθὰ ἐόντα διαβάλλειν, ἢ οὐκ ὀρθὰ μωμέεσθαι.

Τοὺς

HIPPOCRATIS
COI
DE ARTE.

SVnt quidam qui artem profitentur hanc, quæ cæteras artes dehoneſtare docet. Attamen id, vt illi ſperabant, non conficiunt, ſed tamen id, vt mihi videtur, faciunt (non aliam ob cauſam, quàm) vt variam ſuam eruditionem oſtentent. Mihi verò inueſtigare aliquid eorum quæ nondum inuenta ſunt, quod ipſum notum quàm ignotum eſſe præſtet, ſcientiæ, omnium votis optabilis, negocium videtur eſſe: ſimiliterque ea quæ dimidium perueſtigationis habent, plenè abſoluere. (Contra) maledicentiæ arte, ea quæ ab aliis inuenta ſunt turpiter inceſſere velle, nullo quidem caſtigandi, ſed ea quæ à peritis perueſtigata ſunt apud imperitos calumniandi ſtudio, id profectò non ſcientiæ optabilis negocium videtur eſſe, ſed aut (malignæ) naturæ, aut ignorantiæ argumentum. Solos enim imperitos artis hoc factum decet, qui ambitioſè quidem contendunt, (quamuis maliciei non reſpondeant eorum vires) vt aliorum præclara opera calumnientur; vel, ſi illa vitioſa fuerint, ad reprehendendum ſe conuertant.

Τοὺς μὲν οὖν εἰς τὰς ἄλλας τέχνας τούτῳ τῷ λόγῳ ἐμπίπτοντας, οἷσι μέλει τε, καὶ ὧν, κεῖν' οἷς μέλει, οἱ δυνάμενοι κωλυόντων. Ὁ δὲ παρεὼν λόγος, τοῖς εἰς ἰητρικὴν οὕτως ἐμπορευομένοις ἐναντιώσεται, θρασυνόμενος μὲν, διὰ τούτους οὓς ψέγει, εὐπορέων δὲ διὰ τὴν τέχνην ᾗ βοηθεῖ, δυνάμενος δὲ διὰ σοφίην ᾗ πεπαίδευται. Δοκεῖ δή μοι τὸ μὲν σύμπαν, τέχνη εἶναι οὐδεμία οὐκ ἐοῦσα. καὶ γὰρ ἄλογον τῶν ἐόντων τι ἡγεῖσθαι μὴ ἐόν. Ἐπεὶ τῶν γε μὴ ἐόντων τίνα ἄν τις οὐσίην θεασάμενος, ἀπαγγείλειεν ὡς ἔστιν; Εἰ γὰρ δὴ ἔστι γ' ἰδεῖν τὰ μὴ ἐόντα, ὥσπερ τὰ ἐόντα, οὐκ οἶδ' ὅπως ἄν τις αὐτὰ νομίσειε μὴ ἐόντα, ὥσπερ τὰ ἐόντα, (ἅγε εἴη καὶ ὀφθαλμοῖσιν ἰδεῖν, καὶ γνώμῃ νοῆσαι ὡς ἔστιν) ἀλλ' ὅπως μὴ οὐκ εἴη τοῦτο τοιοῦτον.

Ἀλλὰ τὰ μὲν ἐόντα αἰεὶ ὁρᾶται καὶ γινώσκεται, τὰ δὲ μὴ ἐόντα, οὔτε ὁρᾶται, οὔτε γινώσκεται. Γινώσκεται τοίνυν δεδιδαγμένων ἤδη τῶν τεχνέων, καὶ οὐδεμία ἐστὶν ἥγε ἔκ τινος εἴδεος οὐχ ὁρᾶται. Οἶμαι δ' ἔγωγε καὶ τὰ ὀνόματα αὐτὰς, διὰ τὰ εἴδεα λαβεῖν. Ἄλογον γὰρ ἀπὸ τῶν ὀνομάτων τὰ εἴδεα ἡγεῖσθαι βλαστάνειν, καὶ ἀδύνατον. Τὰ μὲν γὰρ ὀνόματα, φύσιος νομοθετήματά ἐστι.

Cæteros verò qui alias artes (petulanter) hoc modo inuadunt, hi apud quos harum tutela eſt quibuſque ea cura incumbit, ſiquidem poſſunt, coërceant. Hæc enim iam ſuſcepta diſputatio, illis qui medicinam hoc modo inuadunt aduerſabitur, confidens quidem propter eos quos inſectatur; vtilis verò ob artem cui opitulatur; potens denique ob ſapientiam qua eſt eruditè culta. Videtur ſanè mihi in vniuerſum nulla ars eſſe, quæ non exiſtat: nam abſurdum eſt aliquid eſſe exiſtimare, quod nuſquam ſit. Deinde eorum quæ non ſunt, quamnam quis eſſentiàm animo complectens affirmare poſſit quòd ſint? Si enim ea quæ non ſunt non potis eſt videre, quemadmodum ea quæ ſunt, haud equidem ſcio quo modo quis mente complectetur ea quæ non ſunt, vti complectitur ea quæ ſunt, (quæ oculis cernuntur, mente intelliguntur quòd ſunt) niſi complectatur eatenus, quòd nimirùm non ſint.

Sed ea quæ ſunt ſemper quidem videntur & intelliguntur: quæ verò non ſunt, nec videntur, nec intelliguntur. Intelliguntur itaque demonſtratis iam artibus; quin nulla eſt ars, quæ non ex idea quadam rerum videatur. Puto ſanè ego etiam nomina artibus ex ideis accipi & imponi. Abſurdum enim eſt putare ex nominibus ideas rerum germinare, quin imò impoſſibile. Nomina enim naturæ

τά ἐστι· τὰ δὲ εἴδεα, οὐ νομοθετήματα, ἀλ-
λὰ βλαστήματα. Περὶ μὲν οὖν τούτων εἰ-
γέ τις μὴ ἱκανῶς ἐκ τῶν εἰρημένων ξυνίη-
σιν, ἐν ἄλλοις ἂν λόγοις σαφέστερον διδαχ-
θείη.

Περὶ δὲ ἰητρικῆς, ἐς ταύτην γὰρ ὁ λόγος,
ταύτης οὖν τὴν ἀπόδειξιν ποιήσομαι. Κα
πρῶτόν γε δὴ διοριεῦμαι, ὃ νομίζω, ἰητρικὴ
εἶναι· τὸ δὴ πάμπαν ἀπαλλάσσειν τῶν νο
σεόντων τοὺς καμάτους, καὶ τῶν νοσημάτω
τὰς σφοδρότητας ἀμβλύνειν, καὶ τὸ μ
ἐγχειρέειν τοῖσι κεκρατημένοισιν ὑπὸ τῶ
νοσημάτων, εἰδότες ὅτι ταῦτα οὐ δύνατα
ἰητρική. Ὡς οὖν ποιέει τε ταῦτα, καὶ οἵ
τέ ἐστι διὰ παντὸς ποιέειν, περὶ τούτου μο
ὁ λοιπὸς ἔσται λόγος. Ἐν δὲ τῇ τῆς τέ
χνης ἀποδείξει, ἅμα καὶ τοὺς λόγους τῶν αἰ
σχύνειν αὐτὴν οἰομένων αἱρήσω, ᾗ ἂ
ἕκαστος αὐτῶν περαίνειν τι οἰόμενος τυγ-
χάνει.

Ἔστι οὖν μοι ἀρχὴ τοῦ λόγου, ἣ καὶ ὁμ
λογηθήσεται παρὰ πᾶσιν. Ὅτι μὲν ἔνι
ἐξυγιαίνονται τῶν θεραπευομένων ὑπὸ ἰ
τρικῆς, ὁμολογέεται. Ὅτι δὲ οὐ πάντ
ἐν τούτῳ ἤδη ψέγεται ἡ τέχνη. Καὶ φ
σὶν οἱ τὰ χείρω λέγοντες, διὰ τοὺς ἁλισκ
μένους ὑπὸ τῶν νοσημάτων, καὶ τοὺς ἀποφεύγ
τας αὐ… τύχῃ ἀποφεύγειν, καὶ οὐ διὰ τ
τέχν

decreta ſunt. Ideæ autem rerum non decreta, ſed germina exiſtunt. Quin ſi quis hæc ex prædictis non ſatis intelligit, in aliis ſermonibus clariùs edocebitur.

De medica verò arte, nam de hac diſputatio hæc ſuſcepta eſt, demonſtrationem inſtituam. Et primùm definitione, quid medicinam eſſe putem explicabo: nimirùm nihil aliud, quàm morbos ab ægris omnino auferre, & morborum vehementias obtundere, & eorum qui à morbis deuicti ſunt curationem non aggredi, cùm certò ſciat hæc à medicina perfici non poſſe. Verùm quomodo hæc talia medicina efficiat, quidque vniuerſim præſtare poſſit, de hoc iam reliquum ſermonem inſtituam. Simul etiam in arte ſtabilienda demonſtrationibus, rationes eorum, qui eam dehoneſtare contendunt, quatenus hi momenti aliquid attuliſſe videntur, conuellam.

Exordium itaque diſputationis hoc erit, cui cuncta aſſentiuntur. Quòd aliqui ſanantur eorum qui à medicina curandi ſuſcipiuntur, hoc in confeſſo eſt. Quòd verò non cuncti, in eo ſaltem culpatur ars. Quin hi, qui quàm peſſimè de ea loquuntur, aiunt, eos qui morbo inuoluti, euadunt, fortunæ ope euadere, non autem

τέχνην. Ἐγὼ δὲ οὐκ ἀποστερέω μὲν οὐδ᾽ αὐτὸς τῆς τύχης ἔργου οὐδενός· Ἡγεῦμαι δὲ, τοῖσι μὲν κακῶς θεραπευομένοισι νοσήμασι, τὰ πολλὰ τῆς ἀτυχίης ἕπεσθαι· Τοῖσι δὲ εὖ, τῆς εὐτυχίης.

Ἔπειτα δὲ καὶ πῶς οἷόν τε ἐστὶ τοῖς ὑγιανθεῖσιν ἄλλό τι αἰτιάσασθαι ἢ τὴν τέχνην, εἴπερ χρεώμενοι αὐτῇ καὶ ὑπουργοῦντες, ὑγιάνθησαν; Τὸ μὲν γὰρ τῆς τύχης εἶδος ψιλὸν, οὐκ ἠβουλήθησαν θεήσασθαι, ἐν δὲ τῇ τέχνῃ ἐπέτρεψαν σφᾶς αὐτούς. ὥστε τῆς μὲν ἐς τὴν τύχην ἀναφορῆς, ἀπηλλαγμένοι εἰσί. τῆς μέντοι ἐς τὴν τέχνην, οὐκ ἀπηλλαγμένοι. Ἐν ᾧ γὰρ ἐπέτρεψαν, καὶ ἐπίστευσαν αὐτῇ σφᾶς αὐτοὺς, ἐν τούτῳ αὐτῆς καὶ τὸ εἶδος ἐσκέψαντο, καὶ τὴν δύναμιν περανθέντος τοῦ ἔργου ἔγνωσαν. Ἐρεῖ δὴ ἐνταῦθα ὁ τ᾽ ἀναντία λέγων, ὅτι πολλοὶ ἤδη καὶ οὐ χρησάμενοι ἰητρῷ νοσέοντες ὑγιάνθησαν. Καὶ ἐγὼ τῷ λόγῳ οὐκ ἀπιστέω. Δοκέει δέ μοι οἷόν τε εἶναι, καὶ ἰητρῷ μὴ χρεωμένοις, ἰητρικῇ περιτυχεῖν. Οὐ μὴν ὥς᾽ εἰδέναι ὅτι ὀρθὸν ἐν αὐτῇ ἐνείη, καὶ ὅτι μὴ ὀρθόν· Ἀλλ᾽ ὡς ἂν ἐπιτύχοιεν τοιαῦτα θεραπεύσαντες ἑωυτοὺς, ὁποῖά περ ἂν ἐθεραπεύθησαν, εἰ καὶ ἰητροῖσιν ἐχρέοντο. Καὶ τοῦτό γε τέως τεκμήριον μέγα τῇ οὐσίῃ τῆς τέχνης, ὅτι ἐοῦσά τέ ἐστι καὶ μεγάλη, ὅπου γε φαίνονται

καὶ οἱ

autem artis auxilio. Verùm neque ego fortunam fraudo vlla efficacia: quin potiùs exiſtimo, morbis malè curatis, plerumque conſectarium eſſe infortunium: at benè habitis, bonam fortunam.

Deinde quomodo potis eſt vt ij qui ſanati ſunt aliud quàm artem eius auctorem agnoſcant, cùm hac vſi eáque operam nauante ſanati ſint? Nudam enim fortunæ ſpeciem eos reſpicere ac ſequi noluiſſe, hinc elucet, quòd ſeipſos arti concrediderunt. Itaque remedio quod à fortuna petitur nihil omnino debent; at ei quod ab arte petitur, debitores ſunt. Hoc ipſo etenim, quòd arti ſe commiſerunt & concrediderunt, palàm eſt ipſos formam eius in oculis habuiſſe, cuius efficaciam confecto iam negocio agnouere. Verùm dicet hic aduerſarius, plurimos iam ægros citra medicorum vſum conualuiſſe. Quin & ego id dicentibus credo. Videtur enim mihi euenire poſſe, vt is qui medico non vtitur in medicinam incidat. Non quidem vt ſciant quid in ea rectum ſit, & quid prauum: Sed quia fortuitò genus illud curationis, quo ſe curant, offertur; quo vſi fuiſſent, ſi medicos adhibuiſſent. Quod ſanè magnum argumentum eſt eſſentiæ ipſius artis, nimirum artem eſſe, & quidem magnam, cùm etiam hi qui

καὶ οἱ μὴ νομίζοντες αὐτὴν εἶναι, σώζονται δι' αὐτήν.

Πολλὴ γὰρ ἀνάγκη καὶ τοὺς μὴ χρεωμένους ἰητροῖσιν, νοσήσαντας δὲ καὶ ὑγιασθέντας, εἰδέναι, ὅτι ἢ δρῶντές τι, ἢ μὴ δρῶντες, ὑγιάνθησαν. Ἢ γὰρ ἀσιτίῃ, ἢ πολυφαγίῃ, ἢ ποτῷ πλείονι, ἢ δίψῃ, ἢ λουτροῖσιν, ἢ ἀλουσίῃ, ἢ πόνοισιν, ἢ ἡσυχίῃ, ἢ ὕπνοισιν, ἢ ἀγρυπνίῃ, ἢ τῇ ἁπάντων τούτων παραχῇ χρεώμενοι ὑγιάνθησαν. Καὶ τῷ ὠφελεῖσθαι, πολλὴ ἀνάγκη αὐτούς ἐστιν ἐγνωκέναι, ὅ, τι ἦν τὸ ὠφελῆσαν· καὶ εἴ τι τ' ἐβλάβησαν, καὶ τὸ βλαβῆναι· καὶ ὅ, τι ἦν τὸ βλάψαν. Τὰ γὰρ τῷ ὠφελεῖσθαι, καὶ τὰ τῷ βεβλάφθαι ἀφορισμένα, οὐ πᾶς ἱκανὸς γνῶναι. Εἰ τοίνυν ἐπιστήσεται, ἢ ἐπαινέειν, ἢ ψέγειν ὁ νοσήσας τῶν διαιτημάτων τι οἷσιν ὑγιάνθη, πάντα ταῦτα τῆς ἰητρικῆς ὄντα εὑρήσει· καὶ ἔστιν οὐδὲν ἧσσον τὰ ἁμαρτηθέντα τῶν ὠφελησάντων μαρτύρια τῇ τέχνῃ, εἰς τὸ εἶναι. Τὰ μὲν γὰρ ὠφελήσαντα, τῷ ὀρθῶς προσενεχθῆναι ὠφέλησε· τὰ δὲ βλάψαντα, τῷ μηκέτι ὀρθῶς προσενεχθῆναι, ἔβλαψε. Καί τοι ὅπου τὸ ὀρθὸν, καὶ τὸ μὴ ὀρθὸν ὅρον ἔχει ἑκάτερον, πῶς τοῦτο οὐκ ἂν τέχνη εἴη; τοῦτο γὰρ ἔγωγε φημὶ ἀτεχνίην εἶναι, ὅπου μήτε ὀρ-

τε ὀρ-

hi qui exiſtimant eam minimè eſſe, huius beneficio ſeruati appareant.

Quin illud neceſſarium omninò, ægros qui minimè vſi medicis conualuere, noſſe & fateri, quòd aut agentes quid, vel quid omittētes redintegrati fuerint. Aut enim inedia, aut voracitate, aut liberaliori potu, vel ſiti, vel balneis, aut ſorditie, aut exercitiis, vel ocio, vel ſomniis, vel vigiliis, vel omnium horum munere vtentes, ſanitatem recuperarunt. Itaque eo ipſo quòd opem ſenſere, magna adeſt neceſſitas ipſos agnoſcere, quidnam fuerit hoc, quod opem tulit: & ſi quid damni acceperint, conſentaneum eſt damnum agnoſcere: & quidnam fuerit hoc quod damnum attulit. Non enim quiuis poteſt rectè interſtinguere differentias iuuantium & lædentium. Si igitur is qui ægrotauit nouerit vel laudare vel vituperare hoc vel illud ex diæta, cuius beneficio conualuit, cuncta hæc medicinæ eſſe deprehendet. Neque minùs ea quæ damno fuere, quàm ea quæ opem tulere argumento arti erunt, quòd ars ipſa ſit. Quæ enim opem attulerunt, ob rectum vſum profuerunt: quæ verò damno fuerunt, inde quòd non ritè in vſum fuere ducta, damnis ægros auxere. Verùm vbi rectum & prauum definitis certíſque metis continetur vtrumque, quomodo quæſo hoc ſine arte eueniet? Id enim ego artis expers eſſe affirmo, vbi neque rectum,

τὸ ὀρθὸν εἴη μηδὲν, μήτε οὐκ ὀρθόν. Ὅπου δὲ τούτων ἔνεστιν ἑκάτερον, πῶς τοῦτο οὐκ ἂν τέχνης ἔργον, ἀλλ' ἀτεχνίης εἴη;

Ἔτι τοίνυν εἰ μὲν ὑπὸ φαρμάκων τῶν τε καθαιρόντων καὶ τῶν ἱστάντων ἡ ἴησις, τῆς τε ἰητρικῆς καὶ τοῖς ἰητροῖσι μούνοισιν ἐγίνετο, ἀσθενὴς ἦν ἂν ὁ ἐμὸς λόγος. Νῦν δὲ δὴ φαίνονται τῶν ἰητρῶν οἱ μάλιστα ἐπαινεόμενοι, καὶ διαιτήμασιν ἰώμενοι καὶ ἄλλοισί τε εἴδεσιν, ἃ οὐκ ἄν τις φαίη, μὴ ὅτι ἰητρὸς, ἀλλ' οὐδὲ ἰδιώτης ἀνεπιστήμων ἀκούσας, μὴ οὐ τῆς τέχνης εἶναι. Ὅπου οὖν οὐδὲν οὔτε ἐν τοῖς ἀγαθοῖσι τῶν ἰητρῶν, οὔτε ἐν τῇ ἰητρικῇ αὐτῇ ἀχρεῖόν ἐστιν, ἀλλ' ἐν τοῖς πλείστοισι τῶν τε φυομένων, καὶ τῶν ποιευμένων ἔνεστι τὰ εἴδεα τῶν θεραπειῶν καὶ τῶν φαρμάκων· οὐκ ἔστιν ἔτι οὐδενὶ τῶν ἄνευ ἰητροῦ ὑγιαζομένων, τὸ αὐτόματον αἰτιήσασθαι ὀρθῷ λόγῳ.

Τὸ μὲν γὰρ αὐτόματον, οὐδὲν φαίνεται ἐὸν ἐλεγχόμενον· πᾶν γὰρ τὸ γινόμενον, διά τι ἂν εὑρίσκοιτ' ἂν γινόμενον· καὶ ἐν τῷ διὰ τί. Τὸ δὲ αὐτόματον, οὐ φαίνεται οὐσίην ἔχον οὐδεμίην, ἀλλ' ἢ οὔνομα μοῦνον. Ἡ δὲ ἰητρικὴ, καὶ ἐν τοῖς διά τι προνοουμένοισι φαίνεταί τε, καὶ φανεῖται ἔτι οὐσίην ἔχουσα. Τοῖσι μὲν οὖν τῇ τύχῃ τὴν ὑγιείην προστιθεῖσι, τὴν δὲ τέχνην ἀφαιρέουσι, τοιαῦτ' ἄν τις λέγοι. Τοὺς δὲ ἐν τῇσι τῶν ἀποθνησκόντων

συμφο-

neque prauum aliquid eſt. At cui vtrumque horum ineſt, qua ratione quis hoc non artis, ſed opus artis expers eſſe dixerit?

Præterea ſi pharmacis purgantibus, & aluum ſtringentibus ſolùm tum medicina, tum medici ſuas curationes abſoluerent, meritò ineffcax hic meus ſermo haberi poſſit. Nunc verò celebratiſſimi medici, & diætâ & aliis remediorum modis ſanant; quæ, ſi audiat, neque medicus, & nequidem idiota artis penitùs expers, artis eſſe negare queat. Vbi itaque nec in ipſis doctis medicis, nec in ipſa arte medica quicquam inutile, ſed in pleriſque terra naſcentibus, quæque parantur, ſpecies & formæ inſunt medelarum & pharmacorum; nemo profectò eorum qui abſque medico reualuere, in cauſam caſu obortam, ſuam ſanationem referre poterit.

Fortuitum enim nihil eſſe certis argumentis deprehenditur. Etenim omne quod fit, propter aliquid fieri deprehenditur: & in ipſo etiam fine hoc ipſum comperitur. At verò fortuitum videtur nullam eſſentiam obtinere, ſed nudum tantùm nomen. At medicina eſt ex eorum numero quæ propter quid & de induſtria excogitata ſunt; & inſuper eſſentiam habere conſpicitur. Et hæc quidem his, qui fortunæ ſanitatem aſſeribunt, arti verò detrahunt, quis reſponderit. Hos autem qui ob morientium calamitatem

συμφορῆσι τὴν τέχνην ἀφανίζοντες. Θαυμάζω, ὅτῳ ἐπαιρόμενοι ἀξιοχρέῳ λόγῳ, τὴν μὲν τῶν ἀποθνησκόντων ἀκρασίην ἐκ αἰτίην καθιστᾶσι· τὴν δὲ τῶν ἰητρικὴν μεταχειρισάντων σύνεσιν, αἰτίην· ὡς τοῖσι μὲν ἰητροῖσιν ἔνεστι τὰ μὴ δέοντα ἐπιτάξαι, τοῖσι δὲ νοσέουσιν οὐκ ἔνεστι τὰ προσταχθέντα παραβῆναι. Καὶ μὴν πολύ γε εὐλογώτερον, τοῖσι κάμνουσιν ἀδυνατέειν τὰ προστασσόμενα ὑπουργέειν, ἢ τοῖσιν ἰητροῖσι τὰ μὴ δέοντα ἐπιτάσσειν.

Οἱ μὲν γὰρ ὑγιαινούσῃ γνώμῃ, μεθ' ὑγιαίνοντος σώματος ἐγχειρέουσι, λογισάμενοι τά τε παρεόντα, τῶν τε παρεληλυθότων τὰ ὁμοίως διατεθέντα τοῖσι παρεοῦσιν· ὥστε ποτὲ θεραπευθέντα εἰπεῖν, ὅτι ἀπήλλαξαν. Οἱ δὲ οὔτε ἃ κάμνουσιν, οὔτε δι' ἃ κάμνουσιν, οὐδ' ὅ, τι ἐκ τῶν παρεόντων ἔσται, οὐδ' ὅ, τι ἐκ τῶν τούτοισιν ὁμοίων γίνεται εἰδότες ἐπιτάσσονται, ἀλγέοντες μὲν τῷ παρεόντι· φοβεύμενοι δὲ τὸ μέλλον· πλήρεις μὲν τῆς νούσου, κενεοὶ δὲ σιτίων· ἐθέλοντες τὰ πρὸς τὴν νοῦσον ἡδέα μᾶλλον, ἢ τὰ πρὸς ὑγιείην προσδέχεσθαι· οὐκ ἀποθανεῖν ἐρῶντες, ἀλλὰ καρτερεῖν ἀδυνατέοντες. Οὕτω δὴ διακειμένους πότερον εἰκὸς τούτους τὰ ὑπὸ τῶν ἰητρῶν ἐπιτασσόμενα ποιέειν, ἢ ἄλλα ποιέειν, ἃ οὐκ ἐπετάχθησαν; ἢ τοὺς ἰητροὺς (τοὺς ἐκείνως διακειμένους, ὡς ὁ πρόσ-

θεν

artem è medio auferre contendunt, vehementer miror, quanam memorabili ratione perſuaſi, intemperantiam ægrorum cauſam mortis non ſtatuant, ſed ſcientiam tantùm eorum qui medicinam exercent: quaſi medici tantùm quæ non oportet præſcribere poſſint, ægri verò ea quæ imperata ſunt violare nequeant. Quin longè probabilius eſt, ægros non poſſe facere quæ imperantur, quàm medicos ea quæ non decet imperare.

Medici namque ſana mente ſanóque corpore curationem aggredientes, & præſentia peruestigant, & de præteritis ſimul, collatione eorum habita ad præſentia, ratiocinantur: Adeò vt nonnunquam æger fateatur, ſe eorum operâ euaſiſſe. Aegri verò neque ex qua parte ægrotent, neque ob quam cauſam ægrotent, neque quid ex præſentibus eueniet, neque quid ex horum ſimilibus futurum ſit agnoſcentes; medici imperio ſubiacent: afflicti quidem ob ea quæ præſto ſunt; in metu autem ob futura: pleni morbo, vacui ciborum: ea quæ ad morbum faciunt potiùs, quàm quæ ad ſanitatem admittere cupidi: mori quidem renuunt, neque tamen contra morbum pugnare fortiter ſuſtinent. Hos autem eo modo affectos vtrum quæſo veriſimilius eſt à medicis imperata facere; an diuerſa, quæ medici non iuſſerunt? an potiùs medicos (maximè tales, quales ſuperiore ſermone decla-

ὅθεν λόγος ἡμμελημένος, ἢ ἐπιτάσσειν τὰ μὴ δέοντα; ἆρ' οὐ πολὺ μᾶλλον, τοὺς μὴ δεόντως ἐπιτάσσειν, τοὺς δ' εἰκότως ἀδυνατέειν πείθεσθαι; μὴ πειθομένους δὲ περιπίπτειν τοῖσι θανάτοισι, ὧν οἱ μὴ ὀρθῶς λογιζόμενοι τὰς αἰτίας τοῖς οὐδὲν αἰτίοις ἀνατιθέασι, τοὺς αἰτίους ἐλευθεροῦντες.

Εἰσὶ δέ τινες, οἳ καὶ διὰ τοὺς μὴ ἐθέλοντας ἐγχειρέειν τοῖσι κατακεκρατημένοισιν ὑπὸ τῶν νοσημάτων, μέμφονται τὴν ἰητρικὴν, λέγοντες, ὡς ταῦτα μὲν καὶ αὐτὰ ὑφ' αὑτῶν ἂν ἐξυγιάζοιτο, ἃ ἐγχειρέουσιν ἰᾶσθαι· ἃ δ' ἐπικουρίης δεῖται, οὐχ ἅπτονται· δεῖν δὲ, εἴπερ ἦν ἡ τέχνη, πάνθ' ὁμοίως ἰᾶσθαι. Οἱ μὲν οὖν ταῦτα λέγοντες, εἰ ἐμέμφοντο τοῖς ἰητροῖς, ὅτι αὐτέων τοιαῦτα λεγόντων οὐκ ἐπιμελοῦνται ὡς παραφρονεόντων, εἰκότως ἂν ἐμέμφοντο μᾶλλον, ἢ ἐκεῖνα μεμφόμενοι. Εἰ γάρ τις ἢ τέχνην, ἐς ἃ μὴ τέχνη, ἢ φύσιν, ἐς ἃ μὴ πέφυκεν ἀξιώσει δύνασθαι, ἀγνοεῖ μανίῃ ἁρμόζουσαν ἄγνοιαν μᾶλλον, ἢ ἀμαθίῃ. Ὧν γάρ ἐστιν ἡμῖν, τοῖσί τε τῶν φυσίων, τοῖσί τε τῶν τεχνέων ὀργάνοις ἐπικρατέειν, τούτων ἔστιν ἡμῖν δημιουργοῖς εἶναι, ἄλλων δὲ οὐκ ἔστιν.

Ὅταν οὖν τι πάθῃ ὁ ἄνθρωπος κακὸν, ὃ κρέσσον ἐστὶ τῶν ἐν τῇ ἰητρικῇ ὀργάνων, οὐδὲ

προσε

raui) non qualia decet imperare? An non multò probabilius eſt, hos quidem quæ conueniant præſcribere: illos autem ritè obedire impotenter nolle? & propterea minimè obedientes in mortem incidere. quæ ſanè qui non rectè animaduertunt, cauſam (mortis) in hos, qui extra culpam ſunt, referunt: eos verò qui maximè accuſandi ſunt, à crimine abſoluunt.

Quin & alij quidam ſunt, qui ob hos, qui his qui triumphati à morbo ac iam victi ſunt curationem adhibere nolunt, medicinam accuſant: aſſerentes vitia quæ medici ſanare aggrediuntur, vltrò naturæ vi euinci potuiſſe. Quæ verò auxilium flagitant, ab illis non attingi. Decere autem, ſi ars vera ſit, omnibus ex æquo mederi. Qui itaque hæc aiunt, ſi medicis ſuccenſent propterea, quòd nullam ipſorum, huiuſmodi deliria proferentium, curam ſuſcipiant, multo ſanè iuſtiùs ſuccenſuerint, quàm propter illa. Si enim quis potentiam ac vim artis in iis, quæ non profitetur, aut naturæ in iis, ad quæ apta non eſt, exigat, is inſana laborat ignorantia, quæ amentiæ potiùs quàm imperitiæ aſcribenda. Quorum enim naturæ vel artis inſtrumentorum imperium atque vim obtinemus, per ea artifices eſſe poſſumus, per alia verò nequaquam.

Quum itaque morbo affligitur homo, qui validior eſt quàm ſint inſtrumenta

προσδοκᾶσθαι δεῖ ὑπὸ ἰητρικῆς κρατη-
θῆναι αὖ. Αὐτίκα γὰρ τὴν ἐν ἰητρικῇ
καιόντων, πῦρ ἐσχάτως καίει. Τούτου δὲ ἧσ-
σον, καὶ ἄλλα πολλά. Τῶν μὲν οὖν ἡσσό-
νων, τὰ κρέσσω οὔπω δῆλον ὅτι οὐκ ἀνίητα.
Τῶν δὲ κρατίστων, τὰ κρέσσω πῶς οὐ δηλο-
νότι ἀνίητα; ἃ γὰρ πῦρ οὐ δημιουργέει, πῶς
οὐ τὰ (τούτῳ μὴ ἁλισκόμενα) δηλοῖ, ὅτι ἄλ-
λης δεῖται τέχνης, καὶ οὐ ταύτης, ἧς ἐστι τὸ
πῦρ ὄργανον; ὡυτὸς δέ μοι λόγος καὶ ὑπὲρ τῶν
ἄλλων, ὅσα τῇ ἰητρικῇ ξυνεργεῖ· ὧν ἁπάν-
των φημὶ δεῖν ἑκάστου μὴ κατατυχόντα τὸν
ἰητρὸν, τὴν δύναμιν αἰτιᾶσθαι τοῦ πάθεος,
μὴ τὴν τέχνην. Οἱ μὲν οὖν μεμφόμενοι
τοῖσι τοῖς κρατουμένοισι μὴ ἐγχειρέουσι,
παρακελεύονται καὶ ὧν μὴ προσήκει ἅπτεσθαι
οὐδὲν ἧσσον, ἢ ὧν προσήκει. Παρακελευό-
μενοι δὲ ταῦτα ὑπὸ μὲν τῶν τοῦ ὀνόματι
ἰητρῶν θαυμάζονται· ὑπὸ δὲ τῶν καὶ τέχνῃ
καταγελῶνται. Οὐ μὴν οὕτως ἀφρόνων οἱ
ταύτης τῆς δημιουργίας ἔμπειροι, οὔτε μω-
μητέων, οὔτ᾽ αἰνετέων δέονται· Ἀλλὰ λελογισ-
μένων, πρὸς ὅ, τι αἱ ἐργασίαι τῶν δη-
μιουρ-

medica, ne ſperare quidem oportet, vt à medicina euincatur. Exempli gratia: Inter ea quæ in medicina vrendi vi prædita ſunt, ignis extremè vrit. Eo verò imbellius alia plurima. Nec adhuc conſtat, vtrum à leuioribus inſtrumentis validiores morbi tolli poſſint. Quis autem dubitet, quin validiſſimis (interdum remediis) validiſſimi morbi curari nequeant? Proinde quæ ignis efficere nequit, (eo ipſo quòd ab eo non edomantur,) ſatis arguunt, alia opus eſſe arte (ad ſui depulſionem) diuerſa ab ea, quæ igne ceu inſtrumento vtitur. Idem iudicium meum eſt de reliquis cunctis (inſtrumentis) quæ arti medicæ vſum præſtant; quorum ſingillatim euentus ſi non medico reſpondeat, vim paſſionis cauſari oportet, meâ quidem ſententiâ, non ipſam artem. Qui itaque eos reprehendunt qui triumphatis à morbo manum adhibere recuſant, hortari videntur, vt non minùs ea quæ non decet attingantur, quàm ea quæ decet. Quod cùm perſuaſi faciunt, tum iis quidem, qui nomine tenùs medici ſunt, admirationi ſunt: ab his verò, qui arte inſuper excellunt, deridentur. Nec verò artis huius periti, tam inſipientes vituperatores vel laudatores morantur: Sed prudentes tantùm, & accuratè noſcentes, quidnam ſit illud, ad quod directæ actiones artificum perfectæ euadunt:

μικρῶν τῆς δημιουργίης, πλήρεις εἰσί· καὶ ὅτου ὑπολειπόμεναι ἐνδεεῖς.

Ἔστι τε τῶν εἰδέων, ἅς τε τοῖς δημιουργέουσιν ἀναθετέον, ἅς τε τοῖσι δημιουργευμένοισι. Τὰ μὲν οὖν κατὰ τὰς ἄλλας τέχνας, ἄλλος χρόνος μετ' ἄλλου λόγου δείξει. Τὰ δὲ κατὰ τὴν ἰητρικὴν, οἷά τέ ἐστιν, ὥστε κρῖναι, τὰ μὲν, ὁ παρακεχωρηκώς· τὰ δὲ, ὁ παρεὼν διδάξει λόγος. Ἔστι γὰρ τοῖσι ταύτην τὴν τέχνην ἱκανῶς εἰδόσι, τὰ μὲν τῶν νοσημάτων, οὐκ ἐν δυσόπτοισι κείμενα, καὶ οὐ πολλά· τὰ δὲ οὐκ ἐν εὐδήλοισι, καὶ πολλά ἐστι. τὰ μὲν γὰρ πρὸς τὰ ἐντὸς τετραμμένα, ἐν δυσόπτοισι· τὰ δὲ ἐξανθεῦντα εἰς τὴν χροιὴν, ἢ οἰδαίνοντα, ἐν εὐδήλοισι. Παρέχει γὰρ ἑωυτῶν τῇσί τε ὄψεσι, τῇσί τε ψαύσεσι, τῆς στερεότητος, καὶ τῆς ὑγρότητος αἰσθάνεσθαι. Καὶ ἅ τε αὐτῶν θερμὰ, ἅ τε ψυχρά· ὧν τε ἑκάστου ἡ παρουσίη, ἢ ἀπουσίη, τοιαύτη ἐστί.

Τῶν μὲν δὴ τοιούτων πάντων, ἐν ἅπασι, τὰς ἀκέσιας ἀναμαρτήτους δεῖ εἶναι· οὐχ ὡς ῥηιδίας· ἀλλ' ὅτι ἐξεύρηνται. Ἐξεύρηνταί γε μὴν οὐ τοῖσι βουληθεῖσιν, ἀλλὰ τούτων τοῖσι δυνηθεῖσι. Δύνανται δὲ, οἷσι τά τε τῆς παιδείης μὴ ἐμποδὼν, τά τε τῆς φύσιος μὴ ταλαίπωρα. Πρὸς μὲν οὖν τὰ φανερὰ τῶν νοσημάτων, οὕτω δεῖ εὐπορέειν τὴν τέχνην. Δεῖ γε μὴν αὐτὴν, μὴ δὲ πρὸς τὰ ἧσσον φανερὰ ἀπο-

dunt: & à quo deficientes, mancæ ſint & imperfectæ.

Sed præter iam dicta alios defectus ipſis artificibus aſcribere oportet, alios ipſis operibus. Quæ verò ad alias artes ſpectant, aliud tempus, aliúmque ſermonem poſtulant. Quæ verò ad medicinam, qualia ſint, & quo modo diiudicanda, partim quidem ſuperiori ſermone oſtendimus, partim præſenti oratione docebimus. Itaque qui accuratè hanc artem nouerunt, (morborum duo genera faciunt) alios in non abdito loco poſitos, nec eos permultos: alios in non manifeſto loco habulantes, & multos. Qui enim ad interna vertuntur, in abdito ſiti ſunt: at qui ad ſuperficiem efflorеſcunt, vel intumeſcunt, manifeſti ſunt Præbent enim ſeſe, vt tum viſu tum tactu ſoliditas & humiditas eorum percipiatur: Calidi etiam an frigidi ſint: cuius denique ſingillatim præſentiâ vel abſentiâ tales exiſtant.

Et horum quidem cunctorum, in omnibus, certas medelas eſſe oportet: non quia faciles, ſed quòd certâ ratione inuentæ ſint. Inuentæ autem, non à quibuſuis volentibus, ſed ab his qui ſimul etiam poſſunt. Poſſunt verò ij, quibus & liberalis diſciplina non deeſt, & natura non infelix contigit. In manifeſtis itaque morbis, ſic artem diuitem eſſe oportet. Nec interim in minùs manifeſtis

eam

ἀπορέειν. Ἔστι δὲ ταῦτα, ἃ πρός τι τὰ ὀστέα τέταπται, καὶ τῆς νηδύι. Ἔχει δὲ τὸ σῶμα, οὐ μίαν, ἀλλὰ πλείους. Δύο μὲν γὰρ αἱ τὸ σῖτον δεχόμεναί τε καὶ ἀφιεῖσαι· ἄλλαι δὲ τουτέων πλείους, ἃς ἴσασιν, οἷσι τουτέων ἐμέλησεν.

Ὅσα γὰρ τῶν μηρέων ἔχει σάρκα περιφερέα, ἣν μυῦν καλέουσι, πάντα νηδὺν ἔχει. Πᾶν γὰρ τὸ ἀσύμφυτον, ἤν τε δέρματι, ἤν τε σαρκὶ καλύπτηται, κοῖλόν ἐστι. Πληροῦται τε ὑγιαῖνον μὲν πνεύματος· ἀσθενῆσαν δὲ, ἰχῶρος. Ἔχουσι μὲν τοίνυν οἱ βραχίονες σάρκα τοιαύτην· ἔχουσι δ' οἱ μηροί. ἔχουσι δ' αἱ κνῆμαι. Ἔστι δὲ καὶ ἐν τοῖς ἀσάρκοισι, τοιαύτη ἐοῦσα, οἵη καὶ ἐν τοῖσιν εὐσάρκοισιν εἶναι δέδεικται. Ὅ, τε γὰρ θώρηξ καλεόμενος, ἐν ᾧ τὸ ἧπαρ στεγάζεται· ὅ, τε τῆς κεφαλῆς κύκλος, ἐν ᾧ ὁ ἐγκέφαλος· τό, τε νῶτον, πρὸς ὃ ὁ πνεύμων· τούτων οὐδὲν ὅ, τι οὐ καὶ αὐτὸ κενόν ἐστι, πολλῶν διαφύσιων μεστὸν, οἷσιν οὐδὲν ἀπέχει πολλὸν ἀγγεῖα εἶναι, τῶν μέντοι βλαπτόντων, τῶν κεκτημένων· τῶν δὲ, καὶ ὠφελούντων. Ἔστι δὲ πρὸς τούτοισι, καὶ φλέβες πολλαὶ, καὶ νεῦρα, οὐκ ἐν τῇ σαρκὶ μετέωρα, ἀλλὰ πρὸς τοῖς ὀστέοισι προστεταμένα, σύνδεσμός ἐστι τῶν ἄρθρων.

Καὶ αὐτὰ τὰ ἄρθρα, ἐν οἷσιν αἱ συμβο-

λαὶ

tam inopem ac dubiam hærere conuenit. Sunt autem morbi (minùs manifeſti) qui ad oſſa & ad ventrem ſe conuertére. Habet autem corpus non vnum, ſed plures ventres. Duo enim ſunt qui cibum accipiunt, & reddunt: aliíque præter hos plures, quos nouerunt hi, quibus hæc res curæ fuit.

Quæcumque enim membra circumiectam habent carnem, quam muſculum appellant, ea cuncta ventrem habent. Quicquid enim non concreuit, ſiue pellicula ſiue carne tegatur, cauum eſt. Impletur autem dum ſanum eſt flatu, dum ægrotat ichore. Habent itaque brachia talem carnem: habent & femora: habent & tibiæ. Quin & in carnis expertibus, eiuſmodi caro ineſt, ſimiliter ac in carnoſis eſſe deprehenditur. Nam & thorax dictus, in quo hepar ſtabulatur, & capitis circulus, in quo cerebrum concluditur, ipsúmque adeò dorſum, ad quod pulmo conſedit: horum membrorum nullum eſt, quod non & ipſum vacuum ſit, ac plurimis poris plenum, qui vaſorum penè vſum adferunt, continendo partim ea, quæ habentem lædunt, partim ea quæ proſunt. Præter hæc autem & venæ multæ, & nerui non in carne ſublimes extantes, ſed (intus) ad ipſa oſſa protenti, ligamentum ſunt articulorum.

Ipſi etiam articuli, in quibus oſſium, quæ mouentur, commiſſuræ vertuntur.

λαι τῶν κινουμένων ὁσέων ἐγκυκλέονται. Καὶ τούτων οὐδέν, ὅ, τι οὐχ ὕπαφρόν ἐστι, καὶ ἔχον περὶ αὑτὸ θαλάμας, ἃς καταγγέλλει ἰχὼρ, ὃς ἐκ διεφθαρμένων αὐτέων, πολύς τε, καὶ πολλὰ λυπήσας ἐξέρχεται. Οὐ γὰρ δὴ ὀφθαλμοῖσί γε ἰδόντι τούτων τῶν εἰρημένων, οὐδενὶ οὐδέν ἐστιν εἰδέναι. Διὸ καὶ ἄδηλα ἐμοί τε ὠνόμασται, καὶ τῇ τέχνῃ κέκριται εἶναι: οὐ μὴν ὅτι ἄδηλα κεκράτηκεν, ἀλλ' εἰ δυνατὸν κεκράτηται. Δυνατὸν δέ, ὅσον αἵ τε τῶν νοσεόντων φύσιες ἐς τὸ σκεφθῆναι παρέσχον, αἵ τε τῶν ἐρευνησόντων ἐς τὴν ἔρευναν πεφύκασι. Μετὰ πλείονος μὲν γὰρ πόνου, καὶ οὐ μετ' ἐλάσσονος χρόνου τοῖσιν ὀφθαλμοῖσιν ὁρᾶταί τε καὶ γινώσκεται.

Ὅσα γὰρ τὴν τῶν ὀμμάτων ὄψιν ἐκφεύγει, ταῦτα τῇ τῆς γνώμης ὄψει κεκράτηται. Ὅσα δὲ ἐν τῷ μὴ ταχὺ ὀφθῆναι οἱ νοσέοντες πάσχουσιν, οὐχ οἱ θεραπεύοντες αὐτοὺς αἴτιοι, ἀλλ' ἡ φύσις, ἥ τε τοῦ νοσέοντος, ἥ τε τοῦ νοσήματος. Ὁ μὲν γὰρ ἐπεὶ οὐκ ἦν αὐτῷ ὄψει ἰδεῖν τὸ μοχθέον, οὐδ' ἀκοῇ πυθέσθαι, λογισμῷ μετῄει. Καὶ γὰρ δὴ καὶ ἃ πειρῶνται (οἱ τὰ ἀφανέα νοσέοντες) ἀπαγγέλλειν περὶ τῶν νοσημάτων τοῖσι θεραπεύουσι, δοξάζοντες μᾶλλον ἢ εἰδότες ἀπαγγέλλουσιν. Εἰ γὰρ ἠπίσταντο, οὐκ ἂν περιέπιπτον αὐτοῖς· τῆς γὰρ αὐτῆς ξυνέσιός ἐστιν, ἧσπερ τὸ εἰ-

δέναι

Quorum ſanè nullum eſt, quod non ſubſpumoſum ſit, & circa ſe ſtabula habeat, quæ ichor prodit, qui his recluſis multus & grandi cum multorum dolore egreditur. Cùm itaque nullum ex prædictis oculis intuenti conſpicere pote ſit, idcirco & à me obſcuri morbi appellati ſunt, & ab arte etiam obſcuri eſſe iudicantur: non quòd obſcuri permaneant, & cognitionem noſtram ſuperent, ſed quantum poſſibile eſt, cognoſcantur & ſuperentur. Poſſibile autem eſt, quantum & ægrorum naturæ ad inueſtigandum conferunt, & ingenia perſcrutantium ad perſcrutandum apta ſunt. Cum multo enim labore, nec non minore tempore oculis videntur & cognoſcuntur,

At quæ oculorum conſpectum fugiunt, ea profectò mentis oculis obtinentur & ſuperantur. Quæcumque verò mala ægri patiuntur ob id, quòd non ilicò agnoſcantur, eorum culpa non in medicos qui curant, ſed in naturam tum ægri, tum ægritudinis referenda eſt. Aeger enim cùm malum neque viſu nec auditu aſſequi poſſit, ratiocinatione perſequitur ipſum. Etenim (qui abdito ex morbo laborant) vt maximè conentur medicis ſuos morbos indicare, ex opinione tamen magis quàm ſcientia narrant. Nam ſi certò ſcirent, medicis ſe non crederent: Cùm eiuſdem ſcientiæ ſit morborum

εἰδέναι τῶν νούσων τὰ αἴτια, καὶ τὸ θεραπεύειν αὐτὰς ἐπίστασθαι, ὥστε τῆσι θεραπείῃσιν, αἳ κωλύουσι τὰ νοσήματα μεγαλύνεσθαι. Ὅτι οὖν οὐδὲ ἐκ τῶν ἐπαγγελλομένων ἐστὶ τὴν ἀναμάρτητον σαφήνειαν ἀκοῦσαι, προσοιστέον τι καὶ ἄλλο τῷ θεραπεύοντι. Ταύτης οὖν τῆς βραδυτῆτος οὐχ ἡ τέχνη, ἀλλ' ἡ φύσις αἰτίη ἡ τῶν σωμάτων.

Ἡ μὲν γὰρ αἰσθανομένη, ἀξιοῖ θεραπεύειν, σκοπεῦσα ὅπως μὴ τόλμῃ μᾶλλον ἢ γνώμῃ, καὶ ῥᾳστώνῃ μᾶλλον ἢ βίῃ θεραπεύῃ. Ὅτι δ' ἣν μὲν ἀρκέσῃ πρὸς τὸ ὀφθῆναι, ἐξαρκέσει καὶ πρὸς τὸ ἰαθῆναι. Ἣν δ' ἐν ᾧ τοῦτο ὁρᾶται, κρατηθῇ, διὰ τὸ βραδέως αὐτὸν ἐπὶ τὴν θεραπεύουσαν ἐλθεῖν, ἢ διὰ τὸ τοῦ νοσήματος τάχος, οἰχήσεται. Ἐξ ἴσου μὲν γὰρ ὁρμώμενον τῇ θεραπείῃ, οὐκ ἔστι θᾶσσον· προλαβὸν δὲ, θᾶσσον. Προλαμβάνει δὲ, διά τε τὴν τῶν σωμάτων στεγνότητα, ἐν ᾗ οὐκ ἐν εὐόπτῳ οἰκέουσιν αἱ νοῦσοι· διά τε τὴν τῶν καμνόντων ὀλιγωρίην. Ἐπιτίθενται γὰρ, λαμβανόμενοι δ' ὑπὸ τῶν νοσημάτων, ἐθέλουσι θεραπεύεσθαι. Ἐπεὶ τῆς γε τέχνης τὴν δύναμιν, ὁπόταν τινὰ τῶν τὰ ἄδηλα νοσεόντων ἀναστήσῃ, θαυμάζειν ἀξιώτερον, ἢ ὁπόταν ἐγχειρέῃ τοῖς ἀδυνάτοις.

Οὔκουν ἐν ἄλλῃ δημιουργίῃ τῶν ἤδη

εὑρη-

cauſas noſſe, & morbos ipſos omnibus medicamentis, quæ augeſcere morbum prohibent, curare poſſe. Quando igitur nec ex ægri relatu ad infallibilem certitudinem perueniri poteſt, aliò medico eſt reſpiciendum. Itaque huius tarditatis non ars ipſa, verùm corporis natura ipſa cauſa eſt.

Ars enim malum cognoſcens, mederi magnopere geſtit; id vnum ſtudens ac conſiderans, ne potiùs temeritate, quàm conſilio, & vt facilitate potiùs quàm vi medeatur. Medicus verò ſiquidem ſuffecerit ad cognoſcendum, ſuffecerit etiam ad ſanandum. Si verò is in quo morbus cognoſcitur (dum morbus inueſtigatur) vi morbi vincatur, vel hinc quòd ſeriùs medicum acceſſit, vel ob morbi celeritatem peribit. Si enim pari paſſu proceſſerit morbus cum curatione, velocior non eſt. Sin præoccupauerit, velocior eſt. Præoccupat verò tum propter corporum anguſtiam, in qua non in conſpicuo inhabitant morbi: tum propter ægrorum negligentiam. Cunctantur enim, atque cùm iam morbis inuoluti ſunt, tum demum curari volunt. Proinde artis potentiam multo iuſtiùs admirabimur, ſi quem ex abdito morbo ægrum reſtituat, quàm ſi deploratis opem ferre moliatur.

Nequaquam verò in vlla aliqua iam

 inuen-

ἀφηρημένην οὐδεμίῃ ἔνεστιν οὐδὲν τοιοῦτον. Ἀλλ' αἴτιον ὅσαι πυρὶ δημιουργέονται, τούτου μὴ παρεόντος ἀργοί εἰσι· μετὰ δὲ τούτου ἁφθεῖσαι ἐνεργοί. καὶ ὅσαι καὶ τοῖσι διεπανορθέουσι τοῖσι σώμασι δημιουργέονται, αἱ μὲν μετὰ ξύλων, αἱ δὲ μετὰ σκυτίων, αἱ δὲ γραφῇ, χαλκῷ τε καὶ σιδήρῳ, καὶ τοῖσι τούτων ὁμοίοισιν αἱ πλεῖσται. Τὰ δὲ ἐκ τούτων καὶ μετὰ τούτων δημιουργεύμενα, καὶ διεπανορθοῦνται, ὅμως οὐ τῷ τάχει μᾶλλον, ἢ τῷ ὡς δεῖ δημιουργεῖται, οὐδ' ὑπερβατῶς, ἀλλ' ἢν ἀπῇ τι τῶν ἐργανέων, ἐλλινύει. Καίτοι κἀκείνοις τὸ βραδὺ πρὸς τὸ λυσιτελέστερον ἀσύμφορον· ἀλλ' ὅμως προτιμᾶται.

Γινώσκει δὲ, τοῦτο τῶν ἐμπύων· τοῦτο δὲ, τὸ ἧπαρ, ἢ τοὺς νεφρούς· τοῦτο δὲ, τῶν ξυμπάντων ἐν τῇ νηδύϊ νοσεόντων, ἀποστερεομένη τῆς ὄψιος (τῇ πάντα πάντες ἱκανώτατα ὁρῶσιν) ὅμως ἄλλας εὐπορίας συνεργοὺς εὗρε. φωνῆς τε γὰρ λαμπρότητα καὶ βραδυτῆτα καὶ ῥεύματα ἃ διαῤῥεῖν εἴθισεν ἑκάστοισι, δι' ὧν ἔξοδοι δέδονται· ὧν τὰ μὲν, ὀσμῇσι, τὰ δὲ χροίῃσι, τὰ δὲ λεπτότητι καὶ παχύτητι διασταθμωμένη τεκμαίρεται· ὧν τε σημεῖα

inuentarum artium tale quid ineſt. Nam quæcumque ignis operâ ſuum opus faciunt, eo non præſente, ocioſæ ſunt: eundem verò nactæ, operoſæ euadunt. Similiter quæcumque in correctione, quæ debetur tractabili rerum materiæ, artem ſuam exercent, veluti aliæ in lignis, aliæ in coriis, aliæ in ſculpendo, ære, ferro, ſimilibúſque rebus aliis quamplurimæ. Opera verò quæ ex hac materia, & cum huiuſmodi inſtrumentis fiunt, etſi facilè corrigi poſſunt, non tamen celeritatem magis requirunt, quàm vt, ſicuti decet, tractentur, neutiquam perfunctoriè, cùm ſi vel vnum inſtrumentum deſit, opus intermittere cogantur. Etſi verò cunctatio & tarditas in hiſce interdum perfectioni operis nihil incommodat: laude tamen maiore digna eſt promptitudo & celeritas.

Iam verò medicina, aliis ægrotantibus ex empyemate, aliis ſecundum hepar, vel renes, aliis ſecundum omnes partes in ventre quæ ſunt, etſi (omnium horum) inſpectione ſenſata priuata ſit: (quod ipſum apud omnes in confeſſo eſt) alias tamen facultates coadiutrices adinuenit. (Puta) vocis claritatem & tarditatem, fluxiones item quæ peculiaribus partibus, per quas patet exitus, effundi ſolebant, quarum modò quaſdam odore, alias colore, quaſdam tenuitate ac craſſitie trutinando quaſi ſignis ſyllogiſticis

σημεῖα ταῦτα, ἅ τι πεπονθότων, ἅ τι παθεῖν δυναμένων. Ὅταν δὲ ταῦτα μηνύωνται, μὴ δι' αὐτὴ ἡ φύσις ἑκοῦσα ἀφίῃ, ἀνάγκας εὕρηκεν, ᾗσιν ἡ φύσις ἀζήμιος βιασθεῖσα μεθίησι· Ἀνεθεῖσα δὲ δηλοῖ τοῖσι τὰ τῆς τέχνης εἰδόσιν, ἃ ποιητέα.

Βιάζεται δὲ τοῦτο μὲν σὺν τὸ συμπεφραγμένον φλέγμα διαχεῖν, σιτίων δριμύτητι, καὶ πομάτων, ὅπως τεκμαρθῇ τι ὀφθὲν περὶ ἐκείνων, ὧν αὐτὴ ἐμηχάνατο ὀφθῆναι. Τοῦτο δ' αὖ πνεῦμα ὧν κατήγορον, ὁδοῖσί τε προσάντεσι, καὶ δρόμοις ἐκβιάζεται κατηγορέειν. Ἱδρῶτάς τε τούτοισι τοῖσι προειρημένοισιν ἄγουσα, ὑδάτων θερμῶν ἀποπνοίῃσι τεκμαίρεται.

Ἔστι δὲ ἃ καὶ διὰ τῆς κύστιος διελθόντα, ἱκανώτερα τὴν νοῦσον δηλῶσαί ἐστιν, ἢ διὰ τῆς σαρκὸς ἐξιόντα. Ἐξεύρηκεν οὖν καὶ τοιαῦτα πόματα καὶ βρώματα, ἃ τῶν θερμαινόντων θερμότερα γινόμενα, τήκει τε ἐκεῖνα, καὶ διαῤῥεῖν ποιέει· ἃ οὐκ ἂν διαῤῥύη, μὴ τοῦτο παθόντα. Ἕτερα μὲν οὖν πρὸς ἑτέρων, καὶ ἄλλα δι' ἄλλων ἐστὶ, τά τε διϊόντα, τά τ' ἐξαγγέλλοντα. ὥστ' οὐ θαυμάσιον αὐτῶν τάς τε πίστιας χρονιωτέρας γίνεσθαι,

τὰς

deprehendit: indéque colligit ſigna eorum quæ ægri iam patiuntur, tum quæ perpeti poterunt. Cùm autem hæc ſigna elucent, ſi natura vltrò non liberauerit, neceſſaria (remedia) natura inuenit, quibus coacta vel ſtimulata, citra noxam tamen, ad excluſionem ſe erigat: vel repreſſa & cohibita artis peritis demonſtrat quo facto opus ſit.

Cogitur autem congenitum nobis calidum, ciborum ac potuum acrimoniâ, pituitam diffundere, quaſi coniectura accepta à certo quodam ſigno, ex iis quæ natura conſpici voluit. Partim verò ſi anhelus ſpiritus index morbi fuerit, aſcenſu accliui tum curſibus eum accuſare ac prodere cogitur. Quin & ſudores per prædictas ciendos eſſe, ex vaporum calidorum expiratione certò colligit.

Sunt præterea & quæ per veſicam egreſſa magis morbum oſtendere poſſunt, quàm quæ per carnem egrediuntur. Inuenit itaque tales potiones & cibos, quibus, vtpote calidioribus, ea, quæ calorem febrilem in corpore fouent & eliquari, & ad effluxum cogi poſſint: quæ ſanè nunquam effluerent, ſi non hoc modo parata fuiſſent. Alia itaque ad alia, & alia per alia ſunt (vel prodeunt,) tum quæ corpus peruadunt, tum quæ indicant. Vt proinde non mirum ſit, & horum certam exploratámque ſcientiam, quæ fide digna, longi temporis eſſe, & exerci-

τὰς τ' ἐγχειρήσιας βραχυτέρας, ἔτι δὲ ἀλλοτρίων ἑρμηνειῶν πρὸς τὴν διαπτύξιος σιωπώσιν ἑρμηνευομένων.

Ὅτι μὲν οὖν καὶ λόγους ἐν ἑωυτῇ εὐπόρους εἰς τὰς ἐπικουρίας ἔχει ἡ ἰητρικὴ, καὶ οὐκ ἐνδιδοῦσα τοῖσι δικαίως ἐς αὐ ἐγχειρέειν τεχνιτεύουσιν, ἢ ἐγχειρευμένας ἀναμαρτήτους ἂν παρέχει, οἵ τε νῦν λεγόμενοι λόγοι δηλοῦσιν, αἵ τε τῶν εἰδότων τὴν τέχνην ἐπιδείξιες, ἃς ἐκ τῶν ἔργων ἥδιον, ἢ ἐκ τῶν λόγων ἐπιδεικνύουσιν· οὐ τὸ λέγειν καταμελετήσαντες, ἀλλὰ τὴν πίστιν τῷ πλήθει ἐξ ὧν ἂν ἴδωσιν οἰκειοτέρην ἡγεύμενοι, ἢ ἐξ ὧν ἀκούσωσι.

Τοῦ περὶ Τέχνης τέλος.

ercitationibus medicis multum temporis accidi, quandoquidem tam remotis atque externis probationibus ad medendi ſcientiam medici perueniunt.

Quòd itaque & rationes in ſeipſa ad remediandum copioſas habeat medicina, & morbos, qui corrigi nequeunt, meritò non aggrediatur, inculpatam verò ſeſe præbeat in iis quos aggreditur, id tum præcedens ſermo manifeſtum facit; tum artis peritorum demonſtrationes, quas multo libentius ipſo opere quàm verbis præſtant: Cùm in dicendo non æquè exercitati, interim eam fidem ſinceriorem putantes, quæ copia exemplorum oculis compertorum, quàm quæ ex auditarum rerum copia conſtat.

Finis Libri De Arte.

Digitized by Google

HIPPOCRATIS
COI
DE ELEGANTIA,

Græcè, & Latinè,

ex interpretatione

IOHANNIS HEVRNII

Vltraiectini.

Digitized by Google

ἹΠΠΟΚΡΆΤΟΥΣ

ΚΩ͂ΟΥ

ΠΕΡῚ ΕΥ̓ΣΧΗΜΟΣΎΝΗΣ.

Οὐκ ἀλόγως, οἱ προβαλλόμενοι τὴν σοφίην πρὸς πολλὰ εἰσὶ χρησίμην, ταύτην δὲ τὴν ἐν τῷ βίῳ. Αἱ γὰρ πολλαὶ, πρὸς περιεργίην φαίνονται γεγενημέναι. Λέγω δὲ αὐτέων, αἳ μηδὲν χρέος τῶν πρὸς ἃ διαλέγονται. Ληφθείη δ' ἂν τουτέων μέρεα ἐς ἐκεῖνα. Ἢ ὅτι ἐκ ἀργείην, οὐδὲ μὴν κακίην· τὸ γὰρ σχολάζον καὶ ἄπρηκτον, ζητεῖ ἐς κακίην καὶ ἀφέλκεται. Τὸ δ' ἐγρηγορὸς, καὶ περί τι τὴν διάνοιαν ἐντεταμένον, ἐφελκύσατό τι τῶν πρὸς καλλονὴν βίου τεινόντων ἑαυτῷ, τουτέων τὰς μηδὲν ἐς χρέος πιπτούσας διαλέξιας.

Χαριεστέρη γὰρ καὶ πρὸς τὸ περιγινομένη ἐς τέχνην πεποιημένη· τέχνην δὲ πρὸς εὐσχημοσύνην καὶ δόξαν. Πᾶσαι γὰρ αἱ μὴ μετ' αἰσχροκερδείης καὶ ἀσχημοσύνης, καλλίστη μέθοδός τις ἐοῦσα τεχνικὴ ἐργάζεται. Ἀλλ' εἴγε μὴ πρὸς ἀπάτην, δημοσιεύεται. Νέοι τε γὰρ αἰτίωνται ἐμπλέκονται· ἀκμάζοντες δὲ δι' ἀ-

HIPPOCRATIS COI DE ELEGANTIA.

NOn ſine ſumma ratione faciunt, qui eruditionem artésque aſſerunt multis rebus vtiles eſſe, eas videlicet quæ in communi vita verſantur. Plurimæ enim ad ambitioſam curioſitatem comparatæ eſſe videntur. Eas dico quæ nullam vtilitatem oſtendunt earum rerum de qua diſſerunt. Harum autem partes ad illas referri debent. An quòd vbi ceſſatio non eſt, neque improbitas erit? ocium enim & ignauia improbitatem quærunt, & ad eam abſtrahuntur. Vigilantia verò & rebus intenta mens, trahunt ad ſe quid eorum quæ ad vitæ honeſtatem pertinent, etiam ex inutilibus nihílque commodi adferentibus diſputatiónibus.

Venuſtior enim eruditiò etiam tunc apparet aliis, quando ad artem traducitur: ad artem, inquam, elegantiâ & gloriâ inſtructam. Cunctæ enim artes quæ non ſordido quæſtui inhiant, nec inelegantes ſunt, illæ methodo quadam arti accommodatâ conſtant & expoliuntur. Ni enim ars innoxiè exerceatur, proſcribitur. Adoleſcentes enim eos inuadunt, ac in eos irruunt: Iuuenes autem eos intuen-

 tuen-

δι' ἀνατροπίην, ἱδρῶτας τίθενται βλέποντες· πρεσβύται δὲ, διὰ πικρίην, νομοθεσίην τίθενται, ἀναίρεσιν ἐκ τῶν πολίων.

Καὶ γὰρ ἀγορὴν ἐργαζόμενοι οὗτοι, μετὰ βαναυσίης ἀπατέοντες, καὶ ἐν πόλεσιν ἀνακυκλέοντες οἱ αὐτοί. Ἴδοι δέ τις ἂν καὶ ἐπ' ἐσθῆτος, καὶ τῇσιν ἄλλῃσι περιγραφῇσι. Κἢν γὰρ ἔωσιν ὑπερηφανίως κεκοσμημένοι, πολὺ μᾶλλον φευκτέοι, καὶ μισητέοι τοῖσι θεωμένοισίν εἰσι. Τὴν δὲ ἐναντίην, χρειώδεες σκοπέειν, οἷς οὐ διδακτὴ κατασκευὴ, οὐδὲ περιεργίη. Ἐκ τε γὰρ *ἐπιβολῆς, καὶ τῆς ἐν ταύτῃ εὐσχημοσύνης καὶ ἀφελείης, οὐ πρὸς περιεργίην πεφυκυίης, ἀλλὰ μᾶλλον πρὸς εὐδοξίην, τό, τε σύννουν, καὶ τὸ ἐν νῷ πρὸς ἑωυτοὺς διακεῖσθαι, πρός τε τὴν πορείην.

Οἵ τε ἑκάστῳ σχήματι τοιοῦτοι, ἀδιάχυτοι, ἀπερίεργοι· πικροὶ πρὸς τὰς συναντήσιας· εὔθετοι πρὸς τὰς ἀποκρίσιας, χαλεποὶ πρὸς τὰς ἀντιπτώσιας· πρὸς τὰς ὁμοιότητας εὔστοχοι, καὶ ὁμιλητικοί· εὔκρατοι πρὸς ἅπαντας· πρὸς τὰς ἀναστάσιας σιγητικοί· πρὸς τὰς ἀποσιγήσιας ἐνθυμηματικοὶ καὶ καρτερικοί· πρὸς τὸν καιρὸν εὔθετοι, καὶ *ληματικοί· πρὸς τὰς τροφὰς εὔχρηστοι, καὶ αὐτάρκεες· ὑπομονητικοὶ πρὸς καιρὸν πρὸς *ὑπομονήν· πρὸς λόγους αἰνι-

tuentes ob eorum mutabilitatem, quam ſalſis iocis excipiunt, ſudoribus perfundunt: at ſenes, præ amarore decretum in eos ſtatuunt, vt ex vrbibus pellantur.

Hi enim ſunt qui fora venalitia ornant, garrulitate ſua decipientes, iidémque per vrbes circumuagantur. Agnouerit quis eos ex veſtitu, alióque, qui foris eſt, fraudulento habitu. Nam quanto cultiore ornatu exſplendeſcunt, tanto magis fugiendi ſunt, & ab intuentibus odio proſequendi. Qui verò cõtrario modo vitam inſtituunt, cum his verſari vtile eſt, quibus non eſt ſtudiosè affectatus cultus, nec ſuperflua curioſitas. Ex veſtitu enim cognoſces, eiuſdémque elegantia & frugalitate, non ad ſuperfluam curioſitatem comparata, ſed potiùs ad honeſtam exiſtimationem, tum eruditionis, tum virtutis, & ad peregrinationem.

Imò in quouis reliquæ vitæ cultu, hi minimè diffluentes ſunt, nec curioſi, difficiles ad obuiam itiones, placidi ad reſponſiones, graues erga reſiſtentes, ad ſui ſimiles ſolertes & familiares, ac affabiles, moderati erga cunctos, ad ſeditioſas contentiones taciturni, in reſpondendo acuti & tolerantes, in occaſione captanda & noſcenda prudentes, in victu frugales, & paucis contenti, patientes in occaſione expectanda, ad ſermones expediti,

αἰνοῦσι, καὶ τὸ ὑποδεχθὲν ἐκφέροντες, δι' ἐτίη χρεόμενοι, χάριτι διατιθέμενοι δόξῃ τῇ ἐκ τουτέων διεγχειριζόμενοι· ἐς ἀληθείην πρὸς τὸ ὑποδεχθὲν ἀποτηρματιζόμενοι.

Ἡγεμονικώτατον μὲν οὖν τουτέων ἁπάντων τῶν προειρημένων, ἡ φύσις. Καὶ γὰρ οἱ ἐντέχναισιν, ἢν προσῇ αὐτέοισί τι τοῦτο, διὰ πάντων τουτέων προσαπορεῦνται τῶν προειρημένων. Ἀδίδακτον γὰρ τὸ χρέος ἐὸν τὸ σοφίην καὶ ἐν τῇ τέχνῃ προσαθεμένην, διδαχθῆναι εἰς τὸ ἀρχὴν λαβεῖν. Ἡ δὲ φύσις καταῤῥέει καὶ κέχυται τῇ δὲ σοφίῃ, ἐς τὸ εἰδῆσαι τὰ ἀπ' αὐτέης τῆς φύσιος ποιεύμενα. Καὶ γὰρ ἐν ἀμφοτέροισι λόγοισι πολλοὶ κατατιθέντες, οὐδαμῇ συνὰμφοτέροισιν ἐχρήσαντο τοῖσι πρήγμασιν ἐς δεῖξιν.

Ἐπὴν οὖν τις αὐτέων ἐξετάζῃ τὰ πρὸς ἀληθείην τῶν ἐν ῥήσει τιθευμένων, οὐδαμῇ τὰ πρὸς φύσιν αὐτέοισι χωρήσει. Εὑρίσκονται γοῦν ἤτοι παραπλησίην ὁδὸν ἐκείνοισι πεπορευμένοι. Διόπερ ἀπογυμνεύμενοι, τῆς ἁπάσης ἀμφιέννυνται κακίην καὶ ἀτιμίην. Καλὸν γὰρ ἐκ τοῦ διδαχθέντος ἔργου λόγος. Πᾶν γὰρ τὸ ποιηθὲν τεχνικῶς, ἐκ λόγου ἀνηνέχθη. Τὸ δὲ ῥηθὲν τεχνικῶς, μὴ ποιηθὲν δὲ, μυθῶδες ἀτέχνου διαλεκτικὸν ἐγλυκάνθη. Τὸ γὰρ

εἰσαγ

dicti,nihil ſine demonſtratione proferentes,ſuauiloquentia vtentes, gratiis delibuti,pro gloria ex his orta contendentes dicendo, veritatis ſtudio veritatem certa ratione ſtabilitam,libenter admittentes.

Præcipuus autem dux cunctorum dictorum natura eſt. Nam ſi his,qui animum artibus applicant, hæc affuerit, omnia prædicta peruadere poterunt. Vſus enim (qui) doceri per ſe nequit in ſapientia & eidem adiuncta arte,docebitur(per naturam,) vt(artis)principium haberi queat. Quin etiam natura effluit & remiſcetur cum ſapientia, ad cognoſcendum ea quæ ab ipſa natura fabricata ſunt. Cùm (è contra) plurimi in ambabus his rationibus, eo ipſo vincantur & aberrent, quòd non vtrauis (ſed alterutra tantùm) vtentes, demonſtrationem facere ſunt aggreſſi..

Si enim quiſpiam ſolùm ſecundum orationis veritatem expendat aliquid, nequaquam naturæ veritas illi reſpondebit. Deprehenduntur itaque hi non conſimili via cum illis progredi. Quapropter veritate exuti,cunctam induunt improbitatem ac ignominiam. Pulchra enim ac decora eſt ex opere, quod quis vſu didicit, manans oratio. Quicquid enim artificioſè actum eſt, ex ratione profectum eſt. Quod verò artificioſè dictum eſt, at non ita factum, methodi ab arte alienæ ſymbolum exiſtit. Nam pu-

οἷσιδὴ μὲν, μὴ παρέασιν δὲ, ἀμαθίης καὶ ἀτεχνίης σημεῖόν ἐστιν. οὗτοι γὰρ, μάλιστα ἐν ἰητρικῇ, αἰτίην μὲν τοῖσι κεχρημένοισιν, ὄλεθρον δὲ τοῖσι χρεομένοισιν ἐπιφέρει. Καὶ γὰρ ἐὰν ἑωυτοὺς ἐν λόγοισι παρέξωσι, οἴονται εἰδέναι ἔργον τὸ ἐκ μαθήσιος, καθάπερ χρυσὸς φαῦλος ἐν πυρὶ κριθεὶς, τοιούτους αὐτοὺς ἀπέδειξε.

Καί τοι γε τοιαύτη ἡ πρόῤῥησις ἀπαραγόρευτον εἰς σύνεσιν ὁμολογέουσιν· ὡς ἔστιν ἰθὺ τὸ πέρας, ἐδήλωσε γνῶσις. Τῶν δ' ὁ χρόνος καὶ τὴν τέχνην διοδίαν κατέστησεν, ἢ τοῖσιν ἐς τὴν παραπλησίην οἶμον ἐμπίπτουσι τὰς ἀφορμὰς δήλους ἐποίησε.

Διὸ δεῖ ἀναλαμβάνοντα τουτέων τῶν προειρημένων ἕκαστα, μετάγειν τὴν σοφίην ἐς τὴν ἰητρικὴν, καὶ τὴν ἰητρικὴν ἐς τὴν σοφίην. Ἰητρὸς γὰρ φιλόσοφος, ἰσόθεος. Οὐ πολλὴ γὰρ διαφορὴ ἐπὶ τὰ ἕτερα. Καὶ γὰρ ἔνι τὰ πρὸς σοφίην ἐν ἰητρικῇ πάντα. Ἀφιλαργυρίη, ἐντροπὴ, ἐρυθρίησις, καταστολὴ, δόξα, κρίσις, ἡσυχίη, ἀπάντησις, καθαριότης, γνωμολογίη, εἴδησις τῶν πρὸς βίον χρηστῶν καὶ ἀναγκαίων καθαρσίων, ἀπεμπόλησις, ἀδεισιδαιμονίη, ὑπεροχὴ θεία.

Ἔχουσι γὰρ ἃ ἔχουσι πρὸς ἀκολασίην,

πρὸς

tare quidem;non autem facere,ignorantiæ & imperitiæ argumentum eſt. Opinio enim, maximè in medicina,in crimen vertitur his,qui ea vtuntur; in calamitatem verò his qui eius opera fruuntur. Nam cùm ob ſcientiam ſermonum vniuerſalium ſibi ipſis perſuadeant, ſeſe ipſum etiam artis opus ſingulare nouiſſe, non aliter ac aurum adulterinum ab igne examinatur, ita eorum ignorantia hac profeſſione arguitur.

Neque enim tale præceptum alicuius eſt vſus ad intelligentiam cognatæ naturæ: cùm quàm recta ſit ſcientia,ipſe finis aperiat. E contra, tempus aliorum artem facilem & peruiam facit,& aliis item in conſimilem viam incidentibus occaſiones manifeſtas exhibet.

Quare ſingula iam dicta reuocare oportet, & ſapientiam transferre ad medicinam, & medicinam viciſſim ad ſapientiam. Medicus enim philoſophus eſt deo ſimilis. Non enim magnum diſcrimen inter ipſas eſt. Etenim cuncta quibus ad ſapientiam opus eſt, medicinæ inſunt. Pecuniæ ſcilicet contemtus,turpitudinis fuga,erubeſcentia,modeſtia in veſte & habitu,auctoritas,iudicium, quies, obuiam itio,puritas, ſententiarum elocutio,cognitio luſtrationum ad vitam vtilium & neceſſariarum, fuga mercimoniorum, & ſuperſtitionis,dignitas diuina.

Habent enim quæcumque requiruntur

ad

πρὸς καταστολὴν, πρὸς ἀπληστίην, πρὸς ἐπιθυμίην, πρὸς ἀφαίρεσιν, πρὸς ἀναιδείην ἐνδεῖν. Αὕτη γὰρ ἡ γνῶσις τῶν προσεόντων, καὶ χρῆσις τῶν πρὸς φιλίην, καὶ ὡς καὶ ὁκοίως τὰ πρὸς τέκνα, πρὸς χρήματα. Ταύτῃ μὲν οὖν ἐπικοινωνίη σοφίης τις, ὅτι καὶ ταῦτα τὰ πλεῖστα ὁ ἰητρὸς ἔχει. Καὶ γὰρ μάλιστα ἡ περὶ θεῶν εἴδησις ἐν νόῳ αὐτῇ ἐμπλέκεται. Ἐν γὰρ τοῖσιν ἄλλοισι πάθεσι καὶ ἐν συμπτώμασιν εὑρίσκεται τὰ πολλὰ πρὸς θεῶν ἔντιμος ἐοῦσα ἡ ἰητρική. Οἱ δὲ ἰητροὶ θεοῖσι παρακεχωρήκασιν. Οὐ γὰρ ἔνι περισσὸν ἐν αὐτέῃ τὸ δυναστεῦον. Καὶ γὰρ οὗτοι πολλὰ μὲν μεταχειρίζονται, πολλὰ δὲ καὶ κατεργάζονται αὐτέοισι δι' ἑωυτέων. Ἃ δὲ καταπειθεῖ ἐκτεῖ νῦν ἡ ἰητρικὴ, ἐν πειθοῖ παρέξει.

Τίς γὰρ εἶδος τὸ ἐν σοφίῃ, ὧδε. Καὶ γὰρ αὐτέοισιν ἐκείνοισιν. Οὕτω δ' ἰσχύουσιν, ὁμολογέουσιν ὧδε τὰ περὶ σώματα παραγινόμενα, ἃ δὴ διὰ πάσης αὐτέης πεπόρηται, μετασχηματιζόμενα, ἢ μεταποιεύμενα· ἃ δὲ μετὰ χειρουργίης ἰώμενα· ἃ δὲ βοηθούμενα, θεραπευόμενα, ἢ διαιτώμενα. Τὸ δὲ κεφαλαιωδέστατον ἔστω, εἰς τὴν τουτέων εἴδησιν.

Ο'ὕτως

ad coërcendam intemperantiam, deceptionem ex ambitioſa & ſordida profesſione, inſatiabilitatem, concupiſcentiam, rapinas, ac impudentiam. Eius enim peculiaris cognitio eſt adeuntium, & vſus eorum quæ ad amicitiam pertinent, & quo modo erga liberos, ac diuitias ſe gerere oporteat. Quatenus itaque cum his ſocietatem habet medicina; ſapientia quædam eſt, nam & plurima horum medicus in ſe habet. Etenim ſcientia de diis penitus animo eius implexa eſt. Tum verò in cæteris affectibus & ſymptomatis medicina erga deos valdè reuerenter ſe gerere comperitur: tum verò medici Diis locum dant. Numen enim cuncta gubernans, in medicina minimè ocioſum eſſe animaduertunt, & in iis morbis quos ipſimet curare nituntur, & in iis quos vltro, abſque ſua opera ſuperari vident. Quotquot enim vincit medicina, hinc (deorum nim. ope) vincit.

Quin & medicinæ via ſecundum ſapientiam, (deorum munus eſt, & remediorum efficacia) ab iiſdem pendet? Verùm hoc alij non credunt, cùm in confesſo ſint ſenſúque percipiantur, ea quæ circa corpora fiunt, partim per omne remediorum genus, transformando, aut tranſmutando: Partim per chirurgiam auxiliando, partim remediando medicamentis, aut Diæta. Et tamen ſumma horũ eò redit, vt Deus eſſe cognoſcatur. His itaque

Οὕτως οὖν τοῖς τελείοις τῶν προειρημένων ἁπάντων, χρὴ τὸν ἰητρὸν ἔχειν τινὰ εὐτραπελίην παρακειμένην. Τὸ γὰρ αὐστηρὸν, δυσπρόσιτον καὶ τοῖσι ὑγιαίνουσι, καὶ τοῖσι νοσέουσι.

Τηρεῖν δὲ καὶ ἑωυτὸν ὅτι μάλιστα, μὴ πολλὰ φαίνοντα τῶν τοῦ σώματος μερέων, μὴ δὲ πολλὰ λεσχηνευόμενον τοῖσιν ἰδιώτῃσιν, ἀλλὰ τ' ἀναγκαῖα. Νομίζει γὰρ τοῦτο εἶναι βίην ἐς πρόσκλησιν θεραπείης. Ποιέειν δὲ πάντα μηδὲν περιέργως αὐτέων, μὴ δὲ μετὰ φαντασίης. Ἐσκέφθω δὲ ταῦτα πάντα, ὅκως ᾖ σοι προκατηρτισμένα εἰς τὴν ἐπιπορίην, ὡς δέοι. Εἰ δὲ μὴ, ἐπὶ τοῦ χρέους ἀπορέειν αἰεὶ δεῖ. Μελετᾶν δὲ χρὴ ἐν ἰητρικῇ ταῦτα, μετὰ πάσης καταστολῆς, περὶ ψηλαφίης, καὶ ἐγχρίσιος, καὶ ἐγκαταντλήσιος, πρὸς τὴν εὐρυθμίην τῶν χρέων.

Περὶ πλασμάτων, περὶ σπληνῶν, περὶ ἐπιδέσμων, περὶ τῆς ἐκ καταστάσιος, περὶ φαρμάκων, ἐς τραύματα, καὶ ὀφθαλμικὰ, καὶ τῶν τελείων τὰ πρὸς τὰ γένεα, ἵν' ᾖ σοι προκατηρτισμένα ὄργανά τε καὶ μηχαναὶ, καὶ σίδηρος ὁ ἑξῆς. Ἡ γὰρ ἐν τουτέοισιν ἀπορίη, ἀμηχανίη καὶ βλάβη ἐστίν. Ἔστω δέ σοι ἑτέρη παρέξοδος ἡ λιτοτέρη πρὸς τὰς ἐπιδημίας, ἡ διὰ χειρῶν. Ἡ δ' εὐχρηστάτη διὰ μεθόδων. Οὐ γὰρ οἷόν τε διέρχεσθαι

σθαι

itaque cunctis ita ſe habentibus quæ iam retulimus, oportet vt medicus comitatem quandam ſibi ſociam habeat. Auſteritas enim & ſanis & ægris inacceſſa eſt.

Maximè autem cauendum, ne in ipſo opere plurimas corporis partes oſtendat, neque cum idiotis plurimum fabuletur, præterquam quibus opus eſt. Alioqui vi (ignorantiæ) eò abripi videbitur, vt (hac loquacitate) patrocinetur (ſiniſtræ) ſuæ curationi. Quæcumque autem aget, nec perfunctoriè nimis, nec curioſè agat. Compara cuncta ſubſidia & organa, vt cùm opus fuerit parata tibi ſint in vſum. Sin minùs, cùm exiget vſus, inopia horum erit. Procurare autem oportet in medicina hæc omnia ſine elato aut arrogante habitu, vt quæ ſpectant ad frictionem, illitionem, irrigationem, cum manuum concinnitate.

Item linamenta vulſa, ſplenia, vincula, ea quæ pro membrorum in ſuam ſedem repoſitione requiruntur, medicamenta tum vulneraria, & ophthalmica, tum ea quæ ad ſingula genera pertinent, vt tibi parata ſint: ita organa & machinæ, & deniquè ferrum. Nam horum inopia & impedimento & damno eſt. Sit autem tibi alter apparatus ſimplicior & expeditior ad peregrinationes, & ad manus promptus. Expeditiſſimus autem per methodi rationem fabricatus. Neque enim fieri poteſt vt medicus omnia (præ-

παρὰ πάντα τὸν ἰητρόν. Ἔστω δέ σοι διαμεμνημένα τὰ φάρμακά τε καὶ δυνάμιες ἁπλαῖ, καὶ ἀναγεγραμμέναι (εἴπερ ἄρα ἐστὶν ἐν νόῳ καὶ τὰ περὶ νούσων ἰήσιος) καὶ οἱ τουτέων τρόποι, ὁσαχῶς, καὶ ὃν τρόπον περὶ ἑκάστων ἔχουσιν. Αὕτη γὰρ ἀρχὴ ἐν ἰητρικῇ, καὶ μέσα, καὶ τέλος. Προκατασκευάσθω δέ σοι καὶ μαλαγμάτων γένεα, πρὸς τὰς ἑκάστων χρήσιας· πόματα τμήσιες δυνάμενα, ἐξ ἀναγραφῆς ἐσκευασμένα πρὸς τὰ γένεα.

Προηυτρεπίσθω δὲ καὶ τὰ πρὸς φαρμακείην ἐς τὰς καθάρσιας, εἰλημμένα ἀπὸ τόπων τῶν καθηκόντων, ἐσκευασμένα εἰς ὃ δεῖ τρόπον, πρὸς τὰ γένεα, καὶ τὰ μεγέθεα, ἐς παλαίωσιν μεμηχανημένα· τὰ δὲ πρόσφατα ὑπὸ τὸν καιρόν· καὶ τ' ἄλλα κατὰ λόγον. Ἐπὴν δὲ ἐσίῃς πρὸς τὸν νοσέοντα, τουτέων σοι ἀπηρτισμένων, ἵνα μὴ ἀπορῇς, εὐθέτως ἔχων ἕκαστα πρὸς τὸ ποιησόμενον. Ἴσθι δὲ γινώσκων, ὃ χρὴ ποιέειν, πρὶν ἐσελθεῖν. Πολλὰ γὰρ οὐ δεῖ συλλογισμοῦ ἀλλὰ βοηθείης δεῖται τῶν πρηγμάτων. Προδιαστέλλεσθαι οὖν χρὴ τὸ ἐκβησόμενον ἐκ τῆς ἐμπειρίης. Ἔνδοξον γὰρ καὶ εὐμαθές. Ἐν δὲ τῇ εἰσόδῳ μεμνῆσθαι καὶ καθέδρης, καὶ καταστολῆς, περιστολῆς, ἀνακυριώσιος, βραχυλογίης, ἀταραξίης ποιησίης, προσεδρίης, ἐπιμελείης,

parando) percurrat. Sint itaque tibi pharmaca memoratu facilia: & ſimplicium facultates notæ tibi ſint,tum compoſitorum deſcriptorum vires (ſi modò tibi curæ eſt morborum curatio) & horum exempla, quotupliciter & quomodo in ſingulis ſe habeant. Hoc enim eſt in medicina initium,medium,& finis. Præparata etiam ſint tibi malagmatum genera,ad ſingulos vſus; Potiones etiam quæ incidendi vi valent, ex deſcriptione præparatæ iuxta genera.

In promptu etiam ſint quæ ad pharmaca purgantia ſpectant, petita ex locis congruis,& eo, quo decet, parata modo, iuxta genera & magnitudines,quò vetuſtatem ferre poſſint: recentia verò quantum occaſio admittit: cæteráq. iuxta eandem rationem. Ex his rectè præparatis hoc commodi aſſequeris, vt ad ægrotum ingreſſus, animo minimè fluctues, quum in promptu ſint ſingula,ad id,quod agendum eſt,accommodata. Antequam verò ægrum acceſſeris, quidnam agendum ſit tibi compertum ſit. Plurima enim non deliberatione prolixâ, ſed prompto auxilio egent. Itaque euentum,ex experientia cognitum,priùs aperire oportet. Eſt enim illud glorioſum, & ingenioſum. In acceſſu verò meminiſſe conuenit & ſeſſionis,& habitus demiſſi,amictus compoſiti,auctoritatis,breuiloquentiæ,vt nihil perturbatè agas: aſſeſſus,diligentiæ,con-

λείης, ἀντιλέξιος πρὸς τὰ ἀπαντώμενα, πρὸς τοὺς ὄχλους τοὺς ἐπιγινομένους εὐσταθέως τε ἐν ἑαυτῷ, πρὸς τοὺς θορύβους ἐπιπλήξιος, πρὸς τὰς ὑπουργίας ἑτοιμασίης.

Ἐπὶ τουτέοισι μέμνησο παρασκευῆς τε προότης. Εἰ δὲ μὴ, τὰ κατ' ἄλλα ἀδιάπτωτον, ἐξ ὧν παραγγέλλεται εἰς ἑτοιμασίην. Ἐσόδῳ χρέο πυκνῶς, ἐπισκέπτεο ἐπιμελέστερον, τοῖσιν ἀπατεουμένοισιν ἐπὶ τὰς μεταβολὰς ἀπαντῶν. ῥᾷον γὰρ εἴσῃ, ἅμα δὲ καὶ εὐμαρέστερος ἔσῃ. Ἄστατα γὰρ τὰ ἐν ὑγροῖσι· διὸ καὶ εὐμετάποιητα ὑπὸ φύσιος καὶ ὑπὸ τύχης. Ἀβλεπτηθέντα γὰρ τὰ κατὰ τὸν καιρὸν τῆς ὑπουργίης, ἔφθασεν ὁρμήσαντα καὶ ἀνῄροντα· οὐ γὰρ ἦν τὸ ἐπικουρῆσον. Πολλὰ γὰρ ἅμα, τὰ ποιέοντά τι χαλεπόν. Τὸ γὰρ καθ' ἓν καὶ ἐπακολουθητικὸν εὐθετώτερον καὶ ἐμπειρότερον. Ἐπιτηρεῖν δὲ δεῖ καὶ τὰς ἁμαρτίας τῶν καμνόντων, δι' ὧν πολλοὶ πολλάκις διεψεύσατο, ἐν τοῖσι προσάρμασι τῶν προσφερομένων. Ἐπεὶ τὰ μισητὰ πόματα λαμβάνοντες, ἢ φαρμακευόμενοι, ἢ θεραπευόμενοι, ἀπέθνησκον. Καὶ αὐτῶν μὲν οὐχ ὡς ὁμολογίην ἐτρέπετο τὸ ποιηθὲν, τὴν δὲ ἰητρῷ τὴν αἰτίην προσῆψαν.

Ἐσκέ-

tradiſtionis ad ea quæ occurrunt, ad tumultus ſuperuenientes conſtantiæ in teipſo, in turbis caſtigandis ſeueritatis; denique promptitudinis ad miniſteria.

Et inter hæc, ne immemor ſis primi apparatus. Alioqui etiamſi quàm maximè cætera citra errorem adminiſtrentur, quæ ad promptitudinem comparandam præcipiuntur, irrita tamen euadent cuncta. Ingreſſu ad ægrum crebrò vtitor, explora diligenter; peccatis ob morbi mutationes obortis occurre. Faciliùs enim cognoſces, ſimúlque promptior eris. Inſtabilia enim ſunt quæ in humidis conſiſtunt: hinc eſt quòd facilè à natura & fortuna mutentur. Neglecta enim ea quæ in ipſa occaſione adminiſtrare oportebat, impetu ſuo progreſſa, inter curandum ſæpe præoccupant & interimunt, cùm præſto non ſit medico auxilium. Multa enim conſpirant, quæ ſimul damnum inferunt. Verùm quòd ſingillatim ſecundum conſequentiam fit, illud & obſeruatu & curatu facilius eſt, ad experientiam quinetiam accommodatius. Obſeruare prætereà oportet ægrorum peccata, per quæ plurimi ſæpe decepti ſunt in aſſumendis his quæ exhibentur. Etenim exoſas potiones accipientes, aut purgationibus, aut alia curatione vſi, pereunt. Quod factum non ad ægrorum confeſſionem examinatur, ſed ſoli medico culpa imputatur.

Ἐσκέφθαι δὲ χρὴ καὶ τὰ περὶ ἀνακλί-
σιων. Ἃ μὲν αὐτέων πρὸς τὴν ὥρην, ἃ δὲ καὶ
πρὸς τὰ εἴδεα. Οἱ μὲν γὰρ αὐτέων ἐς θρόνους,
οἱ δ᾽ ἐς καταγείους καὶ σκοτεινοὺς τύπους. Τά-
τε ὑπὸ ψόφων, καὶ ὀσμῶν, μάλιστα δὲ * ἀπὸ
οἴνου (χειριστοτέρη γὰρ αὕτη) φυγεῖν δεῖ καὶ
μετατιθέναι. Πρήσσειν δὲ ἅπαντα ταῦτα
ἡσύχως, εὐσταλέως, μεθ᾽ ὑπουργίης, τὰ πολ-
λὰ τῷ νοσέοντι ὑποκρυπτόμενον· ἃ δὲ χρὴ,
παρακελευόμενον ἱλαρῶς καὶ εὐδιεινῶς· σφέ-
τερα δὲ ἀποτρεπόμενον, ἅμα μὲν ἐπιπλήσσο-
ντα μετὰ πικρίης καὶ ἐντάσιος, ἅμα δὲ πα-
ραμυθέεσθαι μετ᾽ ἐπιστροφῆς καὶ ὑποδέ-
ξιος, μηδὲν ὑποδεικνύοντα τῶν ἐσομένων ἢ
ἐνεστώτων αὐτέοισι. Πολλοὶ γὰρ δι᾽ αἰτίην
ταύτην ἐφ᾽ ἑκάτερα ἀπώσθησαν, διὰ τὴν
προῤῥησιν τὴν προειρημένην τῶν ἐνεστώτων, ἢ
ἐπεσομένων.

Τῶν δὲ μανθανόντων ἔξω τις ὁ ἐφεστὼς,
ὅκως τοῖσι παραγγέλμασιν οὐ πικρῶς χρή-
σηται, ποιέῃ δὲ ὑπουργίην τὸ προσταχθέν.
Ἐκλέγεσθαι δὲ ἀπ᾽ αὐτέων ἤδη τοὺς εἰς τὰ τῆς
τέχνης εἰλημμένους, προσδοῦναί τι τῶν ἐς τὸ
χρέος, ἢ ἀσφαλέως προσενεγκεῖν. Ὅκως
τε ἐν διαστήμασι μηδὲν λανθάνῃ σε. Ἐπι-
τροπὴν δὲ τοῖσιν ἰδιώτῃσι μηδέποτε διδοὺς
περὶ μηδενός· Εἰ δὲ μὴ, τὸ κακῶς πρηχθὲν
εἰς σὲ χωρήσει τοῦ ψόγου. Ἐπεὶ δὲ μήποτ᾽ ἀμ-
φιβό-

Animaduertere etiam oportet ea quæ ad decubitum ſpectant,& ſecundum anni tempus, & ſecundum genera. Quidam enim in altis, quidam in ſubterraneis & tenebroſis locis decumbunt. Peccata etiam quæ in ſtrepitu fiunt,& in odoribus, maximè vini,(qui omnium peſſimus eſt) fugere ac caſtigare oportet. Porrò cuncta hæc placidè, & expeditè à medico adminiſtranda; nimirùm vt iniuſſa actione pleraque ægrum celet; quæ verò oportet hilari & ſereno vultu iubeat: à propriis quinetiam cupiditatibus illum auertat, partim cum ſeueritate & vehementia increpando,partim cum conuerſione & ſuſceptione conſolando: non tamen vt quicquam eorum quæ euentura ſunt aut eorum quæ præſtò ſunt ipſi indicet. Plurimi enim ob hanc cauſam in vtramque partem abrepti ſunt, propter prædictionem ſcilicet præſentium aut imminentium.

Sit autem ex diſcipulis aliquis præſens,vt æger præſcriptis ſuauiter vtatur, & quod mandatum eſt euentum habeat. Deligere autem ex iis oportet,qui iam in arte progreſſum fecerunt, vt vel ea, quæ vtilia ſunt,ipſi addant, aut ſecurè cibum offerant. Neve interea,dum abes,quippiam te lateat. Idiotis ne vnquam quicquam curandum mandes. alioqui eius, quod malè factum eſt,culpa in te referetur. E diuerſo, ſi non ſit ambiguum,ex

φιλόπονος ἔχῃ, ἐξ ὧν τι μεθοδευθὲν χειρίσεται. καὶ οὐ σοὶ τὸ ψόγον περιάψει, καὶ τὸ λειφθὲν ἢ πρὸς τὸ γνόος ἔσαι. Προλέγειν οὖν ταῦτα πάντα ἐπὶ τῶν ποιευμένων, οἷς καὶ τὸ ἐπιγνῶναι πρόκειται.

Τουτέων οὖν ἐόντων, τῶν πρὸς εὐδοξίην καὶ εὐσχημοσύνην, τῶν ἐν τῇ σοφίῃ καὶ ἰητρικῇ, καὶ ἐν τῇσιν ἄλλῃσι τέχνῃσι· χρὴ τὸν ἰητρὸν διειληφότα τὰ μέρεα, περὶ ὧν εἰρήκαμεν, περιεννύμενοι πάντοτε τὴν ἑτέρην διατηρέοντα φυλάσσειν, καὶ παραδιδόντα ποιέεσθαι. Εὔκλεια γὰρ ἐόντα πᾶσιν ἀνθρώποισιν διαφυλάσσεται. Οἵτε δὲ αὐτέων ὁδεύσῃ τις, δοξασθῇ πρὸς γονέων καὶ τέκνων. Κἢν τινες αὐτέων μὴ πολλὰ γινώσκωσιν, ὑπ' αὐτέων, τῶν πρηγμάτων ἐς σύνεσιν καθίσταται.

Τέλος.

quibus nam id, quod rectâ tamen methodo tractatum eſt, proficiſcatur, (doce) & tu ab omni calumnia liber eris, & id quod ægro præter ſententiam euenerit, morbi ideæ aſcribetur. Proinde hæc cuncta prædicito in ipſo opere iis, quorum hæc nouiſſe intereſt.

Cùm itaque cuncta prædicta, ad famam & elegantiam, cùm in Sapientia, tum in Medicina, tum in quacumque alia arte faciant: oportet medicum mutuari partes eas quas diximus, & vbique (elegantiâ) amictum ſibi ipſi quidem eas conſeruando obſeruare, aliis verò communicando operari. Hæc enim (ob ſui ſplendorem) cùm inclyta ſint, à cunctis mortalibus coluntur. Et qui in his veſtigia ponunt, acceptam à maioribus gloriam poſteris tradunt. Et ſi quidam ipſorum non magna eruditione excellant, ipſarum tamen rerum aſſiduo vſu intelligentes fiunt.

Finis Libri de Elegantia.

[illegible]

Digitized by Google

HIPPOCRATIS
COI
IVSIVRANDVM,

Græcè, & Latinè,

ex interpretatione

IOHANNIS HEVRNII

Vltraiectini.

ἹΠΠΟΚΡΑ'ΤΟΥΣ ΚΩ'ΟΥ

ὍΡΚΟΣ.

Ὄμνυμι Ἀπόλλωνα ἰητρὸν, καὶ Ἀσκληπιὸν, καὶ Ὑγείαν, καὶ Πανάκειαν, καὶ θεοὺς πάντας καὶ πάσας, ἵστορας ποιεύμενος, ἐπιτελέα ποιήσειν, κατὰ δύναμιν καὶ κρίσιν ἐμὴν, ὅρκον τόνδε καὶ ξυγγραφὴν τήνδε.

Ἡγήσασθαι μὲν τὸν διδάξαντά με τὴν τέχνην ταύτην, ἴσα γενέτῃσιν ἐμοῖσιν, καὶ βίου κοινώσασθαι, καὶ χρεῶν χρηΐζοντι μετάδοσιν ποιήσασθαι· καὶ γένος τὸ ἐξ ἑαυτοῦ, ἀδελφοῖς ἴσον ἐπικρινέειν ἄρρεσι· καὶ διδάξειν τὴν τέχνην ταύτην, ἢν χρηΐζωσι μανθάνειν, ἄνευ μισθοῦ καὶ ξυγγραφῆς.

Παραγγελίης τε καὶ ἀκροήσιος, καὶ τῆς λοιπῆς ἁπάσης μαθήσιος μετάδοσιν ποιήσασθαι υἱοῖσί τε ἐμοῖσι, καὶ τοῖσι τοῦ ἐμὲ διδάξαντος, καὶ μαθηταῖσι συγγεγραμμένοις τε καὶ ὡρκισμένοις νόμῳ ἰητρικῷ, ἄλλῳ δὲ οὐδενί. Διαιτήμασί τε χρήσομαι ἐπ' ὠφελείῃ καμνόντων, κατὰ δύναμιν καὶ κρίσιν ἐμὴν, ἐπὶ δηλήσει δὲ καὶ ἀδικίῃ εἴρξειν. Οὐ δώσω δὲ οὐδὲ φάρμακον οὐδενὶ αἰτηθεὶς

θανά-

HIPPOCRATIS COI IVSIVRANDVM.

IVramento affirmo, teſte Apolline Medicorum præſide, & Aeſculapio, Hygea ac Panacea, deabus diiſque omnibus, me, quantum viribus & iudicio aſſequi poſſum, inuiolatum hoc iuſiurandum hancque ſtipulationem præſtaturum.

Sanctè itaque promitto, me loco parentum habiturum hunc, qui me hanc artem docuit, nutriciúmque me ei præſtiturum, & quibus eget benignè imperti-turum. Progeniem eius germanorum loco reputaturum. Et hanc artem ſi diſcere eius poſteri voluerint, ſine mercede & abſque ſtipulatione me illos docturum.

Præceptorum & narrationum, & reliquæ vniuerſæ artis benignè & fideliter participes facturum meos, & præceptoris mei liberos, imò & reliquos qui ſcripto ſtipulati fuere, ac ex lege medica iuſiurandum interpoſuere: alium præter hos nullum. Cæterùm in tractandis ægris, diætâ, quantum viribus & ingenio aſſequar, ex ægrórum commodo vtar: à veneno autem imbutâ, & ſanitati injuriâ illos arcebo. Nec vnquam, aut prece aut præmio victus, pharmacum calamitoſum

θανάσιμον, οὐδὲ ὑφηγήσομαι ξυμβουλίην τοιήνδε.

Ὁμοίως δὲ οὐδὲ γυναικὶ πεσσὸν φθόριον δώσω. Ἁγνῶς δὲ καὶ ὁσίως διατηρήσω βίον τὸν ἐμὸν καὶ τέχνην τὴν ἐμήν. Οὐ τεμέω δὲ οὐδὲ μὴν λιθιῶντας· ἐκχωρήσω δὲ ἐργάτῃσιν ἀνδράσι πρήξιος τῆσδε. Εἰς οἰκίας δὲ ὁκόσας ἂν ἐσίω, ἐσελεύσομαι ἐπ' ὠφελείῃ καμνόντων, ἐκτὸς ἐὼν πάσης ἀδικίης ἑκουσίης, καὶ * φθορίης τῆς τε ἄλλης, καὶ ἀφροδισίων ἔργων, ἐπί τε γυναικείων σωμάτων καὶ ἀνδρῴων, ἐλευθέρων τε καὶ δούλων.

Ἃ δ' ἂν ἐν θεραπείῃ ἢ ἴδω ἢ ἀκούσω, ἢ καὶ ἄνευ θεραπείης κατὰ βίον ἀνθρώπων, ἃ μὴ χρή ποτε ἐκλαλέεσθαι ἔξω, σιγήσομαι, ἄρρητα ἡγεύμενος εἶναι τὰ τοιαῦτα. Ὅρκον μὲν οὖν μοι τόνδε ἐπιτελέα ποιέοντι, καὶ μὴ ξυγχέοντι, εἴη ἐπαύρασθαι καὶ βίου καὶ τέχνης, δοξαζομένῳ παρὰ πᾶσιν ἀνθρώποισιν εἰς τὸν αἰεὶ χρόνον. Παραβαίνοντι δὲ καὶ ἐπιορκοῦντι, τἀναντία τουτέων.

Τέλος.

propinabo cuiquam, nec nefarij huius conſilij auctor ero vnquam.

Ita nuſquam ingrauidatæ mulieri peſſum abortiferum porrigam. Vitam artémque meam caſtè & ſanctè ducam. Nec vnquam ex calculo laborantes ipſe ſecabo: ſed his qui ſe totos huic operi dicarunt, hoc officium permittam. Quaſcumque ingrediar ædes, in his ægrorum commodis ſtudebo, ſtudioſéque vlla iniuria à me ne prudenter eueniat cauebo, & ab omni corruptelâ, cùm aliâ, tum maximè venereâ me continebo, ſiue corporibus fœmineis, maſculis, liberis aut ſeruilibus medicinam fecero.

Quæ autem inter curandum viſu aut auditu notauero, vel extra medendi artem in communi hominum vitâ percepero, quæ non decet enunciare, ſilentio inuoluam, & tanquam arcana illa æſtimabo. Itaque inuiolatâ integritate, ſanctè ſi hoc iuſiurandum præſtitero, nec fallo, eueniat mihi fœliciter vita & hæc ars, atque perpetuò gloria mea toto ſplendeat orbe. Sin periurus feſellero fidem, his votis aduerſa eueniant omnia.

Finis Iuriſiurandi.

X 2

Digitized by Google

HIPPOCRATIS
COI
LEX,
Græcè, & Latinè,

ex interpretatione

IOHANNIS HEVRNII

Vltraiectini.

x 3

ΙΠΠΟΚΡΑΤΟΥΣ ΚΩΟΥ

ΝΟΜΟΣ.

Η' Ἰητρικὴ τεχνέων μὲν πασέων ἐστὶν ἐπιφανεστάτη. Διὰ δὲ ἀμαθίην τῶν τε χρεωμένων αὐτῇ, καὶ τῶν εἰκῇ τοὺς τοιούσδε κρινόντων, πολὺ τι πασέων ἤδη τῶν τεχνέων ἀπολείπεται. Ἡ δὲ τῆς δὲ ἁμαρτάδος τὰ μάλιστά μοι δοκέει ἔχειν αἰτίην τοιήνδε. Πρόστιμον γὰρ ἰητρικῆς μούνης ἐν τῇσι πόλεσιν οὐδὲν ὥρισται, πλὴν ἀδοξίης. Αὕτη δὲ οὐ τιτρώσκει τοὺς ἐξ αὐτέης συγκειμένους· ὁμοιότατοι γὰρ εἰσὶν οἱ τοιοίδε, τοῖσι παρεισαγομένοισι προσώποισιν ἐν τῇσι τραγῳδίῃσιν. Ὡς γὰρ ἐκεῖνοι σχῆμα μὲν, καὶ στολὴν, καὶ πρόσωπον ὑποκριτοῦ ἔχουσιν, οὐκ εἰσὶ δὲ ὑποκριταί· οὕτω γὰρ οἱ ἰητροὶ φήμῃ μὲν πολλοὶ, ἔργῳ δὲ πάγχυ βαιοί. Χρὴ γὰρ καὶ ὅς τις μέλλει ἰητρικῆς ξύνεσιν ἀτρεκέως ἁρμόζεσθαι, τῶνδέ μιν ἐπήβολον γενέσθαι, φύσιος, διδασκαλίης, τόπου εὐφυέος, παιδομαθίης, φιλοπονίης, χρόνου. Πρῶτον μὲν οὖν πάντων δεῖ φύσιος· φύσιος γὰρ ἀντιπρησσούσης, κενεὰ πάντα.

Φύσιος

HIPPOCRATIS COI LEX.

MEdicina cunctarum artium eſt præcellentiſſima. Attamen tum ob inſcitiam eorum qui medicinam faciunt, tum (ob ignorantiam) eorum qui temerè hos (bonos eſſe medicos) iudicant, plerumque cæteris artibus poſtponitur. Cauſam verò huius erroris, talem maximè eſſe puto. Quòd ſoli Medicinæ nulla mulcta in Republica ſit conſtituta, quàm infamiæ. Verùm hæc minimè eos affligit, [cùm hæc eis adeò ſit familiaris,] vt ex eâ conflati ac facti eſſe videantur. Hi ſanè Medici ſimillimi ſunt perſonis quæ in tragœdiis introducuntur: vt enim hi ludiones figuram, ſtolam & faciem referunt eius cuius perſonam agunt, ipſi autem verè non ſunt illi: ita & Medici famâ ſunt quamplurimi, opere verò rariſſimi. Quicumque enim exactè velit Medicam ſcientiam ſibi iungere, is, horum ſubſidiorum neceſſario compos factus, hoc obtinere poterit, n. naturæ, doctrinæ, loci ſtudiis apti, inſtitutionis à puero, alacris diligentiæ, temporis. Omnium autem primùm natura opus eſt: Natura enim reluctante, irrita ſunt omnia.

 Natu-

φύσιος δὲ εἰς τὸ ἄριστον ὁδηγεύσης, διδασκαλίη τέχνης γίνεται. Ἣν μετὰ φροντίδος δεῖ περιποιήσασθαι, παιδομαθέα γενόμενον, ἐν τόπῳ, ὁκοῖος εὐφυὴς πρὸς μάθησιν ἔσται. Ἔτι δὲ φιλοπονίην προσενέγκασθαι εἰς χρόνον πουλὺν, ὅκως ἡ μάθησις ἐμφυσιωθεῖσα δεξιῶς τε καὶ εὐαλδέως τοὺς καρποὺς ἐξενέγκηται. Ὁκοίη γὰρ τῶν ἐν τῇ γῇ φυομένων θεωρίη, τοιήδε καὶ τῆς ἰητρικῆς ἡ μάθησις. Ἡ μὲν γὰρ φύσις ἡμέων, ὁκοῖον ἡ χώρη. Τὰ δὲ δόγματα τῶν διδασκόντων, ὁκοῖον τὰ σπέρματα. Ἡ δὲ παιδομαθίη, τὸ, καθ' ὥρην αὐτὰ πεσεῖν εἰς τὴν ἄρουραν. Ὁ δὲ τόπος ἐν ᾧ ἡ μάθησις, ὁκοῖον ἡ ἐκ τοῦ περιέχοντος ἠέρος τροφὴ γινομένη τοῖσι φυομένοισιν. Ἡ δὲ φιλοπονίη, ἐργασίη. Ὁ δὲ χρόνος ταῦτα ἐνισχύει πάντα, ὡς τραφῆναι τελέως.

Ταῦτα * ἂν εἰς τὴν ἰητρικὴν τέχνην ἐπεισενεγκαμένους, καὶ ἀτρεκέως αὐτῆς γνῶσιν λαβόντας, οὕτως ἀνὰ τὰς πόλιας φοιτέοντας, μὴ λόγῳ μοῦνον, ἀλλὰ καὶ ἔργῳ ἰητροὺς νομίζεσθαι. Ἡ δὲ ἀπειρίη, κακὸς θησαυρὸς καὶ κακὸν κειμήλιον τοῖσιν ἔχουσιν αὐτὴν, καὶ ὄναρ, καὶ ὕπαρ, εὐθυμίης τε καὶ εὐφροσύνης ἄμοιρος, δειλίης τε καὶ θρασύτητος τιθήνη. Δειλίη

μὲν

Natura verò ad optima viam affectante, artis perceptio euenit. Quam ipſam cum prudentia aſſequi oportet, ita vt inſtituatur à puero, idque in loco qui doctrinæ dicatus eſt. Præterea alacrem diligentiam ad hanc rem adferat, eámque diu præſtet, quò doctrina firmè radices agens ac quaſi ingenerata, fœliciter, & cum profectu, fructus benè maturos proferat. Qualis enim in terra naſcentium obſeruatio, talis etiam Medicinæ cognitio. Natura enim noſtra veluti ager eſt; dogmata verò docentium, veluti ſemina ſunt: inſtitutio à puero reſpondet opportuno tempori, quo ſemina terræ committi debent. Locus verò in quo docetur, eſt veluti nutricatus, quo plantæ fruuntur ex ambiente aëre. Studium autem, cultura eſt. Tempus tandem hæc cuncta firmat, quo perfectè enutriantur.

His ergo ad artem medicam allatis, & exactè cognitione eius comparata, atque ſic denique per vrbes ambulando, non verbis ſolùm, verùm & opere medicos cenſeri conuenit. Imperitia verò, malus theſaurus eſt & infelix opulentia his, qui eam poſſident, tum opinione ipſa, tum reuera conſiderantiæ ac lætitiæ expers, timiditatis ac temeritatis nutrix. Siquidem

μὲν γὰρ ἀδυναμίην σημαίνει· Θρασύτης δὲ ἀτεχνίην. Δύο γὰρ, ἐπιστήμη τε, καὶ δόξα. ὧν τὸ μὲν ἐπίστασθαι ποιέει, τὸ δὲ ἀγνοεῖν. Τὰ δὲ ἱερὰ ἐόντα πρήγματα, ἱεροῖσιν ἀνθρώποισι δείκνυται· βεβήλοισι δὲ οὐ θέμις, πρὶν ἢ τελεσθῶσιν ὀργίοισιν ἐπιστήμης.

Τέλος.

dem timiditas impotentiam ſignificat: temeritas verò artis ignorantiam arguit. Sunt etenim duo, ſcientia, & opinio; quorum illa ſcire facit, hæc verò ignorare. Cæterùm res ſacræ, ſacris hominibus aperiuntur: prophanis id fas non eſt, priuſquam ſcientiæ orgiis initientur.

Finis.

Digitized by Google

HIPPOCRATIS
COI
APHORISMI INTERIECTI
SEV
SECTIO OCTAVA
APHORISMORVM,

Græcè, & Latinè,

ex editione

ANT. MVSÆ BRASAVOLÆ:

Quorum priores ſex,
& alij ſeptem calci operis adiecti, in
quibuſdam editionibus Septimæ
ſectioni inſeruntur.

ἹΠΠΟΚΡΆΤΟΥΣ
ΚΩ͂ΟΥ
ἈΦΟΡΙΣΜΟΙ͂
ΠΑΡΕΜΒΕΒΛΗΜΈΝΟΙ

ΤΜΗ͂ΜΑ ὌΓΔΟΟΝ.

1 Ὁκόσοι ὑπὲρ τὰ τεσσαράκοντα ἔτεα φρενιτικοὶ γίνονται, οὐ πάνυ τι ὑγιάζονται· ἧσσον γὰρ κινδυνεύουσιν οἷσιν ἂν οἰκείη τῆς φύσιος καὶ τῆς ἡλικίης ἡ νοῦσος ᾖ.

2 Ὁκόσοισιν ἐν τῇσιν ἀρρωστίῃσιν οἱ ὀφθαλμοὶ κατὰ προαίρεσιν δακρύουσιν, ἀγαθόν· ὁκόσοισι δὲ ἄνευ προαιρέσιος, κακόν.

3 Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι τεταρταίοισιν ἐοῦσιν αἷμα ἐκ τῶν ῥινῶν ῥυῇ, πονηρόν.

4 Ἱδρῶτες ἐν τῇσι κρισίμοισιν ἡμέρῃσι γινόμενοι σφοδροὶ καὶ ταχέες, ἐπικίνδυνοι· οἱ ἀθρούμενοι ἐκ τοῦ μετώπου, ὥσπερ σταλαγμοὶ καὶ κρουνοί· καὶ ψυχροὶ σφόδρα καὶ πολλοί· ἀνάγκη γὰρ τὸν τοιοῦτον ἱδρῶτα πορεύεσθαι μετὰ βίης, καὶ πόνου ὑπερβολῆς, καὶ ἐκθλίψιος πολυχρονίου.

Ἐπὶ

HIPPOCRATIS COI APHORISMI INTERIECTI, SEV SECTIO OCTAVA.

QVi ſeniores annis quadraginta phrenitici fiunt, non admodum conualeſcunt: minùs enim periclitantur ij, quorum naturæ & ætati morbus fuerit familiaris. 1

Quibuſcunque oculi in morbis lacrymantur voluntariè, bonum: quibus verò ſine voluntate, malum. 2

Quibus in febribus quartanis ſanguis è naribus fluxerit, malum eſt. 3

Sudores in diebus iudicatoriis oborientes, vehementes, & veloces, periculoſi ſunt: & qui expelluntur ex fronte velut guttæ & aquæ ſcaturientes: & frigidi valdè ac multi; neceſſe eſt enim eiuſmodi ſudorem prodire cùm violentia, & laboris exceſſu, ac expreſſione diuturna. 4

5 Ἐπὶ χρονίῳ νοσήματι κοιλίης καταφορὴ, κακόν.

6 Ὁκόσα φάρμακα οὐκ ἰῆται, σίδηρος ἰῆται· ὅσα σίδηρος οὐκ ἰῆται, πῦρ ἰῆται· ὅσα δὲ πῦρ οὐκ ἰῆται, ταῦτα χρὴ νομίζειν ἀνίατα.

7 Φθίσιες μάλιστα γίγνονται δὲ ἀπὸ ὀκτωκαίδεκα ἐτῶν μέχρι τριήκοντα καὶ πέντε.

8 Τὰ δὲ κατὰ φύσιν γινόμενα. μετὰ φθίσιν, πάντα μὲν ἰσχυρὰ, τὰ δὲ καὶ θανατώδεα· οὐδέ περὶ δὲ, ἢν μὲν ἐν τῇ ὥρῃ νοσέῃ, αὐτὴ ἡ ὥρη ξυμμαχεῖ τῇ νούσῳ, οἷον καῦσος θέρεος, ὑδρωπικῷ χειμῶνι. ὑπερνικᾷ τὸ φυσικὸν, φοβερώτερον δὲ σπλήν.

9 Γλῶσσα μέλαινα καὶ αἱματώδης, εἴ τι τῶν τοιούτων σημείων ἄπεστι, μὴ σφόδρα κακόν· δηλοῖ γὰρ νοῦσον σμικροτέρην.

10 Ταῦτα μὲν οὖν ἐν πᾶσι πυρετοῖσιν ὀξέσι σημειοῦσθαι χρὴ, ὁπότε μέλλει ἀποθνήσκειν καὶ ὁπότε σωθήσεσθαι.

11 Ὄρχις δεξιὸς ψυχρὸς καὶ ἀνασπάδης, θανατῶδες.

12 Ὄνυχες μέλανες καὶ οἱ δάκτυλοι τῶν χειρῶν καὶ ποδῶν ψυχροὶ, συνεσταλμένοι ἢ καθειλυμένοι, ἐγγὺς τὸν θάνατον δηλοῦσιν.

13 Τὰ χείλεα πελιδνὰ, ἢ καὶ ἀπολελυμένα, καὶ ἐξεστραμμένα, καὶ ψυχρὰ, θανατώδεα.

Τὰ

Ex morbo diuturno, alui fluor, malum. 5

Quæcunque non ſanant medicamenta, ea ferrum ſanat: quæ ferrum non ſanat, ea ignis ſanat: quæ ignis non ſanat, ea incurabilia iudicare oportet. 6

Tabes iis maximè ætatibus fiunt quæ à decimo octauo ſunt vſque ad triceſimum quintum. 7

Quæ ſecundum naturam ad tabem vergunt, omnia quidem vehementia, quædam verò etiam letalia. Secundum autem erat, ſi eo tempore ægrotet, quo tempus ipſum morbo opem fert, quemadmodum febri ardenti æſtas, hydropico hyems. id enim quod eſt à natura victoriam obtinet, at ſpleni plus affert timoris. 8

Lingua nigra atque cruenta, cùm quid horum ſignorum abeſt, non admodum malum ſignum: morbum enim minorem ſignificat. 9

Hæc igitur in febribus acutis obſeruare oportet, vti noſcamus quando quis moriturus ſit, & quando euaſurus. 10

Teſtis dexter frigidus conuulſúsque, mortiferum eſt. 11

Vngues nigri, & digiti manuum ac pedum frigidi, contracti vel remiſſi, mortem proximam eſſe ſignificant. 12

Labra liuida, aut etiam reſoluta, & inuerſa, & frigida, mortifera. 13

14 Τὰ ὦτα ψυχρὰ, διαφανέα, συνεσταλμένα, θανατώδεα εἰσι.

15 Καὶ σκοτοδινιῶν, καὶ ἀποστρεφόμενος, καὶ ὕπνῳ καὶ καύματι πολλῷ κατεχόμενος, ἀνέλπιστος.

16 Καὶ λυσσάων ἀτρέμας, καὶ ἀγνοέων, καὶ μηδὲ ἀκούων, μηδὲ ξυνιεὶς, θανατῶδες.

17 Μέλλουσι ἀποθνήσκειν ταῦτα σαφέστερα γίγνεται, καὶ αἱ κοιλίαι ἐπαείρονται, καὶ φυσῶνται.

18 Ὅρος δὲ τοῦ θανάτου, ἐὰν τὸ τῆς ψυχῆς θερμὸν ἐπανέλθῃ ὑπὲρ τοῦ ὀμφαλοῦ, εἰς τὸν ἄνω τῶν φρενῶν τόπον, καὶ συγκαυθῇ τὸ ὑγρὸν ἅπαν. ἐπειδὰν ὁ πνεύμων καὶ ἡ καρδίη τὴν ἰκμάδα ἀποβάλλωσι τοῦ θερμοῦ ἀθρόου ὄντος ἐν τοῖς θανατώδεσιν τόποις, ἀποπνέει ἀθρόον τὸ πνεῦμα τοῦ θερμοῦ, ὅθεν συνέστη τὸ ὅλον εἰς τὸ ὅλον. πάλιν τὸ μὲν διὰ τῶν σαρκῶν, τὸ δὲ διὰ τῶν ἐν κεφαλῇ ἀναπνοέων, ὅθεν τὸ ζῆν καλοῦμεν, ἀπολείπουσα δ' ἡ ψυχὴ τὸ τοῦ σώματος σκῆνος, καὶ τὸ ψυχρὸν, καὶ τὸ θνητὸν εἴδωλον ἅμα καὶ χολῇ καὶ αἵματι καὶ φλέγματι καὶ σαρκὶ παρέδωκεν.

Τέλος.

Aures frigidæ, pellucidæ, contractæ, letales ſunt. 14

Et tenebricoſa vertigine laborans, & lucem auerſans, & ſomno ac ardore multo detentus, deſperatus eſt. 15

Et qui paulatim rabie agitari incipit, & non agnoſcit, neque audit, neque intelligit, exitio proximus eſt. 16

Morituris ſigna hæc multò fiunt manifeſta, & venter attollitur, atque inflatur. 17

Terminus verò mortis eſt, cùm animæ calor ſupra vmbilicum ad locum ſepto tranſuerſo ſuperiorem aſcendit, & omnis humor exuritur. Cùm autem pulmo & cor calore in mortiferis locis coaceruato humorem amiſerint, caloris ſpiritus confertim exhalat, cuius ope totum cum toto compactum erat. Præterea partim per carnes, partim per capitis ſpiracula, vnde viuere dicimus, relinquens anima corporis domicilium, frigidum & mortale ſimulacrum vnà cum bile, ſanguine, pituita, & carne deditione reddit. 18

FINIS.

62 Οἱ πυρετοὶ οἱ μὴ διαλείποντες, ἢν ἰσχυρότεροι διὰ τρίτης γίνωνται, ἐπικίνδυνοι· ὅτῳ δ᾽ ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι.

63 Ὁκόσοισι πυρετοὶ μακροὶ, τουτέοισιν ἢ φύματα, ἢ ἐς τὰ ἄρθρα πόνοι ἐγγίνονται.

64 Ὁκόσοισι φύματα μακρὰ, ἢ ἐς τὰ ἄρθρα πόνοι ἐκ πυρετῶν γίνονται, οὗτοι σιτίοισι πλείοσι χρέονται.

65 Ἤν τις τῷ πυρέσσοντι τροφὴν διδῷ, τῷ μὲν ὑγιαίνοντι ἰσχὺς, τῷ δὲ κάμνοντι νοῦσος.

---

68 Ὁκόσα αἱ κάτω ὠμὰ διαχωρέει, ὅτι χολῆς μελαίνης ἔνεστιν, ἢν πλείω, πλείων· ἢν ἐλάσσω, ἐλάσσων ἡ νοῦσος.

---

72 Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δὲ ἔσω καίηται, καὶ δίψαν ἔχῃ, θανάσιμον.

73 Ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος, ἢ ῥὶς, ἢ ὀφθαλμὸς, ἢ ὀφρὺς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ, ἤδη ἀσθενὴς ἐὼν, ὅ,τι ἂν τουτέων γένηται, θανάσιμον.

Τέλος.

Si febres non intermittentes tertio 62
quoque die vehementiores fiant, pericu-
loſæ: quoquo modo autem intermiſerint,
ſignificant ſe periculoſas non eſſe.

Quibus febres longæ, iis tubercula 63
aut in articulis dolores fiunt.

Quibus tubercula diutina, aut in arti- 64
culos dolores ex febre decumbunt, hi
pleniore cibo vtuntur.

Si quis febricitanti cibum dederit, va- 65
lenti quidem robur, ægrotanti verò mor-
bus fit.

Quæ cruda deorſum ſecedunt, ab atra 68
ſunt bile: ſi plura, maior: ſi pauciora, mi-
nor morbus eſt.

In febribus non intermittentibus, ſi 72
exteriora frigeant, interiora vrantur &
ſitiant, letale.

In febre non intermittente, ſi labrum, 73
aut naſus, aut oculus, aut ſupercilium
peruertatur, ſi non videat, ſi non audiat,
cùm iam debilis eſt, quicquid horum ac-
ciderit, letale.

Finis.

HIPPOCRATIS
COI
COACÆ PRÆNOTIONES,
Græcè, & Latinè,

ex editione

IOHANNIS OPSOPOEI,

Brettani.

ΙʹΠΠΟΚΡΑʹΤΟΥΣ
ΚΩʹΟΥ
ΚΩΑΚΑΙʹ ΠΡΟΓΝΩʹΣΕΙΣ.

Ι.

1 Οἱ ἐκ ῥίγεος περιψυχόμενοι, κεφαλαλγέες, τράχηλον ἐπωδυνώδεες, ἄφωνοι, ἐφιδροῦντες, ἐπανενέγκαντες, θνήσκουσιν.

2 Αἱ μετὰ καταψύξιος δυσφορίαι, κάκισται.

3 Κατάψυξις μετὰ σκληρυσμοῦ, ὀλέθριον.

4 Ἐκ καταψύξιος φόβος καὶ ἀθυμίη ἄλογος, ἐς σπασμὸν ἀποτελευτᾶ.

5 Αἱ ἐκ καταψύξιος οὔρων ἀπολήψιες, κάκιστον.

6 Μετὰ ῥίγεος ἄγνοια κακόν· κακὸν δὲ καὶ λήθη.

7 Τὰ κωματώδεα ῥίγεα ὀλέθρια· καὶ τὸ φλογῶδες ἐν προσώπῳ μεθ' ἱδρῶτος, ἐν τύποισι κακοήθες ἐπὶ τελέοισι ψύξις τῶν ὄπισθεν, σπασμὸν ἐπικαλέεται. καὶ ὅλως δὲ ψύξις τῶν ὄπισθεν, σπασμώδης.

8 Αἱ ἐκ νώτου φρῖκαι πυκναὶ, καὶ ὀξέως μεταπίπτουσαι, δύσφοροι· οὔρου γὰρ ἀπόλη-

ψιν

HIPPOCRATIS
COI
COACÆ PRÆNOTIONES.

CAPVT PRIMVM.

QVi ex rigore perfrigerantur, caput 1
ac collum dolentes, voce deſtituti, leuiter inſudantes, ſpiritu faucibus eliſo moriuntur.

Moleſtè ferre morbum cum refrigera- 2
tione, peſſimum eſt.

Refrigeratio cum duritia, pernicioſa 3
eſt.

Ex perfrigeratione timor & triſtitia 4
præter rationem, in conuulſionem deſinit.

Ex perfrigeratione vrinæ interceptæ, 5
peſſimum ſignum.

Ignoratio cum rigore, malum: malum 6
item obliuio.

Rigores cum ſopore aliquantum per- 7
nicioſi: & ardor faciei cum ſudore in his malignus eſt. Iiſdem accedens frigiditas poſteriorum partium, conuulſionem accerſit. Et in ſumma, poſteriorum partium frigiditas conuulſionem infert.

Ex dorſo horrores frequentes, & citò 8
tranſeuntes, difficiles ſunt: vrinæ enim interceptionem eámque laborioſam ſigni-

ψι καὶ ἐπώδυνοι σημαίνουσι, τὸ ἱδρῶσαι τούτοισι κάκιστον.

9 Ῥῖγος ἐν συνεχείῃ, τοῦ σώματος ἀσθενέος ἤδη ἐόντος, θανάσιμον.

10 Οἱ πυκνὰ ἱδρώοντες, καὶ ἐπιῤῥιγέοντες ὀλέθριοι, καὶ ἐπὶ τῇσι τελευτῇσιν ἀναφαίνονται ἐμπύημα ἔχοντες, καὶ κοιλίας ταραχώδεας.

11 Τὰ ἐν νότῳ ῥίγεα δυσφορώτερα. ὡς δ' αὖ ἑπτακαιδεκάτῃ ῥιγώσαις, τετάρτῃ, καὶ εἰκοστῇ ἐπιῤῥιγοῦν δύσκολον.

12 Οἱ φρικώδεις, κεφαλαλγικοί, ἱδρῶντες, κακοήθεις.

13 Οἱ φρικώδεις ἱδρώοντες πολλῷ, δύσκολοι.

14 Τὰ πολλὰ ἐνθερμώδεα ῥίγεα, κακοήθεα.

15 Οἷσιν ἐκλείπει ῥίγεα γίνεται, δύσκριτον.

16 Ὁκόσοισι φρῖκαι πυκναὶ ὑγιαίνουσι, ὕπνοι ἐξ αἵματος ῥύσιος ἐκπυΐσκονται.

17 Τὸ φρικῶδες καὶ τὸ δύσυπνον ἐν πᾶσι νόσοισι, σημεῖα σπασμώδεα.

18 Ἐξ ἐμπυήσιος πλεύμονος, καὶ κατὰ κοιλίην ἐνίοτε ἀλγήματα καὶ κλαυίδα, καὶ τὸ ὑπορίγεειν ἀσώδεα, σημαίνει πτυέλου πλῆθος ἐν τῷ πλεύμονι.

19 Οἱ φρικώδεες, ἀσώδεες, κοπιώδεες, ὀσφυαλγέες, κοιλίας καθυγραίνονται.

20 Τὰ ἐπιῤῥιγέοντα, ἐς νύκτα μᾶλλόν τι

πυρέ-

gnificant. leuiter inſudare his peſſimum eſt.

Rigor continuus corpore iam debili exiſtente, letalis eſt. 9

Qui frequenter exudant, ac ſubinde rigent, peſſimè habent: & ad extremum ſuppurationem habere compeŕiuntur; aluósque perturbatas. 10

Rigores ex dorſo moleſtiores ſunt. 11

Qui veró decimaſeptima die riguit, ſi quarta ac viceſima denuò rigeat, in periculo eſt.

Qui inhorreſcunt, capite dolent, & inſudant, malignè habent. 12

Qui inhorreſcunt, multúmque ſudant, difficili malo implicantur. 13

Rigores multi torpidi, maligni ſunt. 14

Quibus ſexta die rigores fiunt, ægrè morbus iudicatur. 15

Quibus ſanis horrores frequentes ſunt, hi ex ſanguinis fluxione ſuppurantur. 16

Horror & ſpirandi difficultas in doloribus, ſigna tabis ſunt. 17

Ex pulmonis ſuppuratione circa ventrem aliquando ac clauiculam dolores, & anxiè ſtertere, ſputi copiam in pulmone ſignificant. 18

Inhorreſcentes, anxij, delaſſati, lumbis dolentes, aluos liquidas habent. 19

Superuenientes rigores, qui noctu ali- 20

παροξυνόμενα, ἄγρυπνα, φλεγματώδεα, ἐν τοῖσιν ὕπνοισιν ἐστὶν ὅτε οὖρον ὑπὸ ἑωυτοὺς χαλῶντα, φλεβοτονώδεα ἐς σπασμὸν ἀποτελευτᾷ.

21 Τὰ ξυνεχέα ῥίγεα ἐν ὀξέσι, πονηρόν.

22 Αἱ ἐκ ῥίγεος μετὰ κεφαλαλγίης ἐκλύσιες, ὀλέθριον. τὰ αἱματώδεα οὖρα ἐν τούτοισι πονηρόν.

23 Ῥῖγος ὀπισθοτονῶδες κτείνει.

24 Τὰ φρικώδεα καὶ ἀνιδρώδεα χρονίμως, εἰ δὲ τὴν αὔριον φρίξαντα παραλόγως, μὴ ἀγρυπνέοντα, μηδέ τι παρανοούμενα, αἱμορραγήσειν οἴομαι.

25 Τὰ μετὰ ῥίγεος ἐπισχόμενα οὖρα, πονηρὰ καὶ σπασμώδεα, ἄλλως τε, καὶ προκαρωθέντι· ἐλπὶς δὲ ἐπὶ τούτοισι καὶ τὰ παρὰ τὰ ὦτα.

26 Τριταιοφυέα ῥίγεα, ἢν ἐν μέσῳ παροξυνόμενα, πυρετῷ ἀτάκτῳ, πάνυ κακοήθεα. τεταρταῖα δὲ παροξυνόμενα τοῦ σώματος πονηροῦ μετὰ ῥίγεος πυρετοῦ, ὀλέθριον.

27 Αἱ ἐκ ῥίγεος ἀφωνίαι, τρόμῳ λύονται· καὶ τοὺς ἐπιρριγέοντας τρομώδεα γινόμενα κρίνει.

28 Οἱ ἐκ ῥίγεος μετὰ κεφαλαλγίης ἐκλυόμενοι, σφαλεροί. τὸ αἱματῶδες οὖρον τουτέοισι κακόν.

29 Οἷσι ῥῖγος, οὔρου ἐπίστασις.

Σπασ-

quanto magis exacerbantur, cum vigiliis ac multo æſtu in ſomnis aliquando vrinam ſub ſe laxantes, & venas exagitantes, in conuulſionem deſinunt.

Continui rigores in acutis, praui ſunt. 21

Ex rigore cum capitis dolore exolutiones, pernicioſæ. Cruentæ in his vrinæ, prauæ. 22

Rigor poſteriores partes conuellens necat. 23

Qui inhorruit & exudauit iudicatoriè, poſtridie verò præter rationem horruit, nec vigilauit, nec concoxit, huic ſanguinem erupturum eſſe puto. 24

Vrinæ cum rigore ſuppreſſæ, malæ & conuulſionem nuntiant, tum aliàs, tum ſi quis priùs ſopore preſſus fuit: ſpes autem in his eſt abſceſſus ad aures fore. 25

Rigores tertio quoque die noui quid producentes, ſi in medio exacerbantur, febre ordinem non ſeruante, valdè maligni ſunt. Contrà verò qui exacerbantur, conuulſione accedente vnà cum rigore & febre, pernicioſi. 26

Vocis interceptiones ex rigore, ſoluuntur tremore: & ſubinde rigentes tremores ſuccedentes iudicant. 27

Qui ex rigore cum capitis dolore exoluuntur, in periculo ſunt. Cruenta vrina his mala eſt. 28

Quibus rigor, his vrinæ ſuppreſſio. 29

30 Σπασμὸς ἐν πυρετῷ, χειρῶν καὶ ποδῶν πόνοι, κακοήθεες· κακόηθες δὲ καὶ ἐκ μηροῦ ὁρμὴ ἀλγήματος. ἀλλ' οὐδὲ γουνάτων πόνος, κρέσσον· ἀτὰρ καὶ γαστροκνημιῶν πόνοι, κακοήθεες, καὶ γνώμης παράφοροι, ἄλλως τε, καὶ οὖρον ἢν ἐναιωρηθῇ.

31 Οἱ ἐξ ὑποχονδρίου ἀλγήματος πυρετοὶ, κακοήθεες· τὸ καρῶδες ἐπὶ τούτοισι, κάκιστον.

32 Οἱ μὴ διαλείποντες ἐφιδροῦντες πυκνὰ μετὰ ὑποχονδρίου ἐντάσεως, ὡς ἐπὶ τὸ πολὺ κακοήθεες· καὶ τὰ ἐς ἀκρώμιον καὶ κληῖδα στηρίζοντα ἀλγήματα, ἐν τούτοισι πονηρά.

33 Οἱ τεταρταιοφυέες ἀσώδεες πυρετοὶ, κακοήθεες.

34 Αἱ ἐν πυρετῷ ἀναυδίαι, κακόν.

35 Κοπιώδεες, ἀχλυώδεες, ἄγρυπνοι, κωματώδεες, ἐφιδροῦντες, αἰσθανόμενοι, κακόν.

36 Οἱ κοπιώδεες μετὰ φρίκης ἐφιδρώσαντες κρισίμως, αἰσθανθέντες ἐν ὀξεῖ, κακόν. ἄλλως τε, ἢν αἷμα ἐπιστάξωσι περὶ ταῦτα.

37 Ἰκτερώδεες κατακορέες θνήσκουσιν· λευκὸν διαχώρημα τούτοισι προδιέρχεται.

38 Οἱ τεταρταιοφυέες πλανώδεες, ἐς ἀρτίας μεταπεσόντες, δύσκολοι.

39 Οἱ ἐν κρισίμοισιν ἀλυσμοὶ ἀνιδροῦντες περίψυ.

Conuulſio in febre, manuum ac pedum dolores, maligni ſunt: malignus eſt & doloris impetus ex femore: neque genuum dolor bonus: ſed & ſurarum dolores maligni ſunt, mentemque emouent, tum aliis, tum ſi vrina nubeculas eleuatas habuerit. 30

Febres ex hypochondriorum dolore malignæ ſunt: ſopor his accedens peſſimus eſt. 31

Qui febre non quieſcente crebrò inſudant cum hypochondrii tenſione, plerunque malignè habent: & dolores in ſummum humerum ac clauiculam firmiter infixi, in his praui ſunt. 32

Febres tertio die pullulantes cum inquietatione, malignæ ſunt. 33

Sermonis priuatio in febre, mala. 34

Delaſſati, caligantes, vigilantes, in ſoporem propenſi, exudantes, recaleſcentes, malè habent. 35

Laſſati cum horrore ſi exudarint iudicatoriè, recalfacti celeriter malè habent: tum aliàs, tum ſi eo tempore ſanguis de naribus ſtillarit. 36

Regio morbo admodum fœdati moriuntur: alba deiectio in his præcedit. 37

Febres tertio die pullulantes & erroneæ, ſi in pares dies incidant, difficiles. 38

Qui in diebus iudicatoriis inquieti ſi- 39

περιψυχόμενοι, καὶ ἀπνῶντες δὲ οἱ αὐτοὶ ἱδρῶτος περιψυχόμενοι ἀκρίτως, κακόν.

40 Καὶ οἱ ἐπιῤῥιγώσαντες ἐκ τούτων, ἐμέσαντες ἄκρητα, ἀσώδεες, τρομώδεες ἐν πυρετῷ, κακόν. καὶ φωνὴ δὲ ἐκ ῥίγεος.

41 Τὰ δὲ ἐκ ῥιγέων μικροῖσιν ἱδρῶσι περιψύχοντα, κακόν.

42 Οἱ ἐφιδροῦντες, ἄγρυπνοι, ἀναθυμιαινόμενοι, κακόν.

43 Οἱ ἐφιδροῦντες ἐν πυρετῷ, κακοήθεες.

44 Οἷσι χολώδεος διαχωρήσιος ἐούσης, περὶ στῆθος δῆξις καὶ πικρότης, κακόν.

45 Ἐν πυρετοῖσι κοιλίης ἐμφυσωμένης, πνεῦμα μὴ διεκπῖπτον, κακόν.

46 Κοπιώδεες, λυγγώδεες, κάτοχοι, κακοί.

47 Ἐν νάτῳ πονινῆσι καὶ λείπῃσι φρίκησιν ἐφιδροῦντες, δύσφοροι. οὔρου ἀπόληψις ἐπώδυνον σημαίνει· τὸ ἐφιδροῦν τούτοισι, κακόν.

48 Τὸ παρὰ τὸ ἔθος ποιέειν τι, ἢ προθυμέεσθαί τι, περίεργον μὴ εἰθισμένον, ἢ τουναντίον, πονηρὸν, καὶ πλησίον παρακοπῆς.

49 Τὰ ἐν πονηροῖσι σημείοισι κουφίζοντα, καὶ τὰ ἐν χρηστοῖσι μὴ ἐνδιδόντα, δύσκολα.

50 Οἱ ἐφιδροῦντες καὶ μάλιστα κεφαλὴν ἐν ὀξέσι ὑποδύσφοροι, κακὸν, ἄλλως τε καὶ ἐπ' οὔρο-

ne ſudore perfrigerantur, imò verò omnes qui ſine ſudore perfrigerantur citra iudicium, malè habent.

40 Et qui inſuper riguerunt ex his, vbi vomuerunt meraca, anxij, tremuli in febre, in malo ſunt: & vox à rigore.

41 Poſt rigores exiguis ſudoribus refrigeſcere, malum.

42 Exudantes, vigilantes, recaleſcentes, malo ſunt loco.

43 Qui leuiter exudant in febre, malignè habent.

44 Quibus in biliofa deiectione circa pectus morſus & amaritudo, malum eſt.

45 In febribus inflata aluo ſpiritum non erumpere, malum.

46 Laſſati, ſingultientes, ſtupore detenti, mali.

47 In dorſi horroribus crebris ac tenuibus inſudantes, ægrè ferunt. Vrina intercepta dolorem ſignificat: ſi ſudor accedat, malum.

48 Præter conſuetudinem quid facere, velut eſt ſuſcipere aliquid priùs non conſuetum, aut contrarium, malum eſt, & dementiæ proximum.

49 Qui morbi in malis ſignis leuantur, & qui in bonis non remittunt, difficiles ſunt.

50 Qui leuiter inſudant & maximè circa caput in morbis acutis, ſubmoleſtè ferentes, in malo ſunt, tum aliàs, tum ſi vrinæ

ſint

ἐπ' ἔσχισι μέλασι· καὶ τὸ ὑπόλευρον ὅπη τούτοισι προνεῦμα, κακόν.

51 Ἄκρεα ταχὺ ἐπ' ἀμφότερα μεταπίπτοντα, καὶ δίψα δὲ τοιαύτη, πονηρόν.

52 Ἐκ κοσμίου θρασεῖη ἀπόκρισις, φαυλὴ ὀξείη· κακόν. ὑποχόνδρια τουτέοισιν εἴσω εἰρύαται.

53 Τὰ ἐκ καταψύξιος ἱδρώδεος ταχὺ ἀναθερμαινόμενα, κακόν.

54 Οἱ ἐν ὀξέσιν ἐφιδροῦντες ὑπεδύσφοροι, κακόν.

55 Οἱ παραλόγως, κενεαγγείης μὴ ἐούσης, ἀδυνάτοι, κακόν.

56 Ἐν πυρετῷ ἕλξις δὲ ἀπὸ ἐμέτου, ἐς αἱμάχεσιν ψῖν τελευτῶσα, κακόν.

57 Νάρκη ἐς ἀμφότερα ταχὺ μεταπίπτουσα, κακόν.

58 Στάξιες αἱ ἐλάχισται, κακαί.

59 Κακὸν δὲ πάντως ἐν ὀξεῖ δίψα παραλόγως λυθεῖσα.

60 Οἱ περὶ χεῖρα ἀναΐσσοντες, κακοί.

61 Οἷσιν ἅμα πυρετῷ καυσώδει οἰδήματα ἀνώδεα νεναθρωμένα, ἐς πλευρὸν ὀδύνη ἐπελθοῦσα παραπληκτικῶς κλείνει.

62 Πνιγμὸς ἐν ὀξέσιν ἐλθοῦσιν ἰσχνοῖσιν, ὀλέθριον.

63 Ἐπὶ τοῖσιν ἤδη ὀλεθρίοισι τὰ σμικρὰ προφάσεα, καὶ ἰώδης ἔμετος.

Οἱ ἐν

ſint nigræ: & turbidus ſpiritus in his, malus.

Extremæ corporis partes ſi in vtranque partem citò tranſmutentur, & verò ſitis ſit huiuſmodi, malo loco res eſt. 51

Modeſti hominis ferox reſponſio, atque vox acuta, malum omen. hypochondria his intrò tracta ſunt. 52

Qui ex perfrigeratione ſudorem afferente citò recaleſcunt, in malo ſunt. 53

Qui in acutis leuiter exudant ſubmoleſtè ferentes, malè habent. 54

Qui præter rationem, non ex vaſorum euacuatione, imbecilli fiunt, malo ſunt loco. 55

In febre tractus velut à vomitu, in ſcreatum deſinens, malus. 56

Torpor in vtranque partem citò tranſiens, malus. 57

Sanguinis ſtillæ puſillæ, malæ. 58

In acuto morbo ſitis præter rationem ſedata, omnino mala. 59

Qui ad manum exiliunt, malè habent. 60

Quibus vnà cum febre ardente tumores ſomnolentiae torpidi fiunt, his dolor in latus perueniens reſolutionis modo occidit. 61

Suffocatio in acutis ægris attenuatis, perniciosa. 62

In iis qui iam morti ſunt propinqui pazui tremores, & vomitus æruginoſus. 63

Qui

64 Οἱ ἐν τοῖσι ποτοῖσιν ὑποψοφέοντες, καὶ ὑποβορβορύζοντες ἕδρῃσι, καὶ οἱ χαλεπῶς καταβροχθίζοντες συνδήματι βηχώδει, ὀλέθριοι ἐν ὀξέσι κατεψυγμένοισι.

65 Τὰ ἐν χερσὶ καὶ ποσὶν ἐρυθήματα, ὀλέθρια.

66 Οἱ ἐκφυσῶντες καὶ ἀνακεκλασμένοι ἐν τοῖσιν ὕπνοισιν ὑποβλέποντες, ἰκτερώδεες κατακορέες θνήσκουσι· λευκὸν διαχώρημα τούτοισι προέρχεται.

67 Αἱ ἐν πυρετοῖσιν ἐκστάσιες σιγῶσαι, μὴ ἀφώνῳ, ὀλέθριαι.

68 Τὰ περιοδικὰ γινόμενα ἐν πυρετῷ σύμπτωμον θάνατόν τι σημαίνει.

69 Οἷσιν ἐν πυρετῷ ἀλγήματος πλευρῶν γινομένου, κοιλίης ὕδατι χολώδεα πολλὰ διαδιδούσης, ῥηΐζει. ἀσιτίαι δὲ παρακολουθοῦσι καὶ ἱδρῶτες μετὰ προσώπου δυσχροίης, καὶ κοιλίης ὑγρῆς, καί τι καὶ καρδιαλγίας, ἤτοι μακρότερος νοσήσει τις, ἢ περιπλευμονικῶς τελευτῶσι.

70 Πυρέσσοντι ἐν ἀρχῇ μέλαινα χολὴ ἄνω ἢ κάτω διελθοῦσα, θανάσιμον.

71 Οἱ μετὰ καταψύξιος ἐκ ἀπύρετοι ἱδροῦντες αὐτοὶ δύσφοροι, φρενιτικοί τε καὶ ὀλέθριοι ἐν ὀξεῖ.

72 Τὰ ἐπ' ὀλίγον ὀξέα ἀλγήματα ἐς κληΐδα καὶ τὰ ἄνω σκήπτοντα, ὀλέθρια.

Ἐν μα-

Qui inter potandum paulum ſtrepunt, 64
& ſubmurmurant in ſiccis, & qui diſſi cul-
ter deglutiunt ſpiritu tuſſiculoſo, perni-
cioſè habent in acutis perfrigeratis.

Rubores in manibus ac pedibus, le- 65
thales.

Exufflantes & refracti, in ſomnis leui- 66
ter ſuſpicientes, morbo regio admodum
fœdati moriuntur: albá deiectio in his
præcedit.

In febribus mentis emotiones tacitur- 67
næ, ægro voce non priuato, pernicioſæ.

Liuida quæ fiunt in febre, in propin- 68
quo mortem eſſe ſignificant.

Quibus in febre, dolore lateris acce- 69
dente, aluus multa aquoſa bile miſta de-
iicit, hi alleuantur. Quibus verò inediæ
accedunt ac ſudores, cum bono faciei co-
lore, & aluo liquida, ac aliquo cordis ſeu
ſtomachi dolore; hi vbi longiùs ægrota-
runt, peripneumonicorum modo mo-
riuntur.

Febrienti ſi atra bilis in principio ſu- 70
prà vel infrà prodierit, letale.

Qui cum perfrigerationibus, non ſine 71
febre, ſupernè exudant, moleſtè ferentes,
phrenitici fiunt, & in acutomorbo perni-
cioſè habent.

Dolores modicè acuti, ad clauiculam 72
ac ſuperiores partes tranſeuntes, perni-
cioſi.

73 Ἐν μακροῖσιν ὀλεθρίοισιν, ἕδρης ἄλγημα θανάσιμον.

74 Τοῖσιν ἀσθενέως ἤδη διακειμένοισι, μὴ βλέπειν, ἢ μὴ ἀκούειν, ἢ διαστρέφεσθαι χεῖλος, ἢ ὀφθαλμὸν, ἢ ῥῖνα, θανάσιμον.

75 Ἐν πυρετοῖσι βουβῶνος ἄλγημα νοῦσον χρονίην σημαίνει.

76 Αἱ ἐν πυρετοῖσιν ἀκρισίαι, χρόνους μὲν ἐμποιέουσιν, ἀτὰρ οὐχὶ ὀλέθριαι.

77 Οἱ ἐξ ἀλγημάτων ἰσχυρῶν πυρετοὶ, πολυχρόνιοι.

II.

1 Αἱ ξομώδεες, ψηλαφώδεες παρακρούσιες, φρενιτικαί. καὶ οἱ κατὰ γαστέρα σκηνημάτων αὐτόθι, ἐν τούτοισι γνώμης παραφορῇσι.

2 Ὅσοι ἐν ξυνοχῇ ἄφωνοι κείμενοι μύσαντες σκαρδαμύσσουσιν, ἢν αἷμά τις ῥυέντος ἐκ ῥινῶν ἐμέσῃ τις φθέγξονται, καὶ ἀφ' αὐτοῖσι γίνονται, σώζονται· μὴ γινομένων δὲ τούτων, δύσπνοοι γινόμενοι θνήσκουσι συντόμως.

3 Οἱ λαβόντες, ἐς τὴν αὔριον παροξυνθέντες, κακόν.

4 Τρίτην ἐπιεικέντες, τετάρτην παροξυνθέντες, κακόν. ἆρά γε καὶ φρενιτικοὶ οἱ τοιοῦτοι παροξυσμοί;

Ὁκό-

In longis & pernicioſis morbis, ſedis dolor letalis. 73

Si qui viribus iam debilitatis non videant, aut non audiant, aut labium, aut oculus, aut naſus ipſis diſtorqueatur, letale eſt. 74

In febribus inguinis dolor morbum diuturnum ſignificat. 75

In febribus iudicationes impeditæ vel ſublatæ, tempus quidem protrahunt, ſed non ſunt letales. 76

Febres ex doloribus acribus, diuturnæ. 77

CAPVT SECVNDVM.

Mentis emotiones tremulæ, palpitantes, phreniticæ ſunt. & dolores circa ſuram in his mentem alienant. 1

Quicunque in febre continua muti iacentes, oculis conniuentes nictant, hi ſi poſt ſanguinis è naribus profluuium & vomitum loquantur, & ad ſeipſos redeant, ſeruantur: ſi verò hæc non fiant, difficulter ſpirantes breui moriuntur. 2

Acceſſione febris capti, ſi poſtridie exacerbentur, malum eſt. 3

Quibus febres tertia die ſe remittentes, quarta exacerbantur, malè habent. num & tales exacerbationes phreniticæ ſunt? 4

5 Ὁκόσοισιν ἐκλείπουσιν οἱ πυρετοὶ μὴ μετὰ κρισίμων, ὑποστροφικόν.

6 Οἱ ἐν ἀρχῇ λεπτοὶ μετὰ κεφαλαλγίης σφυγμοὶ καὶ οὖρα λεπτὰ πρὸς κρίσιν παροξυνόμενοι, θαῦμα δὲ οὐδὲν εἰ καὶ παρακόπτοι καὶ ἐν ἀγρυπνίῃ γίνοιτο.

7 Ἐν ὀξέσι κίνησις, ῥιπτασμός, ὕπνος ταραχώδης, σπασμὸν ἐνίοισι σημαίνει.

8 Αἱ θορυβώδεες θρασύτητι ἐγέρσιες παράφοροι, πονηρὸν, καὶ σπασμώδεες, ἄλλως τε καὶ μεθ' ἱδρώτων, σπασμώδεες δὲ καὶ τραχήλου καὶ μεταφρένου δοκέουσι ψύξιες, ἀτὰρ καὶ ὅλου τοῦ σώματος. ἐν τουτέοισιν ὑδρώδεες οὐρήσιες.

9 Αἱ ἐν κώματι παρακρούσιες, σπασμώδεες.

10 Αἱ ἐπ' ὀλίγον θρασεῖαι παρακρούσιες, θηριώδεες· καὶ σπασμὸς δὲ προσημαίνουσιν.

11 Ἐν τοῖσι μακροῖσι κοιλίης ἄλογοι ἐπάρσιες, σπασμώδεες.

12 Τὰ οὐθὲν ταραχώδεα, ἄγρυπνα, ἐπιστάζοντα ἐκ ῥινῶν, ἑκταῖα κουφισθέντα νύκτα, πονήσαντα δὲ ἐς τὴν αὔριον, ἐφιδρώσαντα, κατεψυχθέντα, παρακρούσαντα, αἱμορροεῖ λαύρως, καὶ λύει τὰ πάθεα. τὸ ὑδατῶδες οὖρον τοιαῦτα σημαίνει.

13 Μετὰ τὴν εἰρημένην, τὴν ἐξισταμένην,

μὴ ἀγ-

Quibuſcunque deſinunt febres, non in diebus iudicatoriis, his recidiuæ fiunt. 5

Qui in principio tenues, cum capitis pulſu, & vrina tenui, ad iudicationem exacerbantur, nihil mirum eſt, ſi & mentis emotio inſuperque vigiliæ accedant. 6

In morbis acutis motus, iactatio, ſomnus turbulentus, quibusdam conuulſionem ſignificat. 7

Turbulentæ cum ferocia excitationes mentem emouentes, malæ ſunt, & conuulſionem prænuntiant, tum aliàs, tum cum ſudoribus. Sed & conuulſionis ſigna videntur colli ac dorſi perfrigerationes, imò etiam totius corporis: in his vrinæ membranaceæ minguntur. 8

Deliria cum ſopore, conuulſionem afferunt. 9

Deliria paulatim ferocientia, ferina fiunt: ſed & conuulſiones ſignificant. 10

In morbis longis, ventris præter rationem tumores, conuulſionem accerſunt. 11

Aegri qui ſtatim turbulenti ſunt, vigiles, ſanguinem de naribus ſtillatim fundunt, ſexta die alleuati per noctem, verùm poſtridie peius habuerunt, exudarunt, in ſomnum delati, mente aberrarunt, his largo impetu ſanguis ruit, & morbos ſoluit. aquoſa vrina talia ſignificat. 12

Qui cum relatis, ab atra bile mente 13

μελαγχολικῶς οἱ τρομώδεες γινόμενοι, κακοήθεες.

14 Παραφροσύνη ἐν ἐνδύματι καὶ ἱδρῶτι θανατώδης. θανατώδης δὲ καὶ ἐν ἐνδύματι καὶ λυγμῷ.

15 Ἐνύπνια τὰ ἐν φρενίτιδι ἐναργῆ, ἀγαθόν.

16 Ἐν φρενίτιδι διαχωρήματα λευκά, καὶ νωθρότης, κακόν. ῥῖγος τελέωσι κάκιστον.

17 Ἐν τοῖσι φρενιτικοῖσιν ἐν ἀρχῇσι τὰ ἐπιεικῶς ἔχοντα, πυκνά τε μεταπίπτοντα, κακόν.

18 Τῶν ἐξισταμένων μελαγχολικῶς, οἷς τρόμοι ἐπιγίνονται, κακόν.

19 Οἱ ἐξιστάμενοι μελαγχολικῶς, τρομώδεες γινόμενοι, καὶ πτυαλίζοντες, ἆρά γε φρενιτικοί;

20 Οἱ ἐκστάντες, ὀξέως ἐπιπυρέξαντες, φρενιτικοὶ γίνονται.

21 Οἱ φρενιτικοὶ βραχυπόται, ψόφου καθαπτόμενοι, τρομώδεες ἢ σπασμώδεες.

22 Τὰ ἐν φρενιτικοῖσι νωθρῶς τρομώδεα θανάσιμα.

23 Αἱ μετ' ἀναγκαίᾳ παραφρονέαι, κάκισται· αἱ ἐκ τούτων παροξυνόμεναι, ὀλέθριοι.

24 Αἱ παρακρούσιες, φωνῇ κλαγγώδεες, γλώσσῃ σπασμώδεες, καὶ αὐτοὶ τρομώδεες γενό-

moti, tremuli fiunt, malignè habent.

Delirium in ſpiritu & ſudore, letale 14 eſt. letale verò & in ſpiritu ac ſingultu.

Inſomnia in phrenitide euidentia, bo- 15 na ſunt.

In phrenitide deiectiones albæ, & tor- 16 por, mala: Rigor his peſſimus eſt.

In phrenitidis initio cùm moderanter 17 omnia habent, ac ſubinde tranſmutantur, malum.

Quibus ab atra bile mente motis, tre- 18 mores fiunt, malum eſt.

Qui ab atra bile mente moti, tremuli 19 fiunt, ac aſſiduè ſputant, num phrenitici ſunt?

Mente moti, acutè inſuper febricitan- 20 tes, phrenitici fiunt.

Phrenitici, raro parùmque bibentes, 21 ſtrepitum valde percipientes, tremuli fiunt, aut conuelluntur.

In vehementer phreniticis tremores 22 letales ſunt.

Deliria circa neceſſaria, peſſima: quæ 23 ex his exacerbantur, letalia ſunt.

Mentis perculſiones, voces clangoſæ, 24 linguæ conuulſæ, & voces tremulæ fa-

γινόμενα, ἐξίσαιται· σκληρυσμὸς ταύτῃσιν ὀλέθριον.

25 Αἱ προεξαδυνατησάντων παραφροσύναι κάκισται.

26 Τὰ ἐν φρενιτικοῖσι πυκνὰ μεταπίπτοντα, σπασμώδεα, πονηρά.

27 Οἱ ἐν φρενιτικοῖσι μετὰ καταψύξιος πτυαλίζοντες, μέλανα ἔμετον διαλῦσι.

28 Τοῖσι ποικίλως διανοσέουσι, καὶ παρακρούουσι, πυκνὰ καμμαλύουσι, προσδέχεσθαι λέγω μέλανα ἔμετον.

29 Τὰ παραξυνόμενα τρόπον σπασμώδεα, κάτοχα.

30 Τὰ παρ' οὓς ἐπάρματα ἐν μακρῇσι μικρά· αἱμορρώδεα καὶ σκοτώδεα ἐπιφαινόμενα, ὀλέθρια.

III.

1 Οἱ ἰλιγγώδεες πυρετοὶ καὶ αὐτοὶ ἰλεῶν, καὶ μετ' ἰλέων, ὀλέθριοι.

2 Τοῖσι ἐν θυμαλγίῃσιν ἐοῦσι πυρετὸς ὑπεροξύς. μετ' ὑποχονδρίου ξυντόνου καταψυχθεῖσι, σαφ' ἐς μέγα ἔπαρμα.

3 Οἷσιν αἱ ἐν πυρετῷ ὀδύναι γινόμεναι περὶ ὀσφὺν καὶ τὰ κάτω χωρία, φρενῶν ἅπτονται, ἐκλείπουσαι τὰ κάτω, ὀλέθριαι, ἄλλως τε κἢν ἄλλό τι σημεῖον προσγιγνόνται

ctæ, mentem alienant. durities his pernicioſa eſt.

Antè iam debilitatorum deliria, peſſima. 25

Frequentes in phreniticis tranſmutationes conuulſionem nuntiant, prauæ. 26

Qui è phreniticis cum perfrigeratione ſputant, vomitum nigrum indicant. 27

Qui variè ægrotant, & delirant, ac crebrò ſopore tentantur, his nigrum vomitum expectandum eſſe dicito. 28

Quæ in conuulſionis modum exacerbantur, catochen inducunt. 29

Tumores iuxta aurem in morbis longis parui ſunt: ſanguinis profluuia & vertigines ſuperuenientes pernicioſæ. 30

CAPVT TERTIVM.

Febres vertiginoſæ, & cum voluulis, & ſine voluulis, pernicioſæ. 1

Anheloſis febris poſtea acuta. Cum hypochondrio intento perfrigeratis, magnus ad aurem tumor. 2

Quibus in febre dolores circa lumbos & infernas partes orti, ſeptum transuerſum contingunt, inferioribus relictis, periculum minantur, cùm aliàs, tum ſi aliud quoddam ſignum prauum acceſſerit. 3

ται πονηρόν. ἢν δὲ τἄλλα σημεῖα μὴ πονηρὰ γένηται, ἔμπυον γενήσεσθαι ἐλπίς.

4 Παιδίοισιν ὀξέες πυρετοὶ καὶ κοιλίης ὑποστάσιες μετ' ἀγρυπνίης, καὶ τὸ ἐκλακτίζειν, καὶ τὸ χρῶμα μεταβάλλειν, καὶ ἴσχειν ἱδρῶτας σπασμώδεας.

5 Τὰ δ' ἐρυθρὰ παραχώδεα ἄγρυπνα, μέλανα δὲ τὰ σιώδεα, αἱμορροεῖ ἔνια.

6 Τὰ ἀγρυπνώδεα ἐξαίφνης ἀλυσμῷ αἱμορροεῖ ἄλλως τε, καὶ ἢν τι προσεῤῥύηκῃ. ἦρά γε καὶ μεταφρίξαντες οἱ ἐπ' ὀλίγον περιψύχει τις;

7 Περὶ δὲ τὸν παροξυσμὸν βιάζοντες, καὶ ἱδροῦντες μικρὸν, κακοήθεες.

8 Ἐς πλευρὸν ὀδύνης καὶ στιγμῆς προσγενομένης, ἐπιεμπυοῦνται.

9 Οἷσιν ἐν συνεχέσι φλυζάκια κατὰ πᾶν τὸ σῶμα ἐκφύῃ, θανάσιμον, μὴ γενομένης πυώδεος ἀποστήματος· μάλιστα δὲ εἴθισται τούτοισι γίνεσθαι παρ' οὖς.

10 Ἐν ὀξέσι τὰ μὲν ἔξωθεν περιψύχεσθαι, τὰ δὲ εἴσωθεν καίεσθαι, καὶ διψῆν, κακόν.

11 Οἱ συνεχέες διὰ τρίτης ἐπιτείνοντες, ἐπικίνδυνοι.

12 Οἷσιν αὖ ποτε πυρετοὺς διαλείπῃ, ἀκίνδυνον.

13 Ἐν μακροῖσι πυρετοῖσιν, ἢ φύματα, ἢ ἐς ἄρ-

ferit. Si verò alia ſigna non fuerint praua, ſuppuratum fore timor eſt.

Pueris febris acuta, & aluus ſuppreſſa cum vigiliis, calcitratio item & coloris mutatio, & rubor multus, neruorum diſtentionem præſagit. 4

Affectiones ſtatim turbulentæ cum vigiliis & nigris ac compactis excrementis ſanguinem quibuſdam eliciunt. 5

Affectiones cum vigiliis & anxietudine repentina, ſanguinem fundunt, tum aliàs, tum ſi quid antea profluxerit. Num & qui modicè perfrigerati poſteà horruerunt? 6

At qui circa exacerbationes tuſſiunt, & leuiter exudant, malignè habent. 7

Quibus lateris dolor ac ſuffocatio accedit, hi ſuppurantur. 8

Quibus in febribus continuis puſtulæ per totum corpus erumpunt, letale, niſi purulentus abſceſſus fiat: maximè autem circa aurem his fieri ſolet. 9

In morbo acuto externas partes algere, internas autem ardere, & ſitire, malum eſt. 10

Febres continuæ, quæ tertio quoque die increſcunt, periculoſæ. 11

Quibus febris aliquando intermiſerit, periculo vacant. 12

In febribus longis, aut tubercula, aut 13

dolo-

ἐς ἄρθρα πόνοι ἐγγίνονται, καὶ ἢν γίνωνται, ἐκ ἄγχιστοι.

14 Κεφαλαλγίη ἐν ὀξεῖ, ὑποχόνδριον ἀνεσπασμένον, μὴ ῥυέντος αἵματος ἐκ ῥινῶν, ἐς φρενιτικὸν περιΐσταται.

15 Τὰ λειπυρικὰ, μὴ χολέρας ἐπιγινομένης, οὐ λύεται.

16 Ἴκτεροι πρὸ τῆς ἑβδόμης ἡμέρης ἐπιγινόμενοι, κακόν· ἑβδόμῃ δὲ, καὶ ἐνάτῃ, καὶ ἑνδεκάτῃ, καὶ τεσσαρεσκαιδεκάτῃ, χρήσιμον, μὴ σκληρῶν ὑποχονδρίων· ἢν δὲ μὴ, ἐνδοιαστόν.

17 Αἱ πυκναὶ διὰ τῆς αὐτῆς ὑποστροφαὶ, περὶ κρίσιν αἱματώδεες, μηδάνων ἔμπυ ποιέουσι· γίνονται δὲ καὶ τρομώδεες.

18 Τὰ ἐν τριταίοισι πυρετοῖσιν ἀλγήματα παροξυνόμενα τριταιογενῆ ποιέεται, καὶ θρομβώδεα αἵματα διαχωρέει.

19 Ἐν πυρετοῖσι κατὰ φλέβα τὴν ἐν τῷ βραχίονι σφυγμὸς καὶ πόνος, ἐς δυσεντερίην ἀποστήσεται.

20 Τὸ μεταβάλλον πολλάκις χρῶμα κατὰ θερμασίην, χρόνιον.

21 Τοῖσι χολώδεσι ἐπίδυσμα νύγμα, καὶ πυρετὸς ὀξὺς μετὰ ὑποχονδρίου ἐντάσιος, παρ' οὓς ἀρίστησι.

22 Οἱ ἐκ μακρῶν ἀναλαμβάνοντες ἄσι-
τοι,

ores in articulis ſiunt: & ſi ſacti fue-
:,non ſunt inutiles.
;apitis dolor in morbo acuto, hypo. 14
ndrium reuulſum, non profluente ex
ibus ſanguine, ad phrenitidem de-
it.
ebres lipyriæ, bilis effuſione non ac- 15
ente,non ſoluuntur.
[orbus regius ante ſeptimum diem 16
:dens,malus: ſeptimò verò,ac nono,
ndecimo, ac decimoquarto, ſalutaris
ſi non hypochondria induret: ſin n i-
,ambigua res eſt.
requentes per eadem recidiuæ, circa 17
cationem ſanguinem fundentes, ni-
·um vomitum cient: inducunt verò
m tremorem.

olores in tertianis febribus exacer- 18
,tertianæ naturam induunt, & gru-
um ſanguinem egerunt.

ı febribus ſecundum venam quæ eſt 19
ɔllo,pulſus ac dolor, in dyſenteriam
ıit.
olorem ſæpe cum calore variare, 20

bilioſis ſpiritus magnus, & febris 21
a cum hypochondrij intenſione,iux-
ırem abſceſſum facit.
ʠi ex morbis longis conualeſcentes 22
B b bene

πες, μηδὲν ἐπιδιδόντες, ἐπιστρέφουσι κακοήθως.

23 Ἴσιν ἐν πυρετοῖσι φλέβες αἱ ἐν κροτάφοισι σφυγματώδεες, καὶ πρόσωπον ἐπέρυθρον, καὶ ὑποχόνδριον μὴ λαπαρὸν, ἐόντων, καὶ οὐ παύονται χωρὶς αἵματος ῥύσιος ἐκ ῥινῶν πολλῆς, ἢ λυγξὶς, ἢ σπασμοῦ, ἢ ὀδύνης ἰσχίων.

24 Ἐν καύσῳ κοιλίη καταῤῥαγεῖσα, θανάσιμον.

25 Ἐκ κοιλίης ἀλγήματος ἐπιπόνου πυρετὸς καυσώδης, ὀλέθριον.

26 Ἐν τοῖσι καυσώδεσιν ἦχοι προσγενόμενοι μετ' ἀμβλυωσμοῦ, καὶ κατὰ ῥῖνας βάρους, ἐξίστανται μελαγχολικῶς, μὴ αἱμοῤῥαγήσαντες.

27 Τοὺς ἐν καύσοισι τρόμους παρακοπὴ λύει.

28 Ἐν καύσῳ ῥύσις ἐκ μυκτήρων τεταρταίῳ, κακὸν, ἢν μή τι ἄλλο ἀγαθὸν ξυμπέσῃ. πεμπταίῳ δὲ ἧσσον κινδυνῶδες.

29 Οἱ ἐν τοῖσι καυσώδεσιν ὑποπελίοισι ψυχροῖσι διαχωρήμασι ὑδατοχόλοισι, συχνοῖσιν ὀφθαλμοῖσι, κακὸν ἄλλως τε, κἢν κάτοχοι γίνωνται.

30 Καύσου ῥῖγος ἐπιγενόμενον λύει.

31 Καύσοισι ὑποτροπιάζειν εἰώθασι, καὶ ἡμέρας τέσσαρας, ὅτι σημαίνεται,

ἴση-

mñè cibum accipiunt, & nihil proſ-unt,hi malignè remorbeſcunt.

Quibus in febribus venæ in tempori- 23
is pulſant,& facies ſana eſt,& præcor-
um non molle,ſignum eſt longi morbi,
non deſinentis citra multi ſanguinis è
ribus fluxum,aut ſingultum,aut con-
ulſionem,aut coxarum dolorem.

In febre ardente aluum citatam ferri, 24
itiale.

Ex alui dolore laborioſo febris ar- 25
ns,perniciosa.

Quibus in febribus ardentibus aurium 26
itus accedit,cum viſus hebetudine,&
uitate narium, melancholico modo
iniunt,niſi ſanguis eruperit.

remores in febribus ardentibus,men- 27
perculſio ſoluit.

n febre ardente fluxio ſanguinis ex 28
ibus quarta die, mala eſt,ſi non aliud
d boni coinciderit. verùm quinta mi-
periculoſa.

Qui in febribus ardentibus leuiter re- 29
eſcunt, & aquoſa bilioſis mixta ege-
t, oculis denſis, malè habent, tum
s,tum ſi catochi fiant.

ebris ardens rigore accedente ſol- 30
r.

ebres ardentes recidiuam facere ſo- 31
, & vbi per dies quatuor ſigna edide-

ἔπειτα ἐφιδρῶσιν· εἰ δὲ μὴ, τῇ ἑβδόμῃ καὶ δεκάτῃ

32 Τοὺς καυσώδεας διακρίνουσιν αἱ τεσσαρεσκαίδεκα ἡμέραι, κουφίζουσαι ἢ ἀναιροῦσαι.

33 Ἐκ καύσου, μὴ γινομένου πυώδους παρ' οὖς ἀποστήματος, οὐ πάνυ σώζονται.

34 Οἱ ληθαργικοὶ, τρομώδεες ἀπὸ χειρῶν, ὑπνώδεες, δύσχρωτες, οἰδηματώδεες, σφυγμοῖσι νωθροῖσι καὶ μετάρσια τὰ ὑποφθάλμια, καὶ ἱδρῶτες ἐπιγίνονται, καὶ κοιλίας ὑποδείκνυσι χολώδεας καὶ ἀκρατέας.

35 Ἢν κατάξηροι ἴσχωσιν, ἔτι καὶ διαχωρήματα προΐονται λαθραίως, τὸ οὖρον ὑποζυγίου, πιεῖν τε οὐκ αἰτέουσιν, οὐδὲ θάτερον οὐδέν. ἐμφερέες δὲ γινόμενοι, ῥάχιλον ἐπώδυνον φασὶν ἔχειν, καὶ διὰ τῶν κάτω ἤχους διαΐσσειν.

36 Ὁκόσοι δὲ σώζονται τῶν ληθαργικῶν, ἔμπυοι ὡς ἐπὶ τὸ πολὺ γίνονται.

37 Ὁκόσοισιν ἐν πυρετοῖσιν ἀκρίτως τὰ τρομώδεα παύεται, τουτέοισι χρόνῳ ἐς ἄρθρα ἀπόστασις ὀδυνώδης ἐκπύουσα, καὶ κύστις ἐπώδυνος.

38 Τῶν πυρεσσόντων οἷσι μὲν ἐρυθήματα ἐπὶ προσώπων, καὶ πόνος κεφαλῆς ἰσχυρὸς, καὶ σφυγμὸς φλεβῶν, αἵματος ῥύσιες τὰ πολλὰ γίνονται· οἷσι δὲ ἆσαι, καὶ καρδιωγ-

rint, poſtea exudant: ſin minus, ſeptimo die.

Febre ardente laborantes quatuordecim dies diiudicant alleuantes, aut perimentes. 12

Ex febre ardente, abſceſſu purulento ad aurem non orto, non valdè ſeruantur. 13

Lethargici intremiſcentes manibus, ſomnolenti, malè colorati, tumidi, pulſu tardo ſunt, & partes ſub oculis eleuatas habent, & ſudores ſuperueniunt, & aluis biliofis & intemperatis ſubtument. 14

Sin valdè ſiccas habuerint, vrinæ & fæces alui latenter prodeunt, vrina velut iumentorum eſt, potum non expetunt, neque aliud quicquam. Poſtquam verò reſpuerint, colli dolore ſe premi dicunt, & ſonitus per aures tranſire. 15

Qui verò ex lethargicis ſeruantur, plerunque ſuppurati fiunt. 16

Quibuſcunque in febribus tremores citra iudicationem ceſſant, his temporis progreſſu in articulos abſceſſus cum dolore ſuppurat, & veſica dolet. 17

Febrientibus quibus rubores in facie, & dolor capitis vehemens, & venarum pulſus, his ſanguinis fluxio plerunque contingit. Quibus autem cibi faſtidia, & 18

διωγμοί, καὶ πτυαλισμοί, ἔμετος· οἷσι δὲ ἐρυγμοί, φῦσαι, ψόφοι κοιλίης καὶ ἐπάρσιες, καὶ ἐκταράξιες κοιλίης.

39 Τοῖσι χρονίζουσιν ἀσφαλέως ἐν πυρετῷ ξυνεχεῖ, χωρὶς πόνου, ἢ φλεγμονῆς, ἢ ἄλλης περιφάσιος, ἀπόστασιν προσδέχεσθαι πόνου καὶ οἰδήματος, καὶ μᾶλλον ἐς τὰ κάτω χωρία. προσδέχεσθαι δὲ δεῖ τὰς ἀποστάσιας, τοῖσιν ὑπὲρ τριήκοντα ἔτεα μᾶλλον. ὑποσκέπτεσθαι δὲ τελέως τὰς ἀποστάσιας, ἢν τὰς εἴκοσιν ἡμέρας πυρετὸς ὑπερβάλλῃ· τοῖσι δὲ πρεσβυτέροισιν ἧσσον γίνονται, καὶ πολλῷ χρόνῳ γινομένων τῶν πυρετῶν. οἱ δὲ διαλείποντες καὶ λαμβάνοντες πεπλανημένως, φθινοπώρου μάλιστα ἐς τεταρταῖον ἐπιεικέως μεθίστανται, καὶ μᾶλλον τοῖσιν ὑπὲρ τὰ τριήκοντα ἔτεα γεγονόσιν. αἱ δὲ ἀποστάσιες τοῦ χειμῶνος γίνονταί τε μᾶλλον, καὶ παύονται βραδύτερον, καὶ ἧσσον παλινδρομέουσι.

40 Τοῖσι δὲ πολλάκις ὑποτροπιάζουσιν, ἢν ἑξάμηνον ὑπερβάλλωσιν, ἰσχιαδικὴ φθίσις ἐπιεικέως γίνεται.

41 Ὁκόσα πυρετοῦ ἐπιδίδοται, καὶ μὴ ἀποστηματώδεα σημεῖα, κακοήθεα.

42 Τῶν πυρετῶν οἱ μήτε ἐν ἡμέρῃσι κρισίμῃσι, μήτε μετὰ σημείου λυτηρίου ἀφιέντες, ὑποτροπιάζουσι.

Τὰ ἐξῆς

oris ventriculi morſus, & frequens ſali-
uatio, his vomitus fit: quibus verò ru-
ctus, flatus, ſtrepitus ac eleuationes ven-
tris, his fit alui exturbatio.

Qui diutiùs ſecurè febre continua la- 39
borant, ſine dolore, aut inflammatione,
aut alia manifeſta cauſa, his abſceſſus ex-
pectandus eſt cum dolore ac tumore, &
magis in infernis partibus, expectare au-
tem oportet abſceſſus, his magis qui tri-
geſimum annum egreſſi ſunt. Conſideran-
di verò his abſceſſus, vbi viginti dies fe-
bris ſuperarit. Senioribus autem minùs
fiunt, & vbi diu febres durarunt. At in-
termittentes & erroneo modo inuaden-
tes, autumno maximè in quartanam leni-
ter tranſeunt, idque magis iis qui trigin-
ta annos excefferint. Abſceſſus autem
hyeme magis fiunt, & tardiùs deſinunt,
& minùs recurrunt.

Quibus verò ſæpe recidiua contingit, 40
iis ſi ſemeſtre tempus exegerint, tabes
proxendicum leniter accedit.

Quæcunque ſigna febri ſe opponunt, 41
neque abſceſſus notam habent, maligna
ſunt.

Febres quæ neque diebus iudicatoriis, 42
neque poſt ſolutionis ſignum dimiſerint,
ſolent recurrere.

43 Τὰ ὀξέα τῶν νοσημάτων ἐν ἡμέρῃσι κρίνεται τεσσαρεσκαίδεκα.

44 Τριταῖος ἀκριβὴς ἐν πέντε, ἢ ἐν ἑπτὰ περιόδοισιν, ἢ τὸ μακρότατον ἐν ἐννέα κρίνεται.

45 Οἷσιν ἀρχομένοισι πυρετοῦ αἵματος στάξιες ἐκ ῥινῶν παραμοῦ γινομένου, λευκὴν ὑπόστασιν τὸ οὖρον ἴσχει ἐν τῇ τετάρτῃ, λύσιν ἐν τῇ ἑβδόμῃ σημαίνει.

46 Τὰ δὲ ὀξέα κρίνεται αἵματος ἐκ ῥινῶν ῥυέντος ἐν κρισίμοις· καὶ ἱδρῶτος πολλοῦ γινομένου, καὶ οὔρου πυώδεος καὶ ὑαλώδεος γινομένου, ὑπόστασιν χρηστὴν ἔχοντος, καὶ ἀθρόου γινομένου· καὶ ἀποστήματος ἀξιολόγου, καὶ κοιλίης μυξώδεος καὶ αἱματώδεος καὶ ἐξαπίνης καταρραγείσης, καὶ ἐμέτων οὐ μοχθηρῶν κατὰ κρίσιν.

47 Ὕπνοι βαθέες, μὴ ταραχώδεες, βεβαίαν κρίσιν σημαίνουσιν· οἱ δὲ ταραχώδεες μετὰ ἀλγήματος ἀσώματος, ἀβέβαιοι.

48 Ἑβδομαίοισιν, ἢ ἐναταίοισιν, ἢ τεσσαρεσκαιδεκαταίοισι, ῥύσιες ἐκ ῥινέων λύουσιν ὡς ἐπὶ τὸ πολὺ τὸν πυρετόν· ὁμοίως δὲ καὶ κοιλίης ῥύσις χολώδης, καὶ δυσεντεριώδης, καὶ πόνος γουνάτων, ἢ ἰσχίων· καὶ οὖρον πεπανθὲν περὶ τὴν κρίσιν· ἐν γυναικὶ δὲ καὶ ἐπιμηνίων ῥύσις.

49 Οἱ ἐν πυρετοῖσιν αἱμορραγήσαντες ἱκα-

Acuti morbi in diebus quatuordecim 44
iudicantur.

Tertiana exquiſita in quinque, aut in 44
ſeptem circuitibus, aut ad ſummum in
nouem iudicatur.

Quibus febrire incipientibus ſanguis 45
de naribus deſtillat à ſternutatione, &
vrina album ſedimen habeat quarto die,
his ſeptimo die ſolutionem ſignificat.

Morbi acuti iudicantur ſanguine de 46
naribus fluente die iudicatorio: & ſudo-
re multo, & vrina purulenta ac vitrea
prodeunte, cum ſalutari ſedimento, &
aceruatim reddita: abſceſſu item lauda-
bili, & aluo mucoſa cruentáque ac dere-
pente deiiciente, & vomitibus non prauis
circa iudicationem.

Somni profundi, non turbulenti, fir- 47
mam iudicationem ſignificant: turbulen-
ti verò cum dolore corporis, inconſtan-
tes ſunt.

Septima die, aut nona, aut decima- 48
quarta, fluxiones ſanguinis è naribus
plerunque febres ſoluunt: ſimiliter &
alui fluxio bilioſa, & qualis dyſenterico-
rum, & genuum ac coxarum dolor: &
cocta vrina circa iudicationem: in mu-
liere verò etiam menſtruorum fluxus.

Sanguinem in febribus abunde vnde- 49
cunque

τοῖς ὀχθώδεσιν, ἐν τῇσιν αἱ ἀλλήξιες κοιλίας καθυγραίνονται.

50 Οἱ ἐν πυρετοῖσιν ἐπιῤῥιγέοντες, κεφαλαλγέες, κοιλίην ἀπολελημμένοι, σπασμώδεες.

51 Αἱ ἐπ' ὀλίγον θρασέως παρακρούσιες, καὶ θηριώδη καὶ σπασμὸν σημαίνουσι.

52 Σπασμὸς ἐν πυρετῷ γινόμενος, καὶ παυόμενος αὐθημερὸν, ἀγαθόν.

53 Σπασμὸς ἐν πυρετῷ γενόμενος, παύεται τὸν πυρετὸν αὐθημερὸν, ἢ τῇ ὑστεραίῃ, ἢ τῇ τρίτῃ· ὑπερβάλλων δὲ τὴν ὥρην ἐν ᾗ ἤρξατο, καὶ μὴ παυόμενος, κακόν.

54 Οἱ διαλείποντες, ἀσωδέως δὲ χλιαινόμενοι, κοιλίης ἐμφυσωμένης, μικρὰ διαδιδούσης, ὀσφυαλγέουσι μετὰ κρίσιν. τοῖσι ἰδίοισι κοιλίαι καταῤῥήγνυνται· οἱ δὲ περικαέες περὶ χεῖρας, νωθροὶ, διψώδεες, ἀσώδεες, κοιλίης ἀπειλημμένης βαρυνόμενοι ἐκλύονται· ἔστι δ' ὅτε καὶ τὰ ἐξέρυθρα ἐν ποσὶ κατακαύματα, τὰ αὐτὰ σημαίνει.

55 Οἱ χρόνιοι τεταρταῖοι πυρετοὶ ἐπιεικέως μεθίστανται ἐς τὰς ὀξείας, κακόν.

IV.

1 Κεφαλῆς πόνος σύντονος μετ' ὀξέος πυρετοῦ, καὶ ἄλλο σημεῖον τῶν δυσκόλων, θανάσιμον· αὐτὸ δὲ σημεῖα φαῦλα, ὑπερβάλ-

λων

cunque profundentes, cùm reficiuntur, aluos humectas habent.

Qui in febribus leuiter exudant, caput 50
dolent, & aluo ſunt ſuppreſſa, conuelluntur.

Mentis emotiones pauliſper feroces, 51
& feritatem & conuulſionem ſignificant.

Conuulſio in febre orta, & eadem die 52
deſinens, bona eſt.

Conuulſio in febre orta, ſedat febrem 53
eadem die, aut poſtera; aut tertia: ſi verò horam in qua cœpit, tranſgrediatur, & non deſinat, malum eſt.

Vbi febres intermittentes, verùm inæ- 54
qualiter tepeſcentes, aluo inflata, pauca egerente, in his poſt iudicationem lumborum dolore ſequuto, alui erumpunt: at vbi amburentes ad manum, torpidæ, ſiticuloſæ, anxiæ, aluo ſuppreſſa grauati exoluuntur: quandoque verò & valde rubræ in pedibus ambuſtiones eadem ſignificant.

Hybernæ febres quartanæ leniter in 55
acutos morbos tranſeunt.

CAPVT IV.

Capitis dolor vehemens cum febre 1
acuta, & alio ſigno maligno, letalis eſt: cæterùm ſine ſigno malo, viginti diebus

tranſa-

λῶν τὰς εἴκοσιν ἡμέρας, αἵματος ῥύσιν, ἢ πύον ἐκ ῥινὸς, ἢ ἀποστάσιας ἐς τὰ κάτω σημαίνει· μάλιστα μὲν νεωτέροισι τῶν τριήκοντα ἐτέων τὰς ῥύσιας, τοῖσι δὲ πρεσβυτέροισι τὰς ἀποστάσιας προσδέχεσθαι· περὶ μέτωπον δὲ κεφαλάλγες ὄντος τοῦ πόνου, καὶ συντόμου, ῥύσιας.

2 Οἷσι κεφαλαλγίαι καὶ ἦχοι ἀπυρέτοισι, καὶ σκοτοδινίη, καὶ φωνῆς βραδυτὴς, καὶ νάρκη χειρῶν, ἢ ἀποπληκτοὺς, ἢ ἐπιληπτικοὺς προσδέχου τούτους ἔσεσθαι, ἢ καὶ ἐπιλήσμονας.

3 Οἱ κεφαλαλγέες κατόχως, παρακρούσαντες, κοιλίης ἀποληφθείσης, ὄμμα θρασυνθέντες, αἰθηροὶ, ὀπισθοτονώδεες γίνονται.

4 Τὰ ὑποσείοντα κεφαλῆς, ὄμματα ἐξέρυθρα, παρακρούοντα σαφῶς, ὀλέθρια· οὐ ξυναπέθνησκε τοῦτο, ἀλλὰ παρ' οὖς οἴδημα ποιέει.

5 Κεφαλαλγίαι μετὰ ἱδρῶτος καὶ αἰδοίων ἀλγήματος, καὶ νωθρότητα καὶ ἀκρασίην σαρκὸς ἔχει, καὶ φωνὴν παραλύει· ταῦτα οὐ χαλεπὰ, σπασμώδεες δὲ καὶ λυγγώδεες γίνονται ἐνάτῳ μηνὶ, καὶ ἐκ τούτων, φωνῆς λυθείσης, ἐς τὸ αὐτὸ καθίσταται.

6 Ἀσκαριδώδεες δὲ γινόμενοι ἐν κεφαλαλγίῃ, κώφωσις καὶ κῶμα παρακολουθοῦντα, τὰ παρ' οὖς ἐπαίρει.

Οἱ κα-

tranſactis, ſanguinis fluxum, aut pus è naribus, aut abſceſſus ad infernas partes ſignificat: fluxiones quidem maximè iunioribus triginta quinque annis, ſenioribus verò abſceſſus expectandi ſunt: ſi verò circa frontem ac tempora fuerit dolor ille pertinax, fluxiones.

Quibus capitis dolores & ſonitus aurium ſine febre, & vertigo, & vocis tarditas, & manuum torpor, eos aut attonitos, aut comitiales, aut obliuioſos fore expecta. 2

Quos capitis occupat dolor firmiter fixus, cum delirio, aluo ſuppreſſa, oculo ferociente, facie rubente, hi in poſteriorem partem conuelluntur. 3

Capitis ſucceuſſiones, oculi prærubri, deliria manifeſta, pernicioſæ ſunt. non commoriuntur hæc, ſed circa aurem tumorem faciunt. 4

Capitis dolor cum ſedis & pudendorum dolore, & torporem & impotentiam inducit, vocémque reſoluit: hæc horrenda non ſunt, verùm ſomnolenti ac ſingultientes fiunt nono menſe, indéque voce ſoluta in ſuum ſtatum reſtituuntur. 5

Qui in capitis dolore aſcaridas habent, his ſurditas & ſopor conſequens, abſceſſus circa aurem excitat. 6

7 Οἱ κεφαλαλγέες, κατόχως ὀδυνώδεες, ὄμμα ἐξέρυθροι, αἱμοῤῥοεῖ.

8 Τὰ σείοντα κεφαλὴν καὶ τὰ ἠχώδεα αἱμοῤῥοεῖ, ἢ γυναικὶ τὰ γυναικεῖα καταβιβάζει, ἄλλως τε καὶ ἢν κατὰ ῥάχιν καῦμα παρακολουθέῃ· ἴσως δὲ καὶ δυσεντερικά.

9 Οἱ καρηβαρικοὶ, κατὰ βρέγμα ὀδυνώδεες, ἄγρυπνοι, αἱμοῤῥαγέουσιν, ἄλλως τε καὶ ἤν τις ἐς τράχηλον συντείνῃ.

10 Τὰ ἐν κεφαλαλγίῃσιν ἰώδεα ἐμέσματα μετὰ κωφώσιος, ἀγρυπνοῦσι ταχὺ ἐκμαίνει.

11 Οἷσι κεφαλῆς καὶ τραχήλου πόνος, καὶ ὅλου δέ τις ἀκρασίη τρομώδης, αἱμοῤῥαγίη λύει· ἀτὰρ καὶ οὕτω χρονίως λύονται· αἱ δὲ κρίσιες ἐν πλείοσι λαμβάνονται.

12 Ἐν τῇσιν ὀξείῃσι κεφαλαλγίῃσι, καὶ τῇσι ναρκώδεσι μετὰ βάρεος, ἐθέλει σπασμώδεα γίνεσθαι.

13 Κεφαλαλγίην λύει πύον διὰ ῥινῶν, ἢ πτύελα παχέα καὶ αἷμα· λύει δὲ καὶ ἑλκέων ἔκθυσις· ποτὲ δὲ καὶ ὕπνος, καὶ κοιλίης ῥύσις.

14 Κεφαλῆς ἄλγημα μέτριον μετὰ δίψης νηστεύσης, ἢ μετὰ ἱδρῶτος μὴ λύοντος τὸν πυρετὸν. ἀποστάσιας ἐν κλαισὶν, ἢ παρ᾽ οὖς σημαίνει, μὴ κοιλίης ἐκταραχθείσης.

15 Κεφαλαλγίη καρώδης μετὰ βάρεος, ποιεῖ τι σπασμῶδες.

16 Οἱ κεφαλαλγικοὶ, διψώδεες, ὑπάγρυπνοι,

Quibus capitis dolor,& dolor quidem pertinaciùs hærens, ac oculus impensè rubens,hi ſanguinem fundunt. 7

Capitis concuſſiones & aurium ſonitus ſanguinem effundunt,aut mulieri menſes deducunt,tum aliàs, tum ſi iuxta ſpinam ardor conſequatur: ſed & dyſenteriam fortè prænunciant. 8

Capite grauati, in eiúsque medio dolentes,vigiles ſanguinem effundunt,tum aliàs, tum ſi quid ad collum ſe extendat. 9

Vomitus in capitis doloribus ærugi-noſi cum ſurditate, vigilantibus citò inſaniam excitant. 10

Quibus capitis ac colli dolor eſt,ſed & totius corporis tremula quædam impotentia,ſanguinis eruptio medetur: quin & tempore hæc ſoluuntur. verùm veſicæ in hoc intercipiuntur. 11

In acutis capitis doloribus, & torpidis cum grauitate, conuulſiones fieri ſolent. 12

Capitis dolorem ſoluit pus per nares effluens, aut ſputa craſſa & ſine odore: ſoluit item vlcerum eruptio: quandoque & ſomnus,& alui fluor. 13

Capitis dolor moderatus cum ſiti cibum capiente, aut cum ſudore non ſoluente febrem, abſceſſus in gingiuis, aut circa aurem ſignificat, aluo non exturbata. 14

Capitis dolor ſoporoſus cum grauitate,conuulſiuum quid facit. 15

Caput dolentes,ſiticuloſi,aliquantum 16

πνοι, ἀσαφέες, ἀδυνατοι, ἐπὶ κοιλίῃ ὑγρῇ κοπιώδεες, ἦ ῥά γε ἐξαΐσσονται;

17 Κεφαλαλγέες, ὑπόκωφοι, χεῖρας βομβώδεες, τράχηλον ὀδυνώδεες, οὐρέοντες μέλανα δεδασυμμένα, ἐμέοντες μέλανα, ὀλέθριοι.

18 Οἱ κεφαλαλγέες, ἐφιδρώοντες, κοιλίην ἀπειλημμένοι, σπασμώδεες.

19 Τὸ καρῶδες πανταχοῦ κακόν.

20 Οἱ κωματώδεες ἐν ἀρχῇσι γινόμενοι, μετὰ κεφαλῆς, ὀσφύος, τραχήλου, ὑποχονδρίου ὀδύνης, ἀγρυπνέοντες, ἦ ῥά γε φρενιτικοί; καὶ μυκτὴρ ἐν τουτέοισιν ἀποστάζων ὀλέθριον, ἄλλως τε καὶ τεταρταίοισιν ἐοῦσιν ἢ ἀρχομένοισι.

21 Κακὸν δὲ καὶ κοιλίης περίκλυσις ἐξέρυθρος.

22 Οἱ κωματώδεες ἐξ ἀρχῆς ἐφιδρώοντες ξηροῖσι πυρετοῖσι, καυστικοί, ἀκρέως δὲ περιψύχοντες, διὰ ταχέων περικαέες, νωθροί, κωματώδεες, σπασμώδεες, ὀλέθριοι.

23 Οἱ κωματώδεες ὕπνοι, καὶ αἱ καταψύξιες, ὀλέθριον.

24 Κωματώδεας, κοπιώδεας, κεκωφωμένους, κοιλίης καταῤῥωγυίης, ἐρυθρὰ διηθέοντα περὶ κρίσιν, ὠφελέει.

25 Κωματώδεες, ἀσώδεες, ὑποχόνδριον ὀδυνώδεες, σμικρὰ ἐμετώδεες, τὰ παρ' οὖς ἴσχουσι· παρέσθαι δὲ περὶ τὸ πρόσωπον ἐπάρματα τοῦ κώματος.

Τὰ ἐξ-

vigilantes, obſcurè loquentes, impotentes, ex aluo liquida delaſſati, num mente mouentur?
17 Caput dolentes, ſurdaſtri, manibus tremuli, collum dolentes, deiicientes nigra condenſata, vomentes nigra, perniciosè habent.
18 Qui caput dolent, leuiter exudant, aluum ſuppreſſam habent, conuulſioni obnoxij ſunt.
19 Sopor vbique malus eſt.
20 Qui in principiis comate corripiuntur, cum capitis, lumborum, colli, hypochondrij dolore, & vigilant, num phrenitici ſunt? ſanguis è naribus in his deſtillans, pernicioſus, tum aliàs, tum quarto die vel morbi initio.
21 Mala eſt etiam alui proluuies valdè rubens.
22 Comate oppreſſi ab initio leuiter exudantes vrinis immeritò coctis, ardentes, verùm citra iudicationem perfrigeſcentes, & breui rurſus ardentes, torpidi, ſopore tentati, conuulſi, perniciosè habent.
23 Somni cum multo comate, & perfrigerationes pernicioſæ ſunt.
24 Comate correptis, delaſſatis, ſurdis, aluo erumpente, ſi rubra deiiciantur circa iudicationem, proſunt.
25 Sopore preſſi, faſtidioſi, ex hypochondrio dolentes, pauca vomentes, abſceſſus ad aurem habent: antea verò circa faciem tumores cum ſopore.

26. Τὰ ἐξαίφνης παραχρῆμα ἀλυσμοὶ, αἱμορραγικά.

27 Τὰ κωματώδεα, ἀσώδεα, ὀδυνώδεα ὑποχόνδρια, θαμινὰ σμικρὰ πλύοντα, τὰ παρ' οὖς ἐπάρματα. κωματώδεες, ἆρά τι ἔχει σπασμώδεες;

28 Κωματώδεα, μαρμαρυγώδεα, κάτοχα, ποικίλλονται ὑποχόνδρια, καὶ κοιλίην ἐπηρμένοι, ἀπόσιτοι, ἀπηλλαγμένοι, ἐφιδροῦντες, ἆρα τουτέοισι τὸ θολερὸν οὔρημα καὶ τὸ γονοειδὲς διηθὸν λύγγα σημαίνει; κοιλίη δὲ ἆρα χολώδης προσδέχεται; τὸ λαμπῶδες ἐν τουτέοισιν οὐρηθὲν, ὠφελεῖ· καὶ κοιλίαι δὲ τουτέοισιν ἐπιταράσσονται.

29 Ἐγκεφάλου σφακελίσαντος, οἱ μὲν ἐν τῇσι τρίτῃσιν ἡμέρῃσιν, οἱ δὲ ἐν τῇσιν ἑβδόμῃσι τελευτῶσι· ταύτας δὲ διαφεύγοντες, σώζονται· οἷσι δὲ αἱματωθεῖσι τὴν πτυκλέαν διεστηκὲς εὑρεθῇ τὸ ὀστέον, ἀπόλλυνται.

30 Τοῖσι κεφαλαλγικοῖσιν ὀστέα ῥαγεῖσιν ἐκ τοῦ ὄπισθεν, ῥύσις ἐκ μυκτῆρος λάβρος, παχεῖα, κακόν. ὀφθαλμοὶ περιαλγέοντες οὗτοι ῥιγέουσιν. ἆρα αἱ κατὰ κρόταφον ὀστέων διαρραγαὶ σπασμώδεες;

V.

1 Ὧι τις πόνος συντόνως, μετὰ πυρετοῦ ὀξέος, καὶ ἄλλου τοῦ σημείου τῶν ὑποδυσκόλων, τοὺς μὲν νέους ἑβδομαίους κτείνει, καὶ συντομώτερον

παρα-

Deliria repentina cum iactatione, ſanguinis profuſionem notant. 16

Vbi ſopores, inquietationes, hypochondriorum dolores, crebræ & paucæ ſputationes, ibi tumores circa aurem ſoporoſi, num aliquid conuulſiui habent? 17

Affectiones ſoporem, fatuitatem & catochen inducentes variantia hypochondria, & ventrem tumidum habentes, cibum faſtidientes, aluo ſuppreſſa, exudantes, num his turbidus ſpiritus & geniture ſimile quid prodiens ſingultum ſignificat? num & aluus bilioſa inſuper egerit? Spumoſum in his mictum prodeſt: ventres quoque his inſuper turbantur. 18

Cerebro corrupto, alij in tribus diebus, alij in ſeptem moriuntur, has verò ſi effugerint, ſeruantur. Quibus autem ex his diſſectis os diſtare repertum fuerit, hi pereunt. 19

Caput dolentibus ob oſſa poſteriore parte rupta (vel contuſa) fluxio è nare larga, craſſa, mala eſt: vbi ex oculo antea doluerint, rigent. num & iuxta tempora oſſium rupturæ conuulſionem accerſunt? 20

CAPVT V.

Auris dolor pertinax, cum febre acuta, & alio quodam ſigno aliquantum maligno, iuuenes quidem intra ſeptimum diem occidit, & citiùs delirio correptos, 1

παραφρονήσαντας. μὴ ῥυέντος πολλοῦ τοῦ ἐκ τοῦ ὠτὸς, ἢ ἐκ ῥινῶν αἵματος, μηδὲ ἄλλου τινὸς σημείου χρηστοῦ γενομένου. τοὺς δὲ πρεσβυτέρους βραδύτερον καὶ ἧσσον ἀναιρεῖ. τὰ γὰρ ὦτα φθάνει ἐκπυέειν, καὶ παραφρονέουσιν ἧσσον. ὑποστρέφουσι δὲ οἱ πολλοὶ τούτων, καὶ οὕτως ἀπόλλυνται.

2 Κώφωσις ἐν ὀξέσι καὶ παραχόλοισι παρακολουθοῦσα, κακόν· κακὸν δὲ καὶ ἐν τοῖσι μακροῖσιν· ἀτὰρ δὲ τούτοισι καὶ ἰσχία πονεῖ.

3 Ἐν πυρετοῖσι κώφωσις κοιλίην ἐφίστησιν.

4 Ὦτα ψυχρὰ, καὶ διαφανέα, καὶ συνεσταλμένα, ὀλέθριον. (μον.

5 Βόμβος ἐν ὀξέσι, καὶ ἦχος ἐν ὠσὶ, θανάσι-

6 Ἦχοι μετὰ ἀμβλυωσμοῦ, καὶ κατὰ ῥῖνας βάρος, παρακρουστικὸν, καὶ αἱμοῤῥαγέει.

7 Οἷσι κώφωσις μετὰ καρηβαρείης, καὶ ὑποχονδρίου ἐντάσιος, καὶ πρὸς αὐγὰς ἐνοχλεῖν, αἱμοῤῥοεῖ.

8 Ἐν ὀξεῖ πυρετῷ ὦτα κωφωθῆ, μανικόν.

9 Οἱ δύσκωφοι, ἐν τῷ λαμβάνειν τρομώδεες, γλῶσσαν παραλελυμένοι, νωθροὶ, κακόν.

10 Περιεχούσης ἀῤῥωστίης κώφωσις, καὶ οὖρον ὑπέρυθρον, ἀκατάστατον, ἐναιωρεύμενον, παρακρουστικόν. τὸ ἰκτερῶδες ἐν τούτοισι κακόν· κακὸν δὲ καὶ ἐπὶ ἰκτέρου μώρωσις. τούτους ἀφώνους, αἰσθανομένους ξυμβαίνει σωίγεσθαι. τάχα δὲ καὶ κοιλίη πονηρὰ γίνεται τούτοισι.

Τὰ δὲ

niſi multum pus effluxerit ex aure, aut ſanguis è naribus, vel aliud quoddam bonum ſignum compareat: ſeniores autem tardiùs & minùs tollit. nam & aures priùs ſuppurant, & ipſi minùs delirant: verùm multi ex his relabuntur, atque ſic pereunt.

Surditas in acutis ac turbulentis morbis conſequens, mala: mala etiam in longis: ſed in his dolores etiam ad coxas deducit. 2

In febribus ſurditas aluum ſiſtit. 3

Aures frigidæ, & pellucidæ, & contractæ, pernicioſæ. 4

Bombus in acutis & ſonitus aurium, letalis. 5

Sonitus aurium, cum viſus hebetudine, & narium grauedine, delirij & ſanguinis profluuij ſignum. 6

Quibus ſurditas cum capitis grauitate, & hypochondrij intenſione, & ad ſplendorem turbatio, ſanguis profluit. 7

In febre acuta ſurdeſcere, furioſum. 8

Valdè ſurdi, in accipiendo tremuli, lingua reſoluti, torpidi, malè habent. 9

Accedente ægritudine ſurditas, & vrina ſubrubra, ſedimentum non habens, ſed id quod in medio innatat, deſipientiæ ſignum. Morbo regio corripi in his malum: mala verò eſt & ex morbo regio fatuitas: hos voce quidem priuari, ſentientes tamen ſuffocari contingit. fortaſſis autem & aluus malè his afficitur. 10

Quæ

11 Τὰ δὲ ὀδυνηρῶς παρ' οὖς ἀνιστάμενα, ὀλέθρια.

12 Τὰ παρ' οὖς ἐκ τοῦ ἔμπροσθεν ἀλγήματος ἐρυθήματα ἐν πυρετοῖσι γινόμενα, σημεῖον μὲν ἐρυσιπέλατος ἐπὶ προσώπου ἐσομένου· ἀτὰρ καὶ σπασμοὶ ἐκ τῶν τοιουτέων γίνονται μετ' ἀφωνίης καὶ ἐκλύσιος.

13 Τὰ παρ' οὖς ἐπὶ πλείστοισι δυσώδεσι, πυρετῷ ὀξεῖ, ὑποχονδρίῳ συντόνῳ, χρονιώτερα ἀρθέντα, κτείνει.

14 Τὰ παρ' οὖς, φαῦλα τοῖσι παραπληκτικοῖσι.

15 Τὰ παρ' οὖς ἐν μακροῖσι μὴ ἐκπυϊσκῶντα, θανάσιμον. κοιλίαι δὲ τοῖσι τοιούτοισι τάχα φέρονται. ἆρά γε οἷσι τὰ παρ' ὦτα κεφαλαλγικοῖσιν; ἆρά τι ἐφιδροῦσι τὰ ἄνω; ἆρά τι καὶ ἐπιρριγέουσιν; ἆρά γε αἱ κοιλίαι καταρρήγνυνται, καί τι καὶ κωματώδεες; ἆρα καὶ τὸ ὑδατῶδες οὖρον, ἐναιωρεύμενον λευκοῖσι, καὶ τὰ ὑποποίκιλα, ἔκλευκα, δυσώδεα;

16 Τὰ παρ' οὖς λαπάσσει βηχία μετὰ πτυαλισμῶν ἰόντα.

17 Οὖρα τοῖσι παρ' ὦτα ταχὺ καὶ ἐπ' ὀλίγον πεπαινόμενα, φλαῦρα· καὶ τὸ καταψύχεσθαι ὧδε, πονηρόν.

18 Τὰ παρ' οὖς ἐν τοῖσι χρονίοισιν ἐκπυούμενα μὴ λευκῷ σφόδρα καὶ ἀόδμῳ κτείνει, καὶ μάλιστα γυναῖκας.

Τὰ

Quæ verò circa aurem cum dolore ex- 11
citantur, pernicioſa ſunt.

Rubores ad aurem ex prægreſſo dolo- 12
re in febribus orientes, ſignum qui-
dem ſunt eryſipelatis in facie futuri: ſed
& conuulſiones ex talibus fiunt, cum vo-
cis interceptione ac exolutione.

Tumores circa aurem poſt plurima 13
graueolentia cum febre acuta, & hypo-
chondrio intento, tardiùs excitati, oc-
cidunt.

Tumores circa aurem leuiter ſideratis 14
mali.

Tumores circa aurem in longis morbis 15
non ſuppurantes, letales. alui verò his
deorſum feruntur. num quibus abſceſſus
ſunt iuxta aures, caput dolent? num ſu-
pernis partibus leuiter exudant? num &
inſuper leuiter rigent? num & alui erum-
punt, & ſopore quaſi tenentur? num &
aquoſa eſt vrina, alba innatantia habens,
& aliquantum varia, exalbida, graueo-
lentia?

Abſceſſus iuxta aurem diſſoluunt tuſſi- 16
culæ cum ſputationibus ortæ.

Vrinæ in abſceſſibus ad aures citò & 17
pauliſper matureſcentes, prauæ ſunt: &
ſic perfrigerari, malum.

Abſceſſus circa aurem in longis mor- 18
bis ſuppurati, non valdè albo & inodoro
pure, occidunt, & maximè mulieres.

Abſceſ-

19 Τὰ παρ' οὖς μάλιστα ἐν τοῖσιν ὀξέσιν ἐν τοῖσι καυσώδεσι γίνεται· κἢν μὴ κρίσιν ποιήσῃ, καὶ ἐκπεπαίνηται, ἢ ἐκ ῥινῶν αἷμα ῥυῇ, ἢ οὖρα ὑπόστασιν παχεῖαν λάβῃ, ἀπόλλυνται. τὰ πολλὰ δὲ τῶν τοιούτων οἰδημάτων προαποκαθίστανται. προσέχειν δὲ καὶ τοὺς πυρετοὺς, ἢν τι ἐπιλείπωσιν, ἢν τι αὐξῶσι, καὶ οὕτως ἀποφαίνεσθαι.

20 Ἐπὶ κωφώσει καὶ ναθείῃ ἐκ ῥινῶν ὑποστάζειν, ἔχει τι δύσκολον. ἔμετος τουτέοισιν ἁρμόσει, καὶ κοιλίης ταραχή.

21 Ἐκ κωφώσιος ἐπιεικέως τὰ παρ' ὦτα, ἄλλως τε καὶ ἢν ἀσαφές τι γίνηται· ἀτὰρ καὶ τοῖσι κωματώδεσιν ἐπὶ τουτέοισι καὶ μᾶλλόν τι τὰ παρ' ὦτα.

22 Κώφωσιν ἐν πυρετοῖς, ῥύσις ἐκ ῥινῶν λύει, καὶ κοιλίης ταραχή.

VI.

1 Πρόσωπον ἐκ μετεώρου ταπεινούμενον, καὶ φωνὴ λεπτοτέρη καὶ ἀσθενεστέρη γινομένη, καὶ πνεῦμα μανότερον καὶ λεπτότερον, αὔξειν ἐς τὴν ἐπιοῦσαν σημαίνει.

2 Προσώπου διαφθορὴ, θανάσιμον. ἢν οὖν δὴ εἰ δι' ἀγρυπνίην, ἢ λιμὸν, ἢ κοιλίης ἐκταράξιν γίνηται. καθίσταται δὲ ἐν ἡμέρῃ καὶ νυκτὶ τὸ διὰ ταῦτα διαφθαρέν. γίνοιτο δ' ἂν τοιοῦτον· ὀφθαλμοὶ κοῖλοι, ῥὶς ὀξεῖα, κρόταφοι συμπεπτωκότες, ὦτα ψυχρὰ καὶ συνε-

σταλμέ-

Abſceſſus iuxta aurem ex acutis maximè in febribus ardentibus fiunt: & ſi morbum non ſoluerint, nec maturuerint, aut ex naribus ſanguis fluxerit, aut vrinæ ſedimen craſſum habuerint, ægri pereunt: pleriquè verò eiuſmodi tumorum priùs ſubſident. Verùm præter hæc quoque conſiderare oportet ipſas febres, ſiue increſcant, ſiue remittant; atque ſic pronunciare. 19

A ſurditate ac torpore, de naribus leniter ſtillare, difficultatis quid habet. Vomitus his conuenict, & alui turbatio. 20

Ex ſurditate leniter abſceſſus ad aures fiunt, tum aliàs, tum ſi quid anxietatis accedat: ſed & comate inſuper oppreſſis etiam magis parotides fiunt. 21

Surditatem ex febribus, fluor è naribus ſoluit, ac alui turbatio. 22

CAPVT VI.

Facies quæ ex tumida ſubſidet, & vox quæ læuior ac debilior fit, & ſpiritus rarior ac læuior, remiſſionem in ſequentem diem ſignificat. 1

Faciei corruptio, letalis: verùm minus, ſi propter vigilias, aut famem, aut alui exturbationem fiat. Sed id quod his de cauſis corruptum eſt, ſedetur die ac nocte. Talis autem fuerit facies: oculi caui, naſus acutus, tempora collapſa, au- 2

ςαλμῶα, δέρμα σκληρὸν, χρῶμα ὠχρὸν ἢ μέλαν· πελιαινόμενον δὲ ἐπὶ τελέοισι βλέφαρον, ἢ χεῖλος, ἢ ῥὶς, συντόμως θανάσιμον.

3 Προσώπου εὔχροια, καὶ σκυθρωπότης ἐν ὀξεῖ, κακόν· μετώπου ξυναγωγὴ ἐπὶ τελέοισι, φρενιτικόν.

4 Περὶ πρόσωπον εὔχροια, καὶ ἱδρῶτες ἀπυρέτοισι, κένεργα παλαιὰ ὑπεόντα οἱ σημαίνει ἢ δίαιτης ἀταξίην.

5 Τὰ κατὰ ῥῖνας ἐρυθήματα κοιλίης ὑγραινομένης σημεῖα·

6 Τοῖσι κατὰ τὰ ὑποχόνδρια ἢ τὸ πλεύμονα πόνοισιν ἐμπυουμένοισι, κακόν.

7 Ὀφθαλμῶν καθαρότης καὶ τὰ λευκὰ αὐτέων ἐκ μελάνων ἢ πελιῶν καθαρὰ γινόμενα, κρίσιμον. ταχέως μὲν οὖν καθαιρομένων, ταχεῖαν σημαίνει κρίσιν· βραδέως δὲ, βραδυτέραν.

8 Τὸ ἀχλυῶδες τῶν ὀφθαλμῶν, ἢ τὸ λευκὸν ἐρυθραινόμενον, ἢ πελιαινόμενον, ἢ φλεβῶν μελάνων πληρούμενον, οὐκ ἀστεῖον· φλαῦρον δὲ καὶ τὸ τὴν αὐγὴν φεύγειν, ἢ δακρύειν, ἢ διαστρέφεσθαι, καὶ τὸ ἕτερον ἐλάσσω γίνεσθαι, πονηρόν· καὶ τὸ τὰς ὄψιας πυκνὰ διαρρίπτειν· ἢ λημία μικρὰ περὶ αὐτὰς, ἢ αἰγίδα λεπτὴν ἴσχειν· ἢ τὸ λευκὸν μεῖζον γίνεσθαι, τὸ δὲ μέλαν ἐλάσσω· ἢ κρύπτεσθαι τὸ μέλαν ὑπὸ τὸ ἄνω βλέφαρον.

πτυη-

res frigidæ ac contractæ, cutis dura, color pallidus aut niger: liueſcens verò præter hæc palpebra aut labium, aut naſus, in propinquo mors eſt.

Faciei bonus color, & tetricus vultus in morbo acuto, malus eſt. Fronti. in his contractio, phrenitidis ſignum eſt. 3

Circa faciem color bonus, & ſudores non febrientibus, ſtercora vetuſta ſubeſſe ſignificant, aut victum inordinatum. 4

Rubores circa nares, alui liquidæ ſigna ſunt. 5

Dolores circa præcordia aut pulmonem ſi ſuppurent, malum eſt. 6

Oculorum puritas, & alba ipſorum ex nigris aut liuidis pura fieri, iudicij ſignum eſt. Si igitur citò purgentur, celerem iudicationem ſignificat: ſi tardè, tardiorem. 7

Caligo oculorum, aut ſi album ipſorum rubeſcat, aut liueſcat, aut venulis nigris impleatur, bonum non eſt. Malum eſt etiam lumen refugere, aut lacrymari, aut diſtorqueri. Et alterum minorem fieri, malum eſt: &, oculos frequenter hac atque illac iactare: aut parua ſordes circa ipſos, aut concretionem tenuem albicantem habere: aut album oculi maius fieri, nigrum verò minus: aut nigrum ſub palpebram ſuperiorem occultari. Mala eſt 8

πονηρὸν δὲ καὶ κοιλότης ὀμμάτων, καὶ ἐκθλίψιες ἔξω σφοδρὰ, καὶ λαμπηδόνος ἐκθλίψιες, ὥστε τὸ μὴ δύνασθαι τὴν κόρην ἐκλείπεσθαι· καὶ βλεφαρίδων καμπυλότης, καὶ σῆξις ὀμμάτων, συνεχέως τὸ μύειν, καὶ χρώματα μεταβάλλειν, καὶ βλέφαρα μὴ συμβάλλειν ἐν τῷ καθεύδειν, ὀλέθριον· κακὸν δὲ καὶ ἰλλαινόμενος ὀφθαλμός.

9 Ὀφθαλμῶν ὄλισθος ἐν πυρετῷ γινόμενος κοιλίης πονηρίην χρονίην σημαίνει.

10 Αἱ παρ' ὀφθαλμῶν ἐπαναστάσιες ἐν τῇσιν ἀσαρκουμένοισι, κοιλίην καταῤῥηγνύουσιν.

11 Ἐπὶ ὀμμάτων διαστροφῇ, κοπώδει, πυρετώδει, ῥῖγος ὀλέθριον· καὶ οἱ κωματώδεες ἐν τουτέοισι κακόν.

12 Ὀφθαλμιῶντι ἀνδρὶ, πυρετοῦ ἐπιγινομένου, λύσις· εἰ δὲ μὴ, κίνδυνος τυφλωθῆναι, ἢ ἀπολέσθαι, ἢ ἀμφότερα.

13 Οἷσιν ὀφθαλμιῶσι κεφαλαλγίη προσγίνεται, καὶ παρακολουθεῖ χρόνον πολλὸν, κίνδυνος τυφλωθῆναι.

14 Ὀφθαλμιῶντι διάῤῥοια ἀπὸ ταὐτομάτου, χρήσιμον.

15 Ὀμμάτων ἀμαύρωσις, καὶ τὸ πεπηγὸς, ἀχλυῶδες, κακόν.

16 Ὀμμάτων ἀμαύρωσις ἅμα ἀψυχίῃ, σπασμώδεες συντόμως.

17 Ὀμμάτων ὀρθότης ἐν ὀξεῖ, καὶ κίνησις ὀξεῖα,

la eſt etiam oculorum cauitas, & expreſſio valida foras,& ſplendoris extritio,vt pupilla extendi non poſſit: & palpebrarum curuitas, & oculi fixi, & aſſiduè nictare,& colores permutare,& palpebras inter dormiendum non committere, perniciosum eſt. malus eſt & oculus peruerſus.

9 Oculorum rubor in febre ortus alui diuturnum vitium ſignificat.

10 Circa oculos puſtularum eruptiones in virium refectionibus, aluum prorumpere faciunt.

11 Oculorum diſtortioni cum laſſitudine & febre,ſuperueniens rigor perniciosus: & in his ſopore opprimi,malum.

12 Viro lippienti,febre ſuperueniente,ſolutio: ſin minùs,periculum eſt ne cæcus fiat,aut pereat,aut vtrunque accidat.

13 Quibus lippientibus capitis dolor accedit, & ad multum tempus comitatur, periculum eſt,ne cæci fiant.

14 Lippienti alui profluuium ſpontaneum,vtile eſt.

15 Oculorum obſcuratio,& oculus fixus, caliginoſus,malus.

16 Oculorum obſcuratio cum animi deliquio,breui conuulſionem inducit.

17 Oculorum rectitudo in morbo acuto, & mo-

ὀξεῖν, καὶ ὕπνος ταραχώδης, ἀγρυπνίη, ποτὲ δὲ καὶ στάξις ἐκ ῥινῶν. **

18 Πρὸς τὴν ὀσφὺν μὴ περιψύξιες, φρενιτικοὶ γίνονται, καὶ μᾶλλον ἢν αἷμα ῥυῇ.

VII.

1 Γλῶσσα δὲ κατ' ἀρχὰς μὲν πεφρυκυῖα, τῷ δὲ χρώματι διαμένουσα, προϊόντος δὲ τοῦ χρόνου τραχυνομένη, καὶ πελιαινομένη, καὶ ῥηγνυμένη, θανάσιμον. σφόδρα δὲ μελαινομένη, ἐν τεσσαρεσκαιδεκάτῃ κρίσιν γενέσθαι δηλοῖ. χαλεπωτάτη δὲ ἐστὶν ἡ μέλαινα καὶ χλωρή.

2 Γλῶσσα παρὰ τὸ διηνεκὲς ὥσπερ σιάλῳ λευκῷ καταλελεῖφθαι, σημεῖον ἀνέσιος πυρετοῦ, παχέος μὲν ἐόντος τοῦ ἐπιχρίσματος, αὐθήμερον· λεπτοτέρου δὲ, ἐς τὴν ὑστεραίην· ἔτι λεπτοτέρου, τριταίην. τὰ δ' αὐτὰ σημαίνει καὶ ἐπ' ἄκρην τὴν γλῶσσαν γινόμενα, ἧσσον δέ.

3 Γλῶσσαι βοώδεις μετ' ἐρυθήματος κατὰ ῥῖνας, καὶ κοιλίης ὑγρῆς· τὰ δὲ ἄλλα ἀσήμως ἔχοντα κατὰ πλεῖστα, πονηραί, καὶ ὀξείας καθάρσιας ὀλεθρίους σημαίνει.

4 Γλῶσσα παρὰ λόγον ἐπαλλομένη, καὶ ἀσώδης μεθ' ἱδρῶτος ψυχροῦ ἐπὶ κοιλίῃ ὑγρῇ, μελάνων ἐμέτων ἐστὶ σημεῖον. τὸ κοπιῶδες ἐν τούτοισι κακόν.

5 Αἱ τρομώδεες γλῶσσαι ποτὲ καὶ κοιλίην ὑγρὴν ποτὲ ποιέουσι· μελανθεῖσαι δὲ ἐν τεταρ-

τίας

& motus velox, & ſomnus turbulentus, & vigiliæ, & quandoque ſanguinis è naribus ſtillationes, nihil boni.

Qui febres ad tactum non adurentes habent, phrenitici fiunt, & magis ſi ſanguis fluxerit. 18

CAPVT VII.

Lingua quæ principio quidem inaruit, in colore verò permanet; progreſſu autem temporis exaſperatur & liueſcit, & finditur, letalis eſt. Si verò valdè nigreſcat, quartadecima die iudicationem fore ſignificat. periculoſiſſima autem eſt nigra, & cum virore pallida. 1

Linguam circa bifidam ſui partem velut ſaliua alba obduci, febris remiſſionis ſignum eſt, ſiquidem id quod ſuperinductum eſt, craſſum fuerit, eadem die: ſi verò tenuius, poſtridie: ſi verò adhuc tenuius, tertia die. Eadem ſignificant etiam, ſi circa ſummam linguam fiant, ſed minùs. 2

Lingua tremula cum rubore iuxta nares, & aluo liquida, ſi & reliqua ſine ſignis ſint circa pulmonem, malum eſt, & celeres purgationes pernicioſas ſignificat. 3

Lingua citra rationem emollita & faſtidioſa cum frigido ſudore ab aluo liquida, nigrorum vomituum ſignum eſt: laſſitudo in his mala eſt. 4

Linguæ tremulæ quibuſdam & aluum liquidam quandoque faciunt: denigratæ 5

δέοντι, ταχὺ καὶ θάνατον σημαίνουσιν. ἢν δέ γε τρομώδης γλῶσσα σημαίνῃ οὐχ ἱδρυμένην γνώμην.

6 Αἱ δασεῖαι καλάζουσαι, φρενιτικαί.

VIII.

1 Ὀδόντας συμπρίζειν ἢ πρίειν, ᾧ μὴ σύνηθες ἐκ παιδίου, μανικὸν καὶ θανάσιμον· ἤδη δὲ παραφρονέοντι ἢν ποιέῃ τοῦτο, παντελῶς ὀλέθριον. ὀλέθριον δὲ καὶ ξηραίνεσθαι τοὺς ὀδόντας.

2 Ὀδόντος σφακελισμὸς ἀπόστημα παρ' οὖλον γινόμενον λύει.

3 Ἐπὶ ὀδόντος σφακελισμῷ πυρετοὺς ἐπιγενομένους σφοδρούς, καὶ παραφροσύνην, θανάσιμον· ἢν δὲ σώζωνται, ἕλκεα ἐκπυήσει, καὶ ὀστέα ἀφίσταται.

4 Οἷσι περὶ τὴν ὑπερῴην ὑγροῦ σύστασις γίνεται, ὡς τὰ πολλὰ πυοῦται.

5 Τὰ περὶ γνάθους ἀλγήματα σφοδρά, κίνδυνος εἰς ὀστέα ἀνάπλωσιν ἐλθεῖν.

6 Χεῖλος συσπώμενον σημαίνει κοιλίης χολώδεος καταρρῆξιν.

7 Τὰ ἀπὸ ἑλκῶν αἵματα ἐπὶ κοιλίῃ ὑγρῇ, ὀλέθρια.

8 Πτυάλων ἀναχρέμψιες ἐν πυρετοῖσιν ὀξιδ-ναὶ, μέλαιναι, χολώδεες, ἐπιστᾶσαι δὲ κακόν· ἀποχωρίζουσαι δὲ κατὰ λόγον χρήσιμοι.

9 Οἷσιν ἁλμώδεα πτύελα, καὶ βὴξ ὑφίσταται,

τυλίω

verò in his celerem mortem ſignificant. Num lingua tremula mentem non conſtantem ſignificat?

Linguæ aſperæ & aridæ, phreniticæ ſunt. 6

CAPVT VIII.

Dentes collidere aut ſtridere, quibus id familiare non eſt à pueris, furioſum ac letale eſt: iàm verò delirans ſi hoc faciat, penitus letale eſt. pernicioſum autem eſt & dentes reſiccari. 1

Dentis corruptio abſceſſum circa gingiuam factum ſoluit. 2

Ex dentis corruptione vehemens febris ſuperueniens, & delirium, letale eſt: ſi verò ſeruentur, vlcera ſuppurabunt, & oſſa abſcedent. 3

Quibus circa palatum humoris collectio facta fuerit, plerunque ſuppurat. 4

Vbi dolores vehementes circa maxillas, ibi periculum eſt, ne ad oſſis eductionem deueniant. 5

Labium contractum alui bilioſæ eruptionem ſignificat. 6

Sanguis de gingiuis ab aluo liquida, pernicioſus. 7

Sputi exſcreationes in febre liuidæ, nigræ, bilioſæ, ſuppreſſæ quidem, malæ: at expurgatæ pro ratione, vtiles. 8

Quibus ſalſuginoſa ſputa ac tuſſis 9
ſuppri-

τουτέοισι χρὼς ἐρυθραίνεται, ὅτε ἐξανθίσματα· περὶ δὲ τὸ στῆθος, τῆς τραχύνεται.

10 Ἀναχρέμψεις πυκναὶ, ἢν δή τι καὶ ἄλλο σημεῖον προσῇ, φρενιτικόν.

IX.

1 Αἱ μετ' ἐκλύσιος ἀφωνίαι, κάκισται.

2 Αἱ ἐπ' ὀλίγον θρασέες παρακρούσιες, πονηρὸν καὶ θηριώδεες.

3 Οἷσι φωνὴ ἅμα πυρετῷ ἐκλείπει μετὰ ἀκρισίας, τρομώδεες θνήσκουσι.

4 Αἱ ἐν πυρετῷ ἀφωνίαι σπασμώδεα τρόπον, ἐκστᾶσαι σιγῇ, ὀλέθριον.

5 Αἱ ἐκ πόνου ἀφωνίαι, δυσθάνατοι.

6 Αἱ μετ' ἐκλύσιος κατόχου ἀφωνίαι, ὀλέθριαι.

7 Αἱ κατακλώμεναι φωναὶ μετὰ φαρμακείην, ὅρα πονηρὸν, τουτέων οἱ πλεῖστοι ἐφιδρῶσι, καὶ κοιλίας καταξυγχέονται.

8 Ἐν ἀφωνίῃ πνεῦμα ὅτε τοῖσι πνιγομένοισι προύχεον, πονηρόν· ἄρά γε καὶ παρακρουστικόν.

9 Αἱ ἐκ κεφαλαλγίης ἀφωνίαι ἅμα ἱδρῶτι πυρετώδεες, χαλῶντα ἐπ' αὐτὰς ἀνίεται χρονιώτερα. ἐπιῤῥιγοῦνται τουτέοισιν, οὐ πονηρόν

10 Αἱ μετὰ ἀφωνίης ἐκστάσιες, ὀλέθριαι.

Αἱ τῇ-

ſupprimuntur, his corpus rubeſcit tanquam puſtulis enatis, verùm ante obitum exaſperatur.

Screatio frequens, ſi ſanè & aliud 10
quoddam ſignum affuerit, phrenitidem indicat.

CAPVT IX.

Vocis interceptiones cum exolutione 1
peſſimæ.

Deliria parumper ferocia, mala & ad 2
immanitatem tranſeunt.

Quibus vox accedente febre deficit ſine 3
iudicatione, tremuli moriuntur.

Vocis interceptiones in febre in mo- 4
dum conuulſionis, ad inſaniam cum ſilentio tranſire, pernicioſum.

Quibus vocis ex dolore interceptiones, 5
hi ægre moriuntur.

Vocis interceptiones cum exolutiones catochi modo, pernicioſæ ſunt.

Voces confractæ à medicamenti ſum- 7
ptione, num prauæ ſunt? plerique horum exudant, & aluos humidas habent.

In vocis interceptione ſpiritus, velut 8
his qui ſuffocantur, promptè motu conſpicuus, malus eſt, nū & mentem emouet?

Ex capitis dolore vocis interceptiones 9
ſi ſint, febricitantes cum ſudore, laxantur in ſeipſos, fiúntque morbi reuertentes diutius durantes: hi, inſuper rigere, malum non eſt.

Inſaniæ cum vocis interceptione, per- 10
nicioſæ.

Vocis

11 Αἱ τῇσιν ἐπιρριγέουσιν ἀφωνίαι, θανάσιμον· εἰσὶ δὲ κεφαλαλγέες οἱ τοιοῦτοι ἐπιεικέως.

12 Αἱ μετ' ἐκλύσιος ἀφωνίαι, ἐν πυρετῷ ὀξεῖ ἀνιδρῶτι, εἰσὶ μὲν θανάσιμοι, ἧσσον δὲ τῷ ἐφιδροῦντι, χρόνιοι δὲ σημαίνουσι. ἴσως δὲ καὶ αἱ ἐξ ἐπιστροφῆς παθόντι τι τοιοῦτο, ἀσφαλέσταται· ὀλεθριώταται δὲ τῶν τοιούτων, αἷς τε τὰ ἐκ ῥινῶν, καὶ οἷσι κοιλίαι καταξηραίνονται.

13 Ἡ ὀξυφωνίη κλαυθμώδης, καὶ ὀμμάτων ἀμαύρωσις, σπασμώδεες· οἱ ἐς τὰ κάτω ἄτονοι, τελέουσιν δι' ἄφορον.

14 Ἥμα φωνῇ τρομώδης, λύσις κοιλίης παράλογος, ἐν τελέουσι διεστηκότι χρονίοισιν ὀλέθριον.

15 Αἱ πυκναὶ ὑποχαρώδεες ἀφωνίαι ξυστᾶσαι, φθινώδεα περισημαίνουσι.

X

1 Πνεῦμα πυκνὸν μὲν καὶ σμικρὸν ἐὸν, φλεγμονὴν καὶ πόνον ἐν τοῖσι καιρίοισι τόποισι σημαίνει. μέγα δὲ καὶ διὰ πολλοῦ, παρακρουσίην ἢ σπασμόν. ψυχρὸν μὲν θανάσιμον; θανάσιμον δὲ καὶ πυρετῶδες καὶ λιγνυῶδες πνεῦμα, ἧσσον δὲ τοῦ ψυχροῦ. καὶ τὸ μέγα ἔξω πνεόμενον, σμικρὸν δὲ εἴσω, καὶ τὸ μικρὸν ἔξω, μέγα δὲ εἴσω, κάκιστον δὴ καὶ πλησίον θανάτου· καὶ τὸ ἐκλεῖπον καὶ καταπεῖγον, καὶ ἀμαυρὸν, καὶ διπλῆ εἴσω ἐπανάκλησις, ὁποία

Vocis interceptiones ſubinde rigentibus letales: tales autem leniter caput dolent. 11

Vocis interceptiones cum exolutione in febre acuta ſine ſudore, ſunt quidem letales: minus verò inſudanti, ſed diuturnitatem ſignificant. forſan autem & qui ex recidiua tale quid patiuntur, tutiſſimi ſunt: pernicioſiſſime autem ex iſtis habent, quibus ſanguis ex naribus fluit, & quibus alui humectantur. 12

Vox acuta plorantium ſimilis, & oculorum obſcuratio, conuulſionem affert: dolores his ad infernas partes, toleratu faciles ſunt. 13

Cum voce tremula, ſolutio alui præter rationem, in his moram trahentibus diuturnis, pernicies eſt. 14

Frequentes ſubſoporatæ, vocis interceptiones cōſiſtentes, tabem præſignant. 15

CAPVT X.

Spiritus frequens quidem & paruus, inflammationem & dolorem in locis principiis ſignificat: at magnus & rarus, delirium aut conuulſionem. Frigidus quidem letalis eſt, letalis autem eſt & febriculoſus & fuliginoſus ſpiritus, minus tamen quàm frigidus. Et qui magnus foràs exſpiratur, paruus verò intrò, & paruus forās, magnus verò intrò, peſſimus ſanè eſt, & morti propinquus: itémque extendens, & vrgens, & obſcurus, & duplex intrò reuocatio, qualis ſuper inſpiran- 1 2

ὀπίσω ἐπεισαπνέουσι· ἄπνοια δ' ἐν πᾶσι ὁκόσα ἐν πυρετῷ ὀξεῖ, καὶ ἐν παραφρονοῦσι ἢν ὑπέρῃ κρίνεται, μετ' ἄλλων ἔχει ῥοπὴν ἐς σωτηρίην.

2 Τράχηλος σκληρὸς καὶ ἐπώδυνος, καὶ γνάθων συνδέσεις, καὶ φλεβῶν σφαγιτίδων παλμοὶ ἰσχυροὶ, καὶ τενόντων ξυντάσεις, ὀλέθριον.

3 Τὰ ἐν φάρυγγι ἰσχνὰ ἀλγήματα πνιγώδεα, ἀπὸ κεφαλῆς ἀλγηθέντος ὁρμώμενα, σπασμώδεα.

4 Αἱ τραχήλου καὶ μεταφρένου ψύξιες δοκέουσαι, καὶ ὅλου δὲ τοῦ σώματος, σπασμώδεες· ἐν τελέοισι κρισιμώδεες ὑπάρχουσι.

5 Οἷσι κατὰ φάρυγγα ἐρεθισμοὶ, ἐπιεικέως τὰ παρ' οὖς ἐπάρματα, ὀλέθριον ὀξέως.

6 Φάρυγξ ἐπώδυνος, ἰσχνὴ, μετὰ δυσφορίης,

7 Οἷσι πνεῦμα ἀνέλκεται, καὶ φωνὴ πνιγμώδης, σπόνδυλός τε ἐγκάμπτεται, τουτέοισι ἐπὶ τῇσι βελτίοσιν δεῖ συσπῶντός τινος τὸ πνεῦμα γίνεται.

8 Φάρυγξ τρηχυνθεῖσα ἐπ' ὀλίγον, καὶ κοιλίη κενεῶσιν ἀναστάσιες, μετάπτῳ ἀλγήματα, ψηλαφώδεες, ὀδυνώδεες· τὰ ἐν τελέοισιν αὐξανόμενα, δύσκολα.

9 Τὰ κατὰ φάρυγγα ἰσχυρὰ ἀλγήματα, τὸ παρ' οὖς ἔπαρμα καὶ σπασμὸς ἐργάζεται.

10 Καὶ τραχήλου καὶ τούτου ἀλγήματα, μετὰ πυρετοῦ ὀξέος καὶ σπασμοῦ, ὀλέθριον.

Τραχη-

ſpirantibus. Facilis autem ſpiratio in omnibus morbis qui cum febre acuta ſunt, & in quadraginta diebus iudicantur, magnum momentum ad ſalutem habet.

Collum durum & dolens, & maxillarum colligatio, & venarum iugularium palpitatio fortis, & tendinum diſtentio, perniciosa. 2

Dolores in faucibus gracilibus ſuffocantes, à capitis dolore originem trahentes, conuulſiones pariunt. 3

Frigiditates colli ac dorſi apparentes, ſed & totius corporis, conuulſionis ſunt prænuntiæ: in his vrinæ craſſiorem farinam referunt. 4

Quibus circa fauces irritamenta ſunt, his mites tumores circa aurem. 5

Fauces vehementer dolentes, graciles, cum inquietatione ſummè perniciosæ ſunt. 6

Quibus ſpiritus retrahitur, & vox iis qui ſtrangulantur ſimilis eſt, & vertebra intrò conſidet, his ſub mortem velut contrahente quodam ſpiritus redditur. 7

Fauces modicè exaſperatæ, & aluus vanis conatibus nitens, frontis dolores, ægri palpando contrectantes, dolentes: quæ ex his augeſcunt, difficilia ſunt. 8

Dolores graues circa fauces, tumores ad aurem, & conuulſiones excitant. 9

Colli item ac dorſi dolores, cum febre acuta & conuulſione, pernicioſi. 10

 Colli

11 Τραχήλου καὶ πηχέων ἀλγήματα, σπασμώδεα. ἀπὸ προσώπου δὲ ταῦτα, καὶ κατὰ φάρυγγα.

12 Οἱ χροιῇ, ἰσχνοὶ, πτυαλίζοντες: ἐν τελέεσιν ἐν ὕπνοισιν ἱδρῶντες ἀγαθοί. ἤρξέ γε καὶ τῷ ἱδρῶτι κουφίζεσθαι, τοῖσι πλείστοισιν οὐ πονηρόν· οἱ ἐς τὰ κάτω πόνοι, τελέεσιν δύσφοροι.

13 Ἐν ἀλγήματι νώτου καὶ στήθεος αἱματώδης οὔρησις ἐπιστᾶσα, ὀλέθριος ἐπιπόνως.

14 Τραχήλου πόνος, κακὸν μὲν ἐπὶ πυρετῷ παντί, κάκιστον δὲ ἐν οἷσι καὶ ἐκμανῆναι ἐλπίς.

15 Ἐπὶ στήθεος ἀλγήματι πυρετώδει, καὶ κοιλίη ταραχώδης, καρώδης, σημεῖα μελαινῶν ὑποχωρησίων.

16 Τὰ ἐν ὀξέσι κατὰ φάρυγγα ἰσχνὰ μικρὰ ὀδυνώδεα, ὅτε χάνοι μὴ ῥηϊδίως συνάγοντι ἰσχνῶ, παρακρουστικά. ἐκ τουτέων φρενιτικοὶ, ὀλέθριοι.

17 Φάρυγξ ἑλκωθεῖσα ἐν πυρετῷ μετ' ἄλλου σημείου τῶν δυσκόλων, κινδυνώδης.

18 Ἐν πυρετοῖσιν ἐξαπίνης πνίγεσθαι, καὶ καταπίνειν μὴ δύνασθαι, χωρὶς οἰδήματος, κακόν.

19 Τράχηλον ἐπιστραφῆναι μὴ δύνασθαι, μηδὲ καταπίνειν, θανάσιμον ὡς τὰ πολλά.

XI.

1 Ὑποχόνδριον δὲ χρὴ μαλθακὸν εἶναι, καὶ ἄπονον καὶ ὁμαλές· φλεγμαῖνον δὲ, ἢ ἀνωμά-

λως

Colli & cubitorum dolores, conuulſiones inducunt: à facie autem hi, & ſecundum fauces. 11

Pallidi, graciles ſputantes, in his per ſomnos ſudores boni ſunt. num & ſudore leuari, plurimis non malum eſt? dolores ad infernas partes delati, his toleratu faciles ſunt. 12

In dorſi ac pectoris dolore vrina cruenta ſuppreſſa, perniciosa eſt cum dolore. 13

Colli dolor, malus quidem in omni febre, peſſimus autem his quibus metus eſt vt etiam inſaniant. 14

In pectoris dolore febriculoſo, aluus turbata, torpida, nigrarum deiectionum ſigna ſunt. 15

Dolores parui in acutis iuxta fauces graciles, in gracili, vbi hiarit, non facilè os contrahente, mentem emouent. ex his phrenitici perniciosè habent. 16

Fauces exulceratæ in febre cum alio ſigno difficili, periculoſæ ſunt. 17

In febribus derepente ſuffocari, nec deglutire poſſe, citra tumorem, malum eſt. 18

Collum conuerti non poſſe, nec ægrum deglutire, vt plurimùm letale eſt. 19

CAPVT XI.

Hypochondrium molle eſſe conuenit, & doloris expers, & æquale: at inflam- 1

λας ἔχειν, ἢ ἀλγεόμενοι, σημεῖον ἀῤῥωστίης ἐστὶν οὐκ εὐήθεος.

2 Οἴδημα δὲ ἐν ὑποχονδρίοισι σκληρόν τε ἐὸν καὶ ἐπώδυνον, κάκιστον μὲν, εἰ παρὰ πάντων εἴη τῶν μερέων· τὸ δὲ ἐκ τοῦ ἑνὸς μέρεος, ἀκινδυνότερον τὸ ἐκ τοῦ ἀριστεροῦ. σημαίνει δὲ ἐν ἀρχῇ μὲν τὰ τοιαῦτα θάνατον σύντομον· ὑπερβάλλοντα δὲ τὰς εἴκοσι, τοῦ πυρετοῦ μένοντος, ἐμπύησιν. γίνεται δὲ τούτοισιν ἐν τῇ προτέρῃ περιόδῳ ῥῆξις αἵματος διὰ ῥινῶν, καὶ κάρτα ὠφελέει. τὰ γὰρ πολλὰ κεφαλὴν εἴ τι πονέοι, καὶ ὄψις ἀμαυροῦται. καὶ μᾶλλον εἰς ταῦτα προσγίνεσθαι προσδέχου τὴν ῥῆξιν· ἡλικίῃσι δὲ πέντε καὶ τριήκοντα ἐτέων· τοῖσι δὲ πρεσβυτέροισιν, ἧσσον.

3 Τὰ μαλθακὰ δὲ καὶ ἀνώδυνα τῶν οἰδημάτων, χρονιώτερα δὲ τὰς κρίσιας ποιέεται, ἧσσόν ἐστιν ἐπικίνδυνα· τὰς δὲ ἑξήκοντα καὶ ταῦτα ὑπερβάλλοντα, τοῦ πυρετοῦ μένοντος, ἐμπυεῖται. παραπλήσια δὲ σημαίνει πάντη ἐν ὑποχονδρίοισι καὶ τὰ περὶ κοιλίην. πλὴν ἧσσον ἐμπυεῖται ταῦτα ἐκείνων. ἥκιστα δὲ ὑπ' ὀμφαλόν: καὶ γίνεται δὲ ταῦτα μὲν ἐν χιτῶνι, τὰ δ' ἄνω κεχυμένα. θανάσιμα δ' ἐστὶν αὐτέων, ὅσα ἂν εἴσω ῥαγῇ· τῶν δὲ λοιπῶν ἐμπυημάτων, τὰ μὲν ἔξω ῥηγνύμενα, βέλτιστον μὲν ὡς εἰς ἐλάχιστον καὶ ὀξύτατον συλλέγεσθαι· τὰ δὲ εἴσω, μήτε ὄγκῳ, μήτε πόνῳ,

μήτε

matum, aut inæqualiter ſe habens, aut dolens, ſignum eſt ægritudinis non leuis.

Tumor verò in hypochondriis durus 2
& dolens, peſſimus quidem eſt, ſi ab omnibus partibus fuerit. ex his autem qui ab vna parte ſunt, minùs periculoſus eſt qui à ſiniſtris. ſignificant autem in principio quidem tales mortem citam: ſi verò viginti dies ſuperent, febre manente, ſuppurationem. Contingit autem his in primo circuitu ſanguinis eruptio è naribus, & valdè prodeſt. plerunque enim hi caput dolent, & viſus obſcuratur. & magis ad hæc ſanguinis eruptionem aſtore expecta: in ætatibus autem annorum triginta quinque, ſenioribus verò minùs.

At verò molles & ſine dolore tumo- 3
res, tardiùs iudicantur, & minùs periculoſi ſunt: ſed & hi ſexaginta dies transgredientes, febre manente, ſuppurantur. Quin & tumores circa ventrem conſimilia his ſignificant qui in hypochondriis excitantur: niſi quòd minus hi ſuppurantur quàm illi. minimùm verò qui ſub vmbilico conſiſtunt. Fiunt autem hi quidem in tunica, illi verò ſurſum diffuſi. Letales porrò ſunt ex ipſis, quicunque intrò rupti fuerint. ex reliquis autem ſuppurationibus, quæ quidem foras rumpuntur, optimum eſt vt in minimam & acutiſſimam molem colligantur: quæ verò intrò, vt neque tumore, neque dolore, ne-

μήτε χρώματι διάδηλον ἔξω ποιέῃ· τὸ δὲ ἐναντίον κάκιστον· τινὰ δὲ τούτων διὰ πάχος [illegible], οὐ διασημαίνει. τὰ δὲ περίστατα τῶν ἐν τοῖσιν ὑποχονδρίοισιν ἐπαρμάτων, ἢν μὴ σὺν φλεγμονῇ ᾖ, καὶ τὸν ἀπ' αὐτῆς πόνον λύει βορβορυγμὸς γινόμενος ἐν ὑποχονδρίῳ, καὶ μάλιστα μὲν διεκπεσὼν δι' οὔρων καὶ διαχωρημάτων· εἰ δὲ μὴ, καὶ αὐτὸς διαπεραιωθείς· ὠφελεῖ δὲ καὶ ὑποκαταβὰς ἐς τὰ κάτω χωρία.

4 Σφυγμὸς ἐν ὑποχονδρίῳ, μετὰ θορύβου, παρακρουστικὸν, καὶ μᾶλλον ἢν ὄψιες πυκνὰ κινέωνται.

5 Καρδίης πόνος καὶ σφυγμὸς ὑποχονδρίων, πυρετοῦ περιψυχθέντος, κακὸν, ἄλλως τε κἢν ἐφιδρῶσιν.

6 Ἐς ὑποχόνδριον ἐμπίπτοντα ἀλγήματα, ἄλλως τε πονηρὸν, καὶ ἢν κοιλίης καθυγραίνῃ· κακίω δὲ ἐν ὀλίγῳ γινόμενα. καὶ τὰ παρ' οὖς τε αἰστάμενα ἐκ τουτέων, κακοήθεα, καὶ τὰ ἄλλα ἐκπυήματα.

7 Καρδιαλγικὰ καὶ μετὰ στρόφου, κοιλίης θηρίου καταῤῥήγνυται.

8 Καρδίης ἄλγημα πρεσβυτέρῳ πυκνὰ ἐπιφοιτέον, θάνατον ἐξαπίναιον σημαίνει.

9 Οἷσιν ὑποχόνδρια μετεωρίζεται, κοιλίης ὑποστάσης, κακόν· μάλιστα δὲ ἐν φθινάδεσι τῶν μακρῶν, καὶ οἷσι κοιλίαι ὑγραίνονται.

Ἐν ὑπο-

que colore foris ſe manifeſtas faciant: contrarium autem peſſimum eſt. Quædam verò ex his præ puris craſſitie ſignum nullum edunt. Porrò recentes in hypochondriis tumores, ſi abſque inflammatione fuerint, & dolores ab ipſis, ſoluit murmur in hypochondrio ortum, & maximè quidem ſi cum vrina & ſtercore exceſſerit: ſin minùs, ſi ipſum ſolum pertranſierit: ſed prodeſt quoque ſi ſenſim ad inferiores locos deſcenderit.

Pulſus in hypochondrio delirium tumultuoſum portendit, & præſertim ſi oculi frequenter moueantur. 4

Oris ventriculi dolor, & pulſus hypochondriorum, febre perfrigerata, malus, tum aliàs, tum ſi leuiter inſudarint. 5

Dolores in hypochondrium irruentes, tum aliàs mali ſunt, tum ſi aluos humectent: peiores autem, ſi breui fiant, & tumores circa aurem ex his emergentes, maligni ſunt, aliæque ſuppurationes. 6

Oris ventriculi dolores cum tormine, ventris animalcula erumpere faciunt. 7

Oris ventriculi dolor ſeniorem frequenter impetens, mortem repentinam ſignificat. 8

Quibus hypochondria tumeſcunt, aluo ſuppreſſa, malum eſt, maximè autem in morbis tabidis longis, & quibus alui humectantur. 9

In hy-

10 Ἐν ὑποχονδρίῳ φλεγμονὴ ἀποπυητικὴ ἐστιν, οἷς περὶ τῶν θανάτων μέλλουσα διαχωρεῖ.

11 Ὑποχονδρίων συντάσεις μετὰ κώματος ἀσώδεος, κεφαλαλγικῷ τὰ παρ' οὖς ἐπαίρει.

12 Μετὰ ὑποχονδρίων ἔπαρσιν, τοῖσι χολώδεσι οἴδημα μέγα καὶ πυρετὸς ὀξὺς, τὰ παρ' οὖς ἐπαίρει.

13 Ἐν ὑποχονδρίων ἀλγήματι ὑποβορβορύζοντι, ὀσφύος ἄλγημα ἐπιγινόμενον ἐν πυρετοῖς, κοιλίας ἐπὶ τὸ πολὺ καθυγραίνει, ἢν μὴ φῦσα καταρραγῇ, ἢ οὔρου πλῆθος ἔλθῃ.

14 Ἐπὶ ὑποχονδρίῳ χρονίῳ, καὶ κοιλίῃ δυσώδει, παρ' οὖς ἀπόστημα κτείνει.

15 Τοῖσιν ἀπὸ ὑποχονδρίων ἀλγήμασιν κοιλίη κατὰ μικρὸν ὑπόγλισχρα διαδιδοῦσα βραχία κοπρώδεα ἐκχέοι, ἆρα καὶ αἱμορραγεῖ;

16 Οἷσιν ἐξαίφνης ἀπυρέτοισιν ἐοῦσιν, ὑποχονδρίου καὶ καρδίης πόνος, καὶ περὶ σκέλεα καὶ τὰ κάτω μέρεα, καὶ κοιλίη ἐπῆρται, λύει φλεβοτομίη, καὶ κοιλίης ῥύσις. πυρέξαι βλαβερὸν τούτοισι· μακροὶ γὰρ οἱ πυρετοὶ καὶ ἰσχυροὶ γίνονται, καὶ βῆχες, καὶ πνεῦμα, καὶ λυγμοὶ ἐγγίνονται. λύεσθαι δὲ μελλόντων τούτων, πόνος ἰσχυρὸς ἰσχίων ἢ σκελέων ἢ πύου πτύσις, ἢ ὀφθαλμῶν στέρησις ἐπιγίνεται.

17 Οἷσι πόνοι ὑποχονδρίων, καρδίης, ἥπατος,

In hypochondrio inflammatio ſuppurata eſt, quibus ante mortem nigra per aluum ſubeunt. 10

Hypochondriorum diſtentio cum ſopore anxio, capite dolente, abſceſſus circa aurem attollit. 11

Poſt hypochondriorum tumorem, bilioſis ſpiritus magnus & febris acuta, abſceſſus circa aurem attollit. 12

In dolore hypochondriorum ſubmurmuranti, lumborum dolor ſuperueniens in febribus, ventres vt plurimum humectat, niſi flatus eruperit, aut vrinæ copia prodierit. 13

Poſt hypochondrium diutius ſuſpenſum & aluum graueolentem abſceſſus circa aurem occidit. 14

Quibus ab hypochondriorum doloribus aluus paulatim ſubuiſcida egerens, pauca ſtercoracea effundit, num etiam ſanguinem effundit? 15

Quibus ſine febre agentibus, ſubitò hypochondrij & oris ventriculi dolor, crurum item & inferiorum partium, venterque in tumorem ſublatus eſt, his medetur venæ ſectio, & alui fluxio. febricitaſſe his noxium eſt: longæ enim & vehementes febres oriuntur, tuſſes item & ſpiritus, ſingultúsque fiunt. Quòd ſi ſolutio futura eſt, dolor fortis coxarum, aut crurum, aut puris ſputum, aut oculorum priuatio ſuccedit. 16

Quibus dolores hypochondriorum, 17 oris

τος, τῶν περὶ ὀμφαλὸν μερῶν, αἵματος διαχωρήσαντος, σώζονται· μὴ διαχωρήσαντος δὲ, θνήσκουσιν.

18 Οἷσιν ὑποχόνδρια μὴ λαπαρὰ, πρόσωπον ἐῤῥωμένον, οὐ λύονται χωρὶς αἵματος ῥύσιος ἐκ ῥινῶν πολλοῦ, ἢ σπασμοῦ, ἢ ὀδύνης ἰσχίων.

19 Αἱ πρὸς ὑποχόνδρια ἐν πυρετῷ ὀδύναι ἀναύδῳ, ἀνιδρωτὶ λυόμεναι, κακόν· τρέπονται ἐς ἰσχία ἀλγήματα.

20 Οἱ κατὰ κοιλίην ἐν πυρετῷ παλμοὶ ἐκστάσιας ποιέουσιν· αἱμοῤῥοΐη δὲ φρικώδης.

21 Αἱ ἐς ὑποχόνδρια ἐν πυρετῷ ὀδύναι ἀναΐσσουσαι, ἀνιδρωτὶ λυόμεναι, κακοήθεες, τρέπονται ἐς ἰσχία ἀλγήματα, ἅμα πυρετῷ καυσώδει, κοιλίη καταῤῥαγεῖσα, ὀλέθριον.

22 Οἱ περὶ ὀμφαλὸν πόνοι παλμώδεες, ἔχουσι μέν τι καὶ γνώμης παραφορήν· περὶ κρίσιν δ' οὖν τούτοισι φλέγμα ἀλὲς συχνὸν σὺν πόνῳ διέρχεται.

23 Μετὰ κοιλίης ὑπόστασιν ὑποχόνδρια μετέωρα, κακόν· μάλιστα δὲ τοῖσι φθινώδεσι τῶν μακρῶν, καὶ οἷσι κοιλίη ὑγραίνεται.

24 Τῇσιν ἀλυσμώδεσιν ἐν ὑποχονδρίῳ τὰ σπασμοῖς ἐπαρθέντα, κτείνει.

25 Τὰ κατὰ κοιλίην σκληρύσματα μετὰ πόνου, πυρετοῖσι φρικώδεσιν, ἀποσίτοισι, σμικρὰ ἐφυγραινομένης, κάθαρσιν δὲ διδόντα ἐς ἐμπύησιν ἥξει.

oris ventriculi, hepatis, partium circa vmbilicum, hi ſanguine excreto ſeruantur: non excreto, moriuntur.

Quibus hypochondria non mollia, facies ſana, non liberantur citra multi ſanguinis ex naribus fluxum, aut conuulſionem, aut coxarum dolorem. 18

Dolores ad hypochondria in febre, voce intercepta, ſine ſudore ſoluti, malum ſignum: his in coxas dolores tranſeunt. 19

Circa ventrem in febre palpitationes, mentis emotiones inducunt: ſanguinis autem fluxio cum horrore eſt. 20

Dolores in febre ad hypochondria aſſilientes, ſine ſudore ſoluti, maligni ſunt. his ad coxendices dolores fiunt, & vnà cum febre ardente aluus deorſum erumpens, pernicioſa. 21

Dolores circa vmbilicum palpitantes habent quidem aliquid etiam mentem turbans: verùm circa iudicationem pituita his valdè multa cum dolore excernitur. 22

Poſt aluum ſuppreſſam, hypochondria tumentia, mala ſunt: maximè verò tabeſcentibus iam diu, & quibus alui humectantur. 23

Anxietatem in hypochondrio ſentientes, tumores circa aurem oborti occidũt. 24

Durities circa ventrem cum dolore, in febribus cum horrore & cibi faſtidio, aluo inſuper parum humectata, ſi non expurgetur, ad ſuppurationem veniet. 25

XII.

1 Τ' περὶ ὀμφαλὸν πόνος, καὶ ὀσφύος ἄλγημα, φαρμακείῃ μὴ λυόμενα, ἐς ὑδρωπώδες ξηρὸν ἀποτελευτᾷ.

2 Τὰ δ' ἐξ ὀσφύος ἀλγήματα χρονιέοντα, πυρετῶν παραγινομένων μεταιογλυᾶς, ποιέει τὰ θρομβώδεα αἵματα διαχωρέειν.

3 Τὰ ἐν ὀσφύϊ ἀλγήματα, αἱμοῤῥοϊκά.

4 Αἱ ἐξ ὀσφύος ἀλγήματος αἱμοῤῥαγίαι, λάβραι.

5 Οἷσιν ἐξ ὀσφύος ἀλγήματος ἀναδρομὴ ἐς κεφαλὴν, καὶ χεῖρες ναρκώδεες, καὶ καρδιαλγικὰ, καὶ ἠχώδεα, αἱμοῤῥοϊκὰ λάβρως· καὶ κοιλίαι καταῤῥήγνυνται τούτοισι, καὶ γνῶμαι ταραχώδεες ἐπιπολύ. (χαὶ, δύσκολοι.

6 Αἱ ἐκ νώτου ἀλγήματος ἀῤῥωστίης ἀρ-

7 Ἐν ὀσφύος ἀλγήματι συντόνῳ, καὶ ὑποφορῇ πλείονι, ἀπ' ἐλλεβόρου ἐμέσαι ἀφρώδεα συχνὰ, ὠφελεῖ. (τος ῥύσις λύει.

8 Ῥάχιος διαστροφὴν καὶ δύσπνοιαν αἵμα-

9 Ἐν ὀσφύϊ ἐπωδυνίῃ καρδιαλγικὰ προσελθέντα, σημεῖα αἱμοῤῥοώδεα, ἢ καὶ προγεγενημένα.

10 Τὰ ἐξ ὀσφύος ἐς τράχηλον καὶ κεφαλὴν ἀναδιδόντα, παραλύοντα παραπληκτικὸν τρόπον, σπασμώδεα, παρακρουστικά. ἆρα καὶ λύεται τὰ τοιαῦτα σπασμοῖσιν; ἢ τῶν πιέτων κοιλίαι νοσέουσι διὰ τοῦ αὐτοῦ ἰόντων;

Ἐξ

CAPVT XII.

Dolor ſupra vmbilicum, & lumborum dolor, ſi remediis non ſoluantur, in hydropem ſiccum deſinunt. 1

Dolores ex lumbis diuturniores, qui febre tertio quoque die increſcente exacerbantur, grumoſum ſanguinem egerere faciunt. 2

Dolores in lumbis, ſanguinis fluxionem indicant. 3

Ex lumborum dolore ſanguinis fluxiones largæ. 4

Quibus ex lumborum dolore recurſus ad caput, & manus torpidæ, & oris ventriculi dolores, & aurium ſonitus, his ſanguis largè profluit. ſed & alui his profuſæ feruntur, & mens turbata eſt vt plurimùm. 5

Ex dorſi dolore ægritudinis principia, difficilia ſunt. 6

In lumborum dolore pertinaci, & largiori alui deiectione, à veratro vomere ſpumoſa multa, prodeſt. 7

Spinæ diſtorſionem ac ſpirandi difficultatem, ſanguinis fluxio ſoluit. 8

Ad lumborum dolorem oris ventriculi dolores accedentes, ſigna futuræ ſanguinis fluxionis ſunt, vel etiam prægreſſæ. 9

Dolores è lumbis ad collum & caput tranſeuntes, leuis ſiderationis modo reſoluentes, conuellentes, mentem turbant. num tales etiam ſoluuntur conuulſionibus? aut talium alui ægrotant per eadem ſymptomata actorum? 10

11 Ἐξ ὀσφύος ἀναδρομῆς πόνου, ὀφθαλμῶν ἴλλωσις, κακόν.

12 Πόνος ἐς στῆθος ἱδρυνθεὶς νωθρότητι, κακὸν ἐπὶ πυρετῷ. ἦ τοι ὀξέως ἀπόλλυνται.

13 Ἐξ ὀσφύος ἀλγήματος ἀναδρομαὶ ἐς καρδίην πυρετώδεες, φρικώδεες, ἐμέοντες λεπτὰ ὑδατώδεα παραφρενιχθέντες, ἄφωνοι, ἐμέσαντες μέλανα τελευτῶσι.

14 Τὰ κατ' ὀσφὺν καὶ τὸ λεπτὸν χρόνια ἀλγήματα, καὶ περὶ ὑποχόνδρια πόνοι, ἀπόσιτοι ἅμα πυρετῷ· τούτοισιν ἐς κεφαλὴν ἄλγημα σύντονον ἐλθὸν, κτείνει ὀξέως τρόπον σπασμώδεα.

15 Οἷσιν ὀσφύος ἄλγημα, ἦ τοι κακοί. ἆρα τούτοισι τρομώδεα γίνεται καὶ φαίδες ἐν ῥίγει; ἆρα τοῖς ὀσφυαλγέσιν, ἀσώδεσιν, ἐμέτοισιν, ὀλίγα θρασέως παρακρούσασιν, ἐλπὶς μέλαινα διηθεῖν;

16 Ὀσφύος πόνος καρδιαλγικῷ, μετὰ ἀναχρέμψιος βιαίης, ἔχει τι σπασμῶδες.

17 Ὑπόδεινον ἅμα κρίσει ῥῖγος.

18 Ὀσφύος ἄλγημα, αὐτίκα περιφάσιος πυκνὰ ἐπιφοιτέον, κακοήθεος ἀρρωστίης σημεῖον.

19 Ὀσφύος ἄλγημα μετὰ καύματος ἀσώδεος, πονηρόν.

20 Ὀσφύος σύντασις ἐκ γυναικείων πλήθεος, ἐκπυητικόν· καὶ τὰ ποικίλως ἰόντα, γλίσχρα, δυσώδεα, στιγώδεα ἐπὶ τοῖσι προει-

ρημέν-

Ex lumborum doloris recurſu, oculorum diſtorſio, mala. 11

Dolor in pectus firmatus torpore, malus in febre eſt, hi repentè pereunt. 12

Quibus è lumbis doloris recurſiones ad os ventriculi febriles, horridæ, quíque tenuia & aquoſa euomunt, mente moti & muti à nigrorū vomitione, ij moriuntur. 13

Diuturni circa lumbos & tenue inteſtinum dolores, & ad hypochondria labores, ægris ciborum faſtidium ferunt vnà cum febre: his dolor ingens ad caput progreſſus, repentè occidit conuulſionis modo. 14

Quibus lumbi dolent, hi malè habent. num his tremores fiunt, & papulæ rotundæ & rubentes in rigore? num lumbos dolentibus, cibos faſtidientibus, non vomentibus, paulùm ferociter mente motis, ſpes eſt nigra proditura eſſe? 15

Lumborum dolor in eo-cui ventriculi os dolet, cum exſcreatione violenta, habet quid conuulſiuum. 16

Rigor vnà cum iudicatione aliquatenus horrendus eſt. 17

Lumborum dolor ſine cauſa manifeſta ſæpe impetens, maligni morbi ſignum eſt. 18

Lumborum dolor cum æſtu anxio, malus eſt. 19

Lumborum diſtentio ex menſtruorum copia ſuppurationem minatur: & variè prodeuntes viſcoſi, graueolentes menſes, ſuffocatione prædictis malis accedente, 20

ρημένοισιν, ἐκπυητικόν. οἴομαι δὲ καὶ παρακρέειν τὶ τὰς τοιαύτας.

21 Οἷσιν ὀσφύος ἄλγημα καὶ πλευροῦ ἄνευ προφάσιος, ἰκτεριώδεες γίνονται.

XIII.

1 Αἱ ἐν κρισίμοισιν ἐκ τῶν αἱμορραγιῶν περιψύξιες νεανικαί, κάκισται.

2 Τὸ ἀνάπαλιν αἱμορραγέειν, πονηρόν, οἷον ἐπὶ σπληνὶ μεγάλῳ ἐκ τῆς δεξιῆς· καὶ ὑποχόνδρια ὡσαύτως.

3 Τὰ αἱμορραγοῦντα, ἐπιρριγοῦντα πρήγματα, κακοήθεα. διαλεγόμενοι λαθραίως τελευτῶσι.

4 Τὰ τεταρταῖα αἱμορραγοῦντα λάβρως, ἕκτῃ ἐπιρριγώσαντα, ἑβδόμῃ περιψυχθέντα, ἀναθυμιαθέντα ὀξέως, τούτοισι κοιλίαι πονηρεύονται.

5 Μεθ' αἱμορραγίην, μελάνων διαχώρησις, κακόν. πονηρὸν δὲ καὶ τὰ ἐξέρυθρα ἰδέῃ. τεταρταίοισιν αἱ πλεῖσται αἱμορραγίαι. κωματώδεες ἐκ τουτέων σπασθέντες θνήσκουσι, μελάνων προδιελθόντων, καὶ κοιλίης ἐπαρθείσης.

6 Μεθ' αἱμορροΐας καὶ μελάνων διαχωρήσιας ἐν ὀξεῖ καύσωσις, κακόν. αἵματος διαχώρησις τούτοισιν ὀλέθριον· κώφωσις δὲ λύει.

7 Οἷσιν αἱμορραγίαι πλεῦνες, προϊόντος χρόνου κοιλίαι πονηρεύονται, ἢν μὴ οὖρον πέ-

πον

ſuppurationem indicant. arbitror autem tales etiam aliquantum delirare.

Quibus lumborum & lateris dolor ſine cauſa manifeſta, hi in regium morbum incidunt. 21

CAPVT XIII.

Perfrigerationes à ſanguinis eruptionibus in diebus iudicatoriis vehementes, peſſimæ ſunt. 1

Sanguinem non è directo erumpere, malum eſt, velut in ſplene magno è dextris : ſimiliter in hypochondriis res habet. 2

Vulneratè quibus ſanguis erumpit, rigore accedente, maligna. ſic affecti colloquentes latenter moriuntur. 3

Qui quinto die ſanguinem largè fundunt, ſexta ſuperriguerunt, ſeptima perfriguerunt, & repentè recaluerunt, his alui malè afficiuntur. 4

Poſt ſanguinis eruptionem nigrorum deiectio, mala. mala autem & prærubra & æruginoſa. quarta die tales fiunt ſanguinis eruptiones. comate detenti ex talibus conuulſi moriuntur, nigris priùs excretis, & ventre tumefacto. 5

Poſt ſanguinis profluuia & nigrorum egeſtiones in acuto ſurditas, mala. ſanguinis deiectio his perniciosa: ſed ſurditas ſoluit. 6

Quibus ſanguinis eruptiones plures, temporis progreſſu malè afficiuntur, niſi 7

ποτ᾽ἔλθῃ. ἆρά γε τὸ ὑδατῶδες οὖρον τοιοῦτόν τι σημαίνει;

8 Οἷσιν ἐπὶ αἱμορραγίῃ λάβρῳ πυκνῇ μετὰ μηξάνων συχνὴ διαχώρησις, ἐπιστάσιος δὲ αἱμόρροοι, ἔτι κοιλίης ὀδυνώδεες, ἅμα δὲ τῇσι φύσησιν διαφοροῦ. ἆρα οἱ τοιοῦτοι ἱδρῶσι πολλοῖσι ψυχροῖσι; τὸ αἷμα τι παρεωσμένον οὖρον ἐν τούτοισιν οὐ πονηρόν. οὐδὲ τὸ ἐφιστάμενον γονοειδές· ἐπιπολὺ δὲ οὗτοι ὑδατώδεα οὐρέουσιν.

9 Οἷσιν ἐκ ῥινῶν ἐπὶ καρώσει καὶ νωθρότητι μικρὰ ἀποστάζει, ἔχει τι δύσκολον· αἵματος τούτοισι συμφέρει καὶ κοιλίης ταραχή.

10 Αἱ ἐν ἀρχῇσι μεγάλαι αἱμορραγίαι περὶ ἀνακομιδὴν κοιλίας καθυγραίνουσι.

11 Τὰ ἐκ ῥινῶν λάβρα βίῃ ἀποληφθέντα, ἔστιν ὅτε σπασμὸν ἐπικαλεῖται· φλεβοτομίη λύει.

12 Αἱ ἐνδεκαταῖαι στάξιες, δύσκολοι, ἄλλως τε κἢν δὶς ἐπιστάξῃ, καὶ ἢν ἐπιστάξῃ.

13 Ἐπὶ αἵματος ῥύσει πολλῇ, ἢ λυγμὸς, ἢ σπασμὸς, κακόν.

14 Τοῖσιν ἕως ἐς τὴν ἑβδόμην δυνάμιν μετ᾽ ἀχροίης, καὶ οἴδημα ἀλιζόμενον ἐν τῇσιν ὀδδῖσι, καὶ γῆς ἐπιθυμίη, αἵματος φθορὴν καὶ ἔκλυσιν σημαίνει.

15 Ἐν τοῖσι μακροῖσι τὰ μικρὰ ἐπιφαινόμενα αἱμορροώδεα, ὀλέθρια. (λύει.

16 Τὰ σκολιώδεα ἐξ ἀρχῆς αἱμορροίη ῥινὸς

Τὰ ἐκ

vrina cocta prodierit. num aquoſa vrina tale quid ſignificat?

Quibus à ſanguinis eruptione larga & frequenti, multa fit alui cũ nigris excretio, ea autem ſuppreſſa, ſanguinis profluuia: hi aluum dolent: ſimulatque verò quidam flatus emittuntur, facilè tolerant. num tales multis frigidis ſudoribus exudant? conturbata in his vrina, praua non eſt, neq. quod genituræ ſimile in ipſa innatat: verũ plerunq. hi aquoſa mingũt. 8

Quibus de naribus in ſurditate ac torpore pauca deſtillant, habent quid difficultatis: vomitus his conducit & alui perturbatio. 9

Magnæ in principiis ſanguinis eruptiones circa refectionem aluos humectant. 10

Fluxiones ex naribus largæ vi ſuppreſſæ, quandoque conuulſionem accerſunt: venæ ſectio ſoluit. 11

Vndecima die ſanguinis ſtillationes difficiles ſunt, tum aliàs, tum ſi bis ſuperſtillauerint, & rurſus ſtillauerint. 12

A ſanguinis fluxione multa, aut ſingultus, aut conuulſio, mala eſt. 13

In his qui decolores vſq. ad ſeptem annos vires recolligunt, & ſpiritus in viis aceruatus, & terræ cõcupiſcentia, ſanguinis corruptionẽ ac exolutionẽ ſignificat. 14

Morbis longis paruæ ſanguinis fluxiones ſuperuenientes, pernicioſæ ſunt. 15

Vertigines ab initio ſanguinis è naribus fluxio ſoluit. 16

Ex nari-

17 Τὰ ἐκ ῥινῶν σμικροῖς ἱδρῶσι περιψυχόμενα, κακοήθεα. (θρομβώδη, κακόν.

18 Αἵματος ἀφαίρεσις ἐν καταψύξει νεκρω-

19 Ὅσοι κοιλίης ἐπιστάσιος αἱμορροέουσι, καὶ ἐπιρρίγουσιν ἅμα τῷ αἱμορροεῖν, τούτοισι κοιλίην λειεντεριώδεα ποιέει, καὶ ἐπίσκληρον, καὶ ἀσκαρίδας, ἢ ἀμφότερα.

20 Τὰ πεπαρεγμένοισι χρόνοισιν αἱμορροώδεα, διψώδεα, μὴ αἱμορραγήσαντα, ἐπιληπτικῶς θνήσκει.

21 Ἐξ αἱμορροΐδος ὅσοι ἐπιφλυμείσης σκολιώδεα ἐλθόντα, παραπληγικὸν μικρὸν καὶ ἐπ' ὀλίγον σημαίνει. λύει φλεβοτομίη. καὶ πᾶν τὸ οὕτως ἐπιφαινόμενον, κακόν τι σημαίνει.

XIV.

1 Οἱ παλμώδεες δι' ὅλου, ἆρα καὶ ἄφωνοι τελευτῶσι;

2 Τὰ βομβώδεα σπασμώδεα γινόμενα ἐφιδροῦσι, φιλυπόστροφα. τούτοισι κρίσις ἐπιρριγώσασιν. ἐπιρριγοῦσι δὲ οὗτοι ἐπὶ κοιλίην καύματι προσκληθέντες. ὕπνος πολὺς ἐν τούτοισι σπασμώδης, καὶ τὰ ἐς μέτωπον βάρεα, καὶ οὔρησις δυσκολαίνουσα. (χρεῖς.

3 Οἱ ἐν ὑστερικοῖσιν ἄπυροι σπασμοί, εὐ-.

4 Τὰ σπασμώδεα, αἰδροῦντι πλῆθεα παραρρέοντα πυρετώδει ἐόντι εὐήθεα· τούτοισιν ἔτι κοιλίαι τι καθυγραίνονται. τάχα δέ τι καὶ ἐς ἄρθρα ἀποστήσονται.

Οἷσιν

Ex naribus erumpente ſanguine, cum exiguis ſudoribus perfrigeſcentia, maligna. 17

Sanguinis detractio in perfrigeratione torpida, mala eſt. 18

Qui aluo ſuppreſſa ſanguinem effundunt, & vrina cum ſanguinis profluuio ſubinde rigent, his aluum inteſtinorum læuore lubricam ea faciunt, itémque duram, & aſcaridas, aut ambo. 19

Cui ſanguinis fluxiones ſtatis temporibus fiunt cum ſiti, ſi ſanguis non eruperit, epilepticus moritur. 20

Ex hæmorrhoide parum apparente vertigines obortæ, paruam ac quæ paulatim fiat ſiderationem ſignificant. ſoluit venæ ſectio. & quicquid hoc modo apparuerit, mali aliquid ſignificat. 21

CAPVT XIV.

Palpitantes per totum, num etiam muti moriuntur? 1

Quibus exudantibus tremores conuulſiui fiunt, ii reuerti ſolent. iudicatio his fit vbi ſuperriguerint. ſuperrigent autem hi ardore circa ventrem prouocati. ſomnus multus in his conuulſionē affert, & frontis adeſt grauitas, & mictio difficilis. 2

Conuulſiones abſque febre in vterinis affectibus faciles ſunt. 3

Cum conuulſionibus & ſudore ſputa defluentia in febriente, leuia ſunt: his inſuper alui aliquantum humectantur. fortaſſis autem & ad articulos aliquis abſcedet. 4

Quibus

5 Οἷσιν ἐν σπασμώδεσιν ὀφθαλμοὶ ἐκλαμπάνουσιν ἀτενὲς, οὔτε παρ' ἑωυτοῖσιν εἰσὶ, διανοσέουσί τι μακρολῆροι.

6 Τὰ σπασμώδεα τρόπον παρεξωσμένα κατόχως, τὰ παρ' ὦς ἐπαίρῃ.

7 Τρομώδεσιν, ἀσώδεσι μικρὰ, τὰ παρ' οὖς ἐπάρματα σπασμὸν σημαίνει κοιλίης ποιηθησομένης. (ἐπιγενόμενος λύει.

8 Τὰ σπασμώδεα, καὶ τετανώδεα πυρετὸς

9 Σπασμὸς ἐπὶ τρώματι, θανάσιμον.

10 Σπασμὸς ἐπὶ πυρετῷ γενόμενος, ὀλέθριον· ἥκιστα δὲ παιδίοισιν.

11 Οἱ πρεσβύτεροι ἑπτὰ ἐτέων ἐν πυρετῷ οὐχ ἁλίσκονται ὑπὸ σπασμοῦ· εἰ δὲ μὴ, ὀλέθριοι.

12 Σπασμοῦ λυτικὸν, πυρετὸς ἐπιγενόμενος, ὀξὺς μὴ πρότερον γεγονώς. εἰ δὲ εἴη πρότερον γεγονὼς, παροξυνθεὶς ὠφελέει δὲ καὶ οὔρου διέξοδος ὑαλοειδὴς πολλὴ, καὶ ῥύσις κοιλίης, καὶ ὕπνος. τοῖς δὲ ἐξαπίνης σπασμοῖσι λυτικὸν, πυρετὸς, κοιλίης ῥύσις.

13 Ἐν τοῖσι σπασμοῖσιν ἀναυδίη ἐπὶ πολὺ, κακόν. τὸ δὲ ἐπὶ μικρὸν, ἤτοι γλώσσης ἀποπληξίην ἢ βραχίονος, καὶ τῶν ἐπὶ δεξιὰ σημαίνει. λύεται δὲ οὔροισιν ἐξαπίνης ἐλθοῦσιν πολλοῖσιν ἀθρόοισιν. ἱδρῶτες δὲ, οἱ μὲν κατὰ μικρὸν, ὠφελέουσιν· οἱ δὲ ἀθρόοι, καὶ αἱ τῶν αἱμάτων ἀφαιρέσιες αἱ ἀθρόοι βλάπτουσιν.

14 Ἐν τοῖσι τετάνοισι καὶ ὀπισθοτόνοισι γένυες

Quibus conuulſis oculi intentè mi- 5
cant, apud ſeipſos non ſunt, & diutius
ægrotant.

Quæ conuulſionis modo exacerbantur 6
cum ſtuporis detentione, abſceſſus iuxta
aurem excitant.

Tremulis, anxiis, parui iuxta aurem tu- 7
more: conuulſionem ſignificant aluo ma-
lè affecta.

Diſtentiones & rigores neruorum fe- 8
bris accedens ſoluit.

Conuulſio à vulnere, letalis eſt. 9

Conuulſio febri ſuperueniens, perni- 10
cioſa eſt: minimè verò pueris.

Seniores ſeptem annis in febre non 11
corripiuntur conuulſione: ſin minùs, per-
nicioſum eſt.

Conuulſionem ſoluit febris ſuperue- 12
niens acuta, quæ prius non fuit: ſi verò
prius fuit, iam exacerbata: prodeſt & vri-
na vitrea copioſè reddita, & alui fluxus,
& ſomnus. at repentinas conuulſiones
ſoluit febris, & alui fluxus.

In conuulſionibus ſermonis diuturna 13
priuatio, mala eſt: at breui durans aut
linguæ reſolutionem, aut brachij, aut
dextrarum partium ſignificat. ſoluitur
autem vrinis multis derepentè & affatim
prodeuntibus. Sudores autem, paulatim
orientes, proſunt: conferti verò, itémque
ſanguinis detractiones effuſæ lædunt.

In neruorum rigoribus & raptu po- 14

νυες λυόμεναι, θανάσιμον. θανάσιμοι δὲ καὶ ἱδρῶτες ἐν ὀπισθοτόνῳ, καὶ τὸ σῶμα διαλύεσθαι. καὶ ἀνεμεῖν ὀπισθοτόνῳ διαφερῶν, ἢ ἐξ ἀρχῆς ἄφωνοι ἐόντα βοᾷν, ἢ φλυηρεῖν. ἐς γὰρ τὴν ὑστεραίην, θάνατον σημαίνει (σπασμοὶ λύουσι.

15 Πυρετώδεα ὀπισθοτονώδεα γενόμενα δέ ἐστι χρή.

XV.

1 Τὰ κυναγχικὰ τὰ μήτε ἐν τῷ τραχήλῳ, μήτε ἐν τῇ φάρυγγι, μηδὲν δὲ δῆλον ποιέοντα, πνιγμὸν δὲ ἰσχυρὸν καὶ δύσπνοιαν παρέχοντα, αὐθημερὸν καὶ τριταῖα κτείνει.

2 Τὰ δὲ ἐπάρματα καὶ ἐρυθήματα ἐν τῷ τραχήλῳ λαμβάνοντα, τὰ μὲν λοιπὰ παραπλήσια, χρονιώτερα δέ.

3 Ὅτοισι δὲ συνεξερυθραίνεται ἥ τε φάρυγξ καὶ ὁ αὐχὴν, καὶ τὸ στῆθος, χρονιώτερα, καὶ μάλιστα ἐξ αὐτῶν σώζονται, ἢν μὴ παλινδρομέῃ τὰ ἐρυθήματα. ἢν δὲ ἀφανίζηται, μήτε φύματος συστραφέντος ἔξω, μήτε πύου ἀναχρεμπτομένου εὐπετέως καὶ ἀπόνως, μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν, ὀλέθρια γίνεται. ἆρά γε ἔμπυοι γίνονται;

4 Ἀσφαλέστατον δὲ τὸ ἐρύθημα καὶ τὰς ἀποστάσιας ὅτι μάλιστα ἔξω τρέπεσθαι. ἐρυσιπέλας δὲ, ἔξωθεν μὲν ἔσω γίνεσθαι, χρήσιμον· εἴσω δὲ τρέπεσθαι, θανάσιμον. τρέπεται δὲ, ὅταν ἀφανιζομένου τοῦ ἐρυθήματος βαρύνηται τὸ στῆθος, καὶ δυσπνοώτερος γίνηται.

Οἷς δὲ

ſterganeo maxillas ſolui,letale eſt. leta-
le eſt etiam ſudare in raptu ſupino, & corpus diſſolui,& in eadem affectione reuomere per nares,aut ab initio obmuteſcentem iam clamare,aut nugari. in poſteram enim diem mortem ſignificat.

Febriles in dorſum diſtentiones,vrinæ 15
geniture ſimiles ſoluunt.

CAPVT XV.

Anginæ quæ neque in collo, neque in 1
faucibus quicquam conſpicuum faciunt, verùm ſuffocationem vehementem ac ſpirandi difficultatem inducunt, eadem die & tertia occidunt.

Quæ verò tumores & ruborem in col- 2
lo accipiunt, in cæteris quidem conſimiles ſunt,verùm diuturniores.

Quibuſcunque verò & fauces, & cer- 3
uix,& pectus ſimul rubuerint,diuturniores ſunt; & ex ipſis maximè ſeruantur,ſi rubores non recurrant intrò. Si verò euaneſcant,neque tuberculo foras collecto,neque pure leniter ac ſine dolore exſcreato,neque diebus iudicatoriis,pernicioſæ ſunt. num etiam ſuppurati fiunt?

Tutiſſimum autem eſt ruborem & abſ- 4
ceſſus quàm maximè foras verti. Eryſipelas verò, foris quidem ſuperuenire, commodum eſt:intrò autem conuerti,letale.Conuertitur autem intrò,quum diſparente rubore pectus grauatur, & vix ſpiritus trahitur.

5 Οἷς δὲ κυνάγχη ἐς τὸν πλεύμονα τρέπεται, οἱ μὲν ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν ἀπόλλυνται· οἱ δὲ διαφυγόντες, ἔμπυοι γίνονται, μὴ γενομένης αὐτοῖς ἀναγωγῆς φλεγματώδεος.

6 Οἷσι διὰ σφοδρότητος σφυγμοῦ, κόπρειον ἐξαπίνης διαχωρέει, θανάσιμον.

7 Ἐν τοῖσι κυναγχικοῖσι τὰ ὑπόξηρα πτύσματα ἰσχνῶν, κακόν.

8 Τὰ κυναγχικὰ ἐν γλώσσαις οἰδήματα, ἀσήμως ἀφανιζόμενα, ὀλέθρια· καὶ τὰ ἀλγήματα ἀφανιζόμενα χωρὶς προφάσιος, ὀλέθρια. (πτύοντες ἐπίπονα, ὀλέθρια.

9 Ἐν τοῖσι κυναγχικοῖσιν οἱ μὴ ταχὺ ἀνα-

10 Ἐν κυνάγχῃ ἀσήμως εἰς κεφαλὴν ἀλγήματα μετὰ πυρετοῦ, ὀλέθρια.

11 Ἐν κυνάγχῃ ἀσήμως ἐς σκέλη ἀλγήματα μετὰ πυρετοῦ ὀλέθρια.

12 Ἐκ κυναγχικῶν ἀκρίτως ὑποχονδρίῳ ἄλγημα, μετὰ ἀκρασίης καὶ νωθρότητος γενόμενον, κτείνει λαθραίως, εἰ καὶ πάνυ δοκοίη ἐπιεικῶς ἔχειν.

13 Ἐν κυναγχικῶν ἀσήμως ἰσχνανθέντων ἐς στῆθος ἄλγημα καὶ ἐς κοιλίην ἐλθὸν σύντονον, ποιέει πυώδεας διαχωρέειν, ἄλλως δὲ λυομένου τὸ τοιοῦτον.

14 Ἐκ κυναγχικῶν πάντα ὀλέθρια, ὅσα μὴ ἔκδηλον ἐποίησεν ἄλγημα. ἀτὰρ καὶ ἐς σκέλεα ἀλγήματα χρόνια φοιτᾷ, καὶ ἐκπυοῦται δυσκόλως.

Τὰ ἐκ

Quibus verò anginæ ad pulmonem vertuntur, partim in ſeptem diebus pereunt, partim euadentes, ſuppurati fiunt, ſi non ipſis pituita ſurſum educatur. 5

Quibus præ vehementia pulſus, ſtercus derepentè per aluum ſecedit, letale eſt. 6

In anginis ſputa gracilium ſubarida, mala. 7

In anginis linguarum tumores, citra ſigna diſparentes, pernicioſi: & dolores diſparentes citra manifeſtam cauſam, pernicioſi ſunt. 8

Angina correpti qui non breui concocta exſpuunt, pernicioſè habent. 9

In angina dolores in caput ſine ſignis tranſeuntes cum febre, pernicioſi. 10

In angina dolores ſine ſignis in crura decumbentes cum febre, pernicioſi. 11

Ex anginis citra iudicationem hypochondrij dolor, cum impotentia ac torpore ortus, clàm occidit, etiam ſi valde bellè ſe habere putent. 12

Angina correptis citra notas attenuatis, dolor vehemens ad pectus & ad aluum progreſſus, pus egerere facit: aliàs autem eius qui exoluitur tale eſt. 13

Ex anginis omnia pernicioſa ſunt, quæ non manifeſtum dolorem faciunt: ſed & ad crura dolores diuturni procedunt, & difficulter ſuppurantur. 14

15 Τὰ ἐν κυνάγχῃσι πτύαλα γλίσχρα, παχέα, ἔκλευκα, βιαίως ἀναγόμενα, κακόν. καὶ παρεὼν ὁ τοιοῦτος σπασμὸς, κακόν. κάθαρσις πολλὴ κάτω τῶν τοιούτων παραπληκτικῶς ἀπόλλυσιν.

16 Ἐκ κυνάγχης ὑπόξηρα πυκνὰ πτύαλα, βηχώδεα, πλευρῶν ὀδυνώδεα, ὀλέθρια· καὶ τὰ ἐν τοῖσι ποτοῖσιν ὑποβήσσοντα, καὶ καταπότης βιαία, πονηρόν.

XVI.

1 Τῶν πλευριτικῶν οἷσιν ἐν ἀρχῇ ἄπτυοι αἱ πτύσιες, τριταῖοι θνήσκουσιν, ἢ πεμπταῖοι: φυγόντες δὲ ταύτας, μὴ πολὺ ῥᾷον ἔχοντες, τῇ ἑβδόμῃ, ἢ ἐνάτῃ, ἢ ἑνδεκάτῃ ἄρχονται ἐμπυοῦσθαι.

2 Οἷσι δὲ ἄνω ὡς τὸ ἔρευθος τῶν πλευριτικῶν, καὶ ὁμοίως θερμαίνονται καὶ κοιλίη ταράσσεται χολώδεα καὶ δυσώδεα, εἰκοσταῖοι καὶ τεσσαρακοσταῖοι κινδυνεύουσι· φυγόντες δὲ ταύτας, σώζονται.

3 Αἱ ξηραὶ τῶν πλευριτίδων καὶ ἄπτυστοι χαλεπώταται· φοβεραὶ δὲ ἐν οἷσιν αἰεὶ τὰ ἀλγήματα. (λεπτότησι τῶν μετὰ σπασμάτων.

4 Αἱ ἀπὸ σπασμάτων πλευρίτιδες χα-

5 Τῶν πλευριτικῶν οἷσιν ἐν ἀρχῇ γλῶσσα χολώδης γίνεται, ἑβδομαῖοι κρίνονται. οἷσι δὲ τρίτῃ ἢ τετάρτῃ, περὶ τὴν ἐνάτην.

6 Πομφόλυγες δὲ ὑποτηθεῖσι γινόμεναι ἐπὶ τῆς

γλώσ

Ex angina ſputa viſcoſa, craſſa, exalbi- 15
da, vi educta, mala ſunt. & omnis eiuſmo-
di maturatio, mala. purgatio multa deor-
ſum iſtos reſolutionis modo perimit.

Ex angina ſubarida frequentia ſputa, 16
tuſſes & lateris dolorem excitantia, per-
nicioſa: itémque inter potandum per tuſ-
ſim regurgitatio & deglutitio violenta,
mala.

CAPVT XVI.

Pleuritici quibus in principio ſputa- 1
tiones penitus purulentæ ſunt, tertia die
moriuntur, aut quinta. ſi verò has effuge-
rint, nec multo melius habeant, ſeptima,
aut nona, aut vndecima ſuppurari inci-
piunt.

Quibus pleuriticis ſupra aurem rubor, 2
& ſimiliter calor ineſt, & aluus bilioſis
ac graueolentibus exturbatur, hi vigeſima
ac quadrageſima die periclitantur: vbi
verò has effugerint, ſeruantur.

Pleuritides ſiccæ ac ſine ſputo, difficil- 3
limæ ſunt. metuendæ quoque hæ in qui-
bus dolores ſuperiores partes occupant.

Pleuritides ſine diuulſionibus grauio- 4
res ſunt his quæ cum diuulſionibus fiunt.

Quibus pleuriticis in principio lingua 5
bilioſa fit, hi ſeptima die iudicantur: qui-
bus autem tertia aut quarta die, circa no-
nam.

Quòd ſi bulla ſubliuida fiat in lingua 6
morbi

γλώσσας ἐν ἀρχῇ, οἷον σιδηρείης βαφέντος ἐς ἔλαιον. χαλεπωτέρη ἡ ἀπόλυσις γίνεται· καὶ ἡ κρίσις ἐς τὴν ιδ΄ ἀφικνεῖται· αἷμα δὲ ὡς ἐπὶ τὸ πολὺ πτύουσιν.

7 Πτύαλον δ' ἐν τῇσι πλευρίτισι, εἴτε μὲν ἀρχόμενοι πεπαίνεσθαι καὶ πτύεσθαι, θᾶσσον ποιέει τὰς ἀπολύσιας· ὕστερον δὲ βραδυτέρας.

8 Τὰ δὲ ἀλγήματα τοῖσι πλευριτικοῖσι χρήσιμον κοιλίην μαλάσσεσθαι, πτύαλα χρωματίζεσθαι, ψόφους ἐν τῷ στήθει μὴ γίνεσθαι, τὸ οὖρον εὐοδεῖν· τὰ δὲ τούτων ἐναντία δυσχερέα, καὶ πτύαλον γλυκαινόμενον.

9 Αἱ δὲ χολώδεες ἅμα καὶ αἱματώδεες πλευρίτιδες ὡς ἐπὶ τὸ πολὺ κρίνονται ἐναταῖαι ἢ ἑνδεκαταῖαι, καὶ μάλιστα ὑγιάζονται.

10 Οἷσι δὲ τῶν πλευριτικῶν ἐν ἀρχῇ μὲν οἱ πόνοι μαλθακοί, τῇ πέμπτῃ δὲ ἢ ἕκτῃ παροξύνονται, μᾶλλον πρὸς τὰς ιβ΄ ἀφικνέονται, καὶ οὐ πάνυ σώζονται. κινδυνεύουσι δὲ μάλιστα ἑβδομαῖοι καὶ δωδεκαταῖοι· τὰς δὲ δὶς ἑπτὰ φυγόντες, σώζονται.

11 Ὅσοισι τῶν πλευριτικῶν ψόφος τοῦ πτυάλου πολὺς ἐν τῷ στήθει, καὶ πρόσωπον κατηφές, καὶ ὀφθαλμοὶ ἰκτεριώδεες καὶ ἀχλυώδεες, ἀπόλλυνται.

12 Οἱ ἐκ πλευριτικοῦ ἔμπυοι γινόμενοι, ἐν τῇσι μ΄ ἡμέρῃσιν ἀναπτύουσιν ἀπὸ τῆς ῥήξιος.

13 Πτύαλον δὲ χρὴ πᾶσι τοῖσι πλευριτι-

morbi initio, qualis eſt ferri in oleum tincti, difficilior ſolutio contingit: & iudicatio quidem ad decimumquartum diem peruenit: ſanguinem autem plerunque ſpuunt.

Sputum verò in pleuriticis, tertia die maturari ac exſpui incipiens, citiores ſolutiones facit: at ſeriùs, tardiores. 7

In doloribus pleuriticorum, commodum eſt aluum molliri, ſputa colorari, ſtrepitus in pectore non fieri, vrinam facilè prodire: at his contraria, difficilia ſunt: itémque ſputum dulceſcens. 8

Biliosæ ſimul & ſanguineæ pleuritides plerunque nona aut vndecima die iudicantur, & maximè ſanantur. 9

Quibus autem pleuriticis in principio quidem dolores molles ſunt, quinta verò aut ſexta die exacerbantur, hi magis ad duodecimam perueniunt, nec ferè ſeruantur. periclitantur autem maximè ſeptima die ac duodecima: vbi verò bis ſeptem dies effugerint, ſeruantur. 10

Quibus pleuriticis ſtrepitus ſputi multus in pectore eſt, & facies triſtis, & oculus aurigine & caligine ſuffuſus, hi pereunt. 11

Qui ex pleuritide ſuppurati fiunt, in quadraginta à ruptione diebus exſpuunt. 12

Sputum in omnibus pleuriticis & peri- 13
pneu-

καῖσι καὶ περὶ τὰ πλευμονικοῖσι ἐπιπλείους τε καὶ ταχέως ἀναπτύεσθαι, μεμίχθαι τε τὸ ξανθὸν τῷ πτυάλῳ· τὸ δ᾽ ὕστερον πολλῷ τῆς ὀδύνης ἀναπτυόμενον ξανθὸν, ἢ μὴ μεμιγμένον, καὶ πολλὴν βῆχα παρέχον, πονηρόν. πονηρὸν δὲ πάντως καὶ τὸ ξανθὸν ἄκρητον, καὶ τὸ γλίσχρον, καὶ λευκὸν, καὶ τὸ στρογγύλον, καὶ τὸ χλωρὸν σφόδρα, καὶ τὸ ἀφρῶδες, καὶ τὸ πελιῶδες, καὶ ἰῶδες· χεῖρον δέ τι τὸ οὕτως ἄκρητον, ὥστε μέλαν φαίνεσθαι.

14 Αἷμα τι δὲ μὴ πολλῷ συμμεμιγμένον τὸ ξανθὸν, ἐν ἀρχῇ μὲν σωτήριον, ἑβδομαίῳ δ᾽ ἢ παλαιοτέρῳ ἧσσον ἀσφαλές. αἱματώδεα δὲ λίην, ἢ πέλιον εὐθέως ἐν ἀρχῇ, κινδυνώδεα. πονηρὰ δὲ καὶ τὰ ἀφρώδεα, καὶ τὰ ξανθὰ, καὶ μέλανα, καὶ ἰώδεα, καὶ ἰξώδεα, καὶ ὅσα ταχέως χρωματίζεται. τὰ δὲ μυξώδεα καὶ λιγνυώδεα, καὶ χρωματίζεται ταχέως, καὶ ἔστιν ἀσφαλέστερα. τὰ δ᾽ ἐν τοῖς [illegible] ἐς πέψιν χρωματιζόμενα, βελτίω.

15 Πᾶν δὲ πτύαλον μὴ λύον τὴν ὀδύνην, πονηρόν· λύον δὲ, χρήσιμον.

16 Ὅσοι δὲ μετὰ τοῦ χολώδεος πυώδεα ἀνά-[illegible] ἢ μεμιγμένον, ὡς ἐπὶ τὸ πο-[illegible] καταιοι θνήσκουσιν, ἢν [illegible] ἀγαθὸν ἐπιγένηται τῆς περιχ-[illegible] δὲ μὴ, κατὰ λόγον· μάλιστα δὲ εἰ-[illegible] ἄρχεται τὸ τοιοῦτον πτύαλον.

Ἔστι

pneumonicis facilè ac citò exſpui conuenit, & flauum ſputo mixtum eſſe. Quòd verò longè poſt dolorem educitur flauum, aut non mixtum, & multam tuſſim inducens, malum eſt. Prauum autem penitus eſt flauum meracum, & viſcoſum, & album, & rotundum, & cum virore pallidum valdè, & ſpumoſum, & liuidum, & æruginoſum: peius tamen aliquanto id quod ita ſincerum eſt, vt nigrum appareat.

At ſanguine non multo permixtum flauum, in principio quidem ſalutare eſt, ſeptima verò die aut poſterius, minùs tutum. Sanguineum verò valdè, aut liuidum ſtatim in principio, periculoſum eſt: praua ſunt etiam ſputa ſpumoſa, & flaua, & nigra, & æruginoſa, ac viſcoſa, & quæcunque citò colorantur. at mucoſa ac fuliginoſa & citò colorantur, & ſecuriora ſunt: quæ verò intra quintum diem ad coctionem colorantur, meliora ſunt. 14

Omne porrò ſputum non ſedans dolorem, malum eſt: ſedans autem, bonum. 15

Quicunque verò cum bilioſo purulentum educunt, ſiue ſeorſim, ſiue mixtum, plerunque decimoquarto die moriuntur, niſi mali aut boni quippiam ex præſcriptis ſuperueniat. Sin minus, pro ratione: maximè quibus eiuſmodi ſputum ſedie incipit. 16

Bonum

17 Ἔστι δὲ ἀγαθὸν μὲν καὶ τούτοισι καὶ πᾶσι τοῖσι περιπλευμονικοῖσι, φέρειν ῥηϊδίως τὸ νόσημα, τὸ ὀδύνης ἀπηλλάχθαι, τὸ πτύαλον εὐπετέως ἀνάγειν, εὔπνοον εἶναι, καὶ ἄδιψον, τὸ σῶμα ἀπὸ ὁμαλῶς θερμαίνεσθαι, καὶ μαλθακὸν εἶναι· καὶ πρὸς τοῖσιν ὕπνους, ἱδρῶτας, οὔρων διαχωρήματα χρηστὰ γίνεσθαι· κακὰ δὲ τἀναντία τούτων. εἰ μὲν οὖν πάντα προσγίγνοιτο τῷ πτύσματι τούτῳ τὰ χρήσιμα, σώζοιτ' ἄν. εἰ δὲ τὰ μὲν, τὰ δὲ μὴ, οὐ πλείους τῶν τεσσαρεσκαίδεκα βιώσας· τῶν δὲ ἐναντίων σημείων ἐπιγενομένων, συντέμωντες.

18 Ὅσα δὲ τῶν ἀλγημάτων ἐν τοῖσι τόποισι τούτοισι μὴ παύσοιτο, μήτε πρὸς τὰς ἀναπτύσιας, μήτε πρὸς τὰς φλεβοτομίας τε καὶ διαίτας, ἐμπυοῦνται.

19 Ὁκόσοισι δὲ ἐκ περιπλευμονίης ἀποστάσιες παρ' οὖς ἢ ἐς τὰ κάτω γίνονται, καὶ ἐκπυοῦσί τε καὶ ἐκσυριγγοῦνται, οὗτοι περιγίνονται. γίνονται δὲ, οἷσιν ἂν ὅ τε πυρετὸς καὶ ὁ πόνος παρακολουθῇ, καὶ τὸ πτύαλον οὐ χωρέῃ κατὰ λόγον, μηδὲ χολώδεες αἱ διαχωρήσιες, εὔλυτοί τε καὶ ἄκρητοι γίνωνται, μηδὲ οὖρον παχύ τε σφόδρα, καὶ πολλὴν ὑπόστασιν ἔχον, τά τε ἄλλα σωτηρίως ἔχοιεν. γίνονται δ' αἱ μὲν ἐς τὰ κάτω, οἷσιν ἂν περὶ τὰ ὑποχόνδρια φλεγμονὴ γίνηται· αἱ δὲ ἐς τὰ ἄνω, οἷσιν ἂν τὸ μὲν ὑποχόνδριον λαπαρόν τε καὶ ἀνώδυνον ἦ, δύσπνοος δέ τινα χρό-

Bonum verò eſt & in his & in omnibus circa pulmonẽ morbis, facile ferre morbum, à dolore liberatum eſſe, ſputum facilè educere, facilè ſpirare, & ſine ſiti eſſe, & totũ corpus æqualiter calere ac molle eſſe: ad hæc quoque ſomnos, ſudores, vrinas, deiectiones probè fieri: mala autem ſunt iis contraria. ſi quidem igitur omnia ſalutaria ad hoc ſputum acceſſerint, ſeruari homo poterit. Si verò partim affuerint, partim non, non vltra quatuordecim dies vita producta peribit: quòd ſi cõtraria ſigna ſuperuenerint, citiùs etiam. 17

Quicunque verò dolores in his locis non ſedati fuerint, neque ex ſpuitione, neque venarum ſectione, ác victus ratione, ſuppurantur. 18

Quibuſcunque autem ex peripneumonia abſceſſus circa aurem aut ad infernas partes fiunt, ſuppurantur, ac fiſtula facta aperiuntur, hi euadunt. Fiunt verò iis quibus & febris & dolor affuerit, & ſputum pro ratione non prodierit. neque bilioſæ deiectiones ſolutæ, ac meracæ fiant, neque vrina craſſa valdè cum multo ſedimento, aliáque ſalutis ſigna ſe oſtenderint. Oriuntur autem ad infernas quidem partes his quibus circa hypochondria inflammatio fit: ad ſupernas verò, quibus hypochondrium molle & ſine dolore fuerit, vbi ad tempus aliquod dif- 19

νον γινόμενοι, παύονται δὲ χωρὶς περιφράσιος.

20 Αἱ δὲ ἐς τὰ σκέλεα τῶν ἀποστασίων, ἐν τῇσιν ἐπικινδύνοισι περιπλευμονίῃσι, λυσιτελέες μὲν πᾶσαι· βέλτισται δὲ αἱ τοῦ πτυέλου πυώδεος ἀντὶ ξανθοῦ γινομένου. μὴ χωρέοντος δὲ τοῦ πτυέλου κατὰ λόγον, μηδὲ τοῦ οὔρου χρηστὴν ὑπόστασιν ἔχοντος, κίνδυνος χωλαθῆναι τὸ ἄρθρον, ἢ καὶ πολλὰ πρήγματα παρασχεῖν. ἢν δὲ παλινδρομέωσιν αἱ ἀποστάσιες, πυρετοῦ παρακολουθέοντος, καὶ τοῦ πτυέλου μὴ χωρέοντος, κίνδυνος θανεῖν καὶ παραφρονῆσαι.

21 Ὅσοι δὲ τῶν περιπλευμονικῶν μὴ ἀνεκαθάρθησαν ἐν τῇσι κρισίμῃσιν ἡμέρῃσιν, ἀλλὰ προεκκόψαντες διέφυγον τὰς τεσσαρεσκαίδεκα, κίνδυνος ἐμπύους γενέσθαι.

22 Τῶν περιπλευμονιῶν αἱ ἐκ πλευριτικοῦ μεταστᾶσαι, τῶν ἐξ ἀρχῆς γινομένων ἀσφαλέστεραι.

23 Τῶν δὲ σωμάτων τὰ γεγυμνασμένα καὶ πυκνὰ θᾶσσον ὑπὸ τῶν πλευριτικῶν καὶ περιπλευμονικῶν ἀπόλλυνται τῶν ἀγυμνάστων.

24 Κορύζας καὶ πταρμοὺς τοῖσι περιπλεύμονα καὶ προγενέσθαι καὶ ἐπιγενέσθαι, πονηρόν· τοῖσι δὲ λοιποῖσι πταρμὸς οὐκ ἀλυσιτελής.

25 Τοῖσι περιπλευμονικοῖσιν οἷσι γλῶσσα πᾶσα λευκὴ καὶ τρηχεῖα γίνεται, ἀμφότερα φλεγμαίνει τὰ μέρεα τοῦ πλεύμονος· οἷσι δὲ τὸ ἥμι-

ficulter ſpirantes, citra manifeſtam cauſam ceſſauerint.

At abſceſſus ad crura in periculoſis inflammationibus pulmonis, omnes quidem commodi ſunt, optimi tamen, ſi ſputum pro flauo purulentum factum eſt. Quòd ſi non probè ſputum edatur, neque vrina bonum ſedimentum habeat, periculum eſt ne homo claudus fiat, aut ei multum moleſtiæ exhibeatur. Si verò recurrerint abſceſſus, febre conſequente, & ſputo non prodeunte, periculum eſt interitus & furoris. 20

Quicunque verò peripneumonici non repurgati ſunt iudicatoriis diebus, ſed mente moti quatuordecim dies effugerunt, periculum eſt ne purulenti fiant. 21

Peripneumoniæ ex pleuritide tranſmutatæ ſecuriores ſunt his, quæ ab initio fiunt. 22

Corpora exercitata ac denſa citiùs à pleuriticis ac peripneumonicis morbis pereunt quàm inexercitata. 23

Grauedines & ſternutamenta in morbis circa pulmonem, & anteceſſiſſe, & ſucceſſiſſe, malum eſt. reliquis autem ſternutamentum non incommodum eſt. 24

Peripneumonicis quibus lingua tota alba ac aſpera fit, ambæ pulmonis partes inflammatæ ſunt: quibus verò dimidium, 25

τὸ ἥμισυ, ἐν καθ' ὃ φαίνεται. καὶ οἷσι μὲν πρὸς τὴν μίαν κληῖδα ὁ πόνος γίνεται, ἡ αὐτὴ πτέρυξ τοῦ πλεύμονος ἡ μία νοσέει· οἷσι δὲ πρὸς ἀμφω τὰς κληῖδας ὁ πόνος γίνεται, αἱ αὐταὶ πτέρυγες τοῦ πλεύμονος ἀμφω νοσέουσιν· οἷσι κατὰ μέσην τὴν πλευρὴν, ἡ μέση· οἷσι δὲ πρὸς τὴν διάπασιν, ἡ κάτω· οἷσι δὲ πᾶν τὸ ἓν μέρος πονέουσι, πάντα τὰ κατὰ τοῦτο μέρος νοσέει· ἢν μὲν οὖν σφόδρα φλεγμαίνωσιν αἱ ἀορταὶ, ὥστε προσκαθεύδῃ πρὸς τὸ πλευρὸν, παραλύονται τὸ κατὰ τοῦτο τὸ μέρος τοῦ σώματος, καὶ πελιώματα περὶ τὴν πλευρὴν ἔξω γίνεται. τούτους δὲ ἐκάλεον οἱ ἀρχαῖοι βλητούς. ἢν δὲ μὴ σφόδρα φλεγμαίνωσιν, ὥστε μὴ προσκαθεύδῃ, ἀλγηδὼν μὲν γίνεται παρ' ὅλον, οὐ μὴν παραλύονταί γε, οὐδὲ πελιώματα ἴσχουσιν.

26 Οἷσι δ' ἅπας ὁ πλεύμων φλεγμήνῃ μετὰ τῆς καρδίης, ὥστε καὶ προσπεσεῖν πρὸς τὴν πλευρὴν, παραλύεται πᾶς ὁ νοσέων, καὶ κεῖται ψυχρὸς ὁ νοσέων ἀναίσθητος· θνήσκει δὲ δευτεραῖος, ἢ τριταῖος. ἢν δὲ καὶ χωρὶς τῆς καρδίης συμβῇ, καὶ ἧσσον, πλείονα χρόνον ζῶσιν. ἔνιοι δὲ καὶ διασώζονται.

27 Τοῖσιν ἐμπύοις γινομένοισι, μάλιστα δὲ ἐκ πλευριτικοῦ καὶ περιπλευμονικοῦ, θέρμαι παρακολουθοῦσι τὴν μὲν ἡμέρην λεπταὶ, τὴν δὲ νύκτα συντονώτεραι, καὶ πτύουσιν οὐδὲν ἄξιον λόγου, καὶ ἱδροῦσί τι περὶ τράχηλον καὶ κληῖδα· καὶ

τὸν μὲν

vna iuxta quam apparet. & quibus ad vnam clauiculam dolor fit, ſuperior pulmonis ala vna laborat: quibus autem ad ambas clauiculas dolor fit, ambæ ſuperiores pulmonis alæ ægrotant: quibus iuxta mediam coſtam, media: quibus ad ſeptum tranſuerſum, inferna: at quibus vna pars tota dolet, omnia iuxta hanc partem laborant. Siquidem igitur appendentes vtrinque pulmonis partes, valdè inflammentur, vt lateribus inſideant, hac corporis parte reſoluuntur, & liuores foris circa coſtam apparent. hos autem veteres ictos ſiue ſideratos vocabant. Si verò non valdè inflammentur, vt lateri non aſſideant, dolor quidem oritur per totum, non tamen reſoluuntur, neque liuores habent.

Quibus verò totus pulmo inflammatur vnà cum corde, vt etiam ad latus allabatur, reſoluitur totus æger, & iacet frigidus ſine ſenſu: moritúrque ſecunda aut tertia die. ſi verò etiam ſine corde contigerit, & minùs, diutiùs viuunt: quidam autem etiam ſeruantur. 26

Qui ſuppurati fiũt, maximè ex pleuritide ac peripneumonia, eos febres comitãtur, interdiu leues, noctu vehementiores, nihil memoratu dignũ ſpuunt, circa ceruicẽ ac clauiculam ſudant, oculi caui fiunt, 27

γλώσσης ἐν ἀρχῇ, οἷον σταφίδος βαφέντος ἐς ἔλαιον. χαλεπωτέρη ἡ ἀπόλυσις γίνεται· καὶ ἡ μὲν κρίσις ἐς τὴν ἑβδόμην ἀφικνέεται· αἷμα δὲ ὡς ἐπὶ τὸ πουλὺ πτύουσι.

7 Πτύαλον δὲ ἐν τῇσι πλευρίτισιν, ἤτοι μὴ ἀρχόμενοι πεπαίνεσθαι καὶ πτύεσθαι, θάσσους ποιέει τὰς ἀπολύσιας· ὕστερον δὲ βραδυτέρας.

8 Τὰ δὲ ἀλγήματα τοῖσι πλευριτικοῖσι χρήσιμον κοιλίην μαλάσσεσθαι, πτύαλα χρωματίζεσθαι, ψόφους ἐν τῷ στήθει μὴ γίνεσθαι, τὸ οὖρον εὐοδεῖν· τὰ δὲ τούτων ἐναντία δυσχερέα, καὶ πτύαλον γλυκαινόμενον.

9 Αἱ δὲ χολώδεες ἅμα καὶ αἱματώδεες πλευρίτιδες ὡς ἐπὶ τὸ πουλὺ κρίνονται ἐναταῖαι ἢ ἑνδεκαταῖαι, καὶ μάλιστα ὑγιάζονται.

10 Οἷσι δὲ τῶν πλευριτικῶν ἐν ἀρχῇ μὲν οἱ πόνοι μαλθακοί, ἐς πέμπτην δὲ ἢ ἕκτην παροξύνονται, μᾶλλον πρὸς τὰς ιβ' ἀφικνέονται, καὶ οὐ πάνυ σώζονται. κινδυνεύουσι δὲ μάλιστα ἑβδομαῖοι καὶ δωδεκαταῖοι· τὰς δὲ δὶς ἑπτὰ φυγόντες, σώζονται.

11 Ὅσοισι τῶν πλευριτικῶν ψόφος τοῦ πτυάλου πολὺς ἐν τῷ στήθει, καὶ πρόσωπον κατηφές, καὶ ὀφθαλμοὶ ἰκτεριώδεες καὶ ἀχλυώδεες, ἀπόλλυνται.

12 Οἱ ἐκ πλευριτικοῦ ἔμπυοι γινόμενοι, ἐν τῇσι μ' ἡμέρῃσιν ἀναπτύουσιν ἀπὸ τῆς ῥήξιος.

13 Πτύαλον δὲ χρὴ πᾶσι τοῖσι πλευριτι-

κοῖσι

morbi initio, qualis eſt ferri in oleum tincti, difficilior ſol. tio contingit: & iudicatio quidem ad decimumquartum diem peruenit: ſanguinem autem plerunque ſpuunt.

Sputum verò in pleuriticis, tertia die maturari ac exſpui incipiens, citiores ſolutiones facit: at ſeri is, tardiores. 7

In doloribus pleuriticorum, commodum eſt alnum molliri, ſputa colorari, ſtrepitus in pectore non fieri, vrinam facilè prodire: at his contraria, difficilia ſunt: itémque ſputum dulceſcens. 8

Bilioſæ ſimul & ſanguineæ pleuritides plerunque nona aut vndecima die iudicantur, & maximè ſanantur. 9

Quibus autem pleuriticis in principio quidem dolores molles ſunt, quinta verò aut ſexta die exacerbantur, hi magis ad duodecimam perueniunt, nec ferè ſeruantur. periclitantur autem maximè ſeptima die ac duodecima: vbi verò bis ſeptem dies effugerint, ſeruantur. 10

Quibus pleuriticis ſtrepitus ſputi multus in pectore eſt, & facies triſtis, & oculus aurigine & caligine ſuffuſus, hi pereunt. 11

Qui ex pleuritide ſuppurati fiunt, in quadraginta à ruptione diebus exſpuunt. 12

Sputum in omnibus pleuriticis & peri- 13
pneu-

καῖσι καὶ περιπλευμονικοῖσιν ἐπιτηδείως τε καὶ ταχέως ἀναπτύεσθαι, μεμίχθαι τε τὸ ξανθὸν τῷ πτυάλῳ. τὸ δ' ὕστερον πολλῷ τῆς ὀδύνης ἀναγόμενον ξανθὸν, ἢ μὴ μεμιγμένον, καὶ πολλὴν βῆχα παρέχον, πονηρόν. πονηρὸν δὲ πάντως καὶ τὸ ξανθὸν ἄκρητον, καὶ τὸ γλίσχρον, καὶ λευκὸν, καὶ τὸ στρογγύλον, καὶ τὸ χλωρὸν σφόδρα, καὶ τὸ ἀφρῶδες, καὶ τὸ πρασιῶδες, καὶ ἰῶδες. χεῖρον δέ τι τὸ οὕτως ἄκρητον, ὥστε μέλαν φαίνεσθαι.

14 Αἵματι δὲ μὴ πολλῷ συμμεμιγμένον τὸ ξανθὸν, ἐν ἀρχῇ μὲν σωτήριον, ἑβδομαίῳ δ' ἢ παλαιοτέρῳ ἧσσον ἀσφαλές. αἱματώδεα δὲ λίην, ἢ πέλιον εὐθέως ἐν ἀρχῇ, κινδυνώδεα. πονηρὰ δὲ καὶ τὰ ἀφρώδεα, καὶ τὰ ξανθὰ, καὶ μέλανα, καὶ ἰώδεα, καὶ ἰξώδεα, καὶ ὅσα ταχέως χρωματίζεται. τὰ δὲ μυξώδεα καὶ λιγνυώδεα, καὶ χρωματίζεται ταχέως, καὶ ἔστιν ἀσφαλέστερα. τὰ δ' ἐν τοῖς πέμπτοις ἐς πέψιν χρωματιζόμενα, βέλτιον.

15 Πῦον δὲ πτύαλον μὴ λίον τῆς ὀδύνης, πονηρόν. λίον δὲ, χρήσιμον.

16 Ὅσοι δὲ μετὰ τοῦ χολώδεος πυώδεα ἀνάγουσιν, ἢ χωρὶς, ἢ μεμιγμένον, ὡς ἐπὶ τὸ πολὺ τεσσαρεσκαιδεκαταῖοι θνήσκουσιν, ἢν μή τι κακὸν ἢ ἀγαθὸν ἐπιγένηται τῶν προγεγραμμένων. εἰ δὲ μὴ, κατὰ λόγον· μάλιστα δὲ εἰσὶν ἑβδομαίοισιν ἄρχεται τὸ τοιοῦτον πτύαλον.

pneumonicis facilè ac citò exſpui conuenit, & flauum ſputo mixtum eſſe. Quòd verò longè poſt dolorem educitur flauum, aut non mixtum, & multam tuſſim inducens, malum eſt. Prauum autem penitus eſt flauum meracum, & viſcoſum, & album, & rotundum, & cum virore pallidum valdè, & ſpumoſum, & liuidum, & æruginoſum: peius tamen aliquanto id quod ita ſincerum eſt, vt nigrum appareat.*.

At ſanguine non multo permixtum flauum, in principio quidem ſalutare eſt, ſeptima verò die aut poſterius, minùs tutum. Sanguineum verò valdè, aut liuidum ſtatim in principio, periculoſum eſt: praua ſunt etiam ſputa ſpumoſa, & flaua, & nigra, & æruginoſa, ac viſcoſa, & quæcunque citò colorantur. at mucoſa ac fuliginoſa & citò colorantur, & ſecuriora ſunt: quæ verò intra quintum diem ad coctionem colorantur, meliora ſunt. 14

Omne porrò ſputum non ſedans dolorem, malum eſt: ſedans autem, bonum. 15

Quicunque verò cumblioſo purulentum educunt, ſiue ſeorſim, ſiue mixtum, plerunque decimoquarto die moriuntur, niſi mali aut boni quippiam ex præſcriptis ſuperueniat. Sin minus, pro ratione: ſed maximè quibus eiuſmodi ſputum ſeptimo die incipit. 16

Bonum

17 Ἔστι δὲ ἀγαθὸν μὲν καὶ τούτοισι καὶ πᾶσι τοῖσι περὶ πλεύμονα, φέρειν ῥηϊδίως τὸ νόσημα, τὸ ὀδύνης ἀπηλλάχθαι, τὸ πτύαλον εὐπετέως ἀνάγειν, εὔπνοον εἶναι, καὶ ἄδιψον, τὸ σῶμα ἀπὸ ἴσου ὁμαλῶς θερμαίνεσθαι, καὶ μαλθακὸν εἶναι· καὶ πρὸς τούτοισιν ὕπνους, ἱδρῶτας, οὔρησιν, διαχωρήματα, χρηστὰ γίνεσθαι· κακὰ δὲ τἀναντία τούτων. εἰ μὲν οὖν πάντα προσγένοιτο τῷ πτύσματι τούτῳ τὰ χρηστὰ, σώζοιτ' ἄν. εἰ δὲ τὰ μὲν, τὰ δὲ μὴ, οὐ πλείους τῶν τεσσαρεσκαίδεκα βιώσας τῶν δ' ἐναντίων σημείων ἐπιγενομένων ἄν, συντυχὼν πέσεν.

18 Ὅσα δὲ τῶν ἀλγημάτων ἐν τούτοισι τοῖσι τόποισι μὴ παύσηται, μήτε πρὸς τὰς ἀναπτύσιας, μήτε πρὸς τὰς φλεβοτομίας τε καὶ διαίτας, ἐμπυεῖται.

19 Ὅσοισι δὲ ἐκ περιπλευμονίης ἀποστάσιες παρ' ὦτα ἢ ἐς τὰ κάτω γίνονται, καὶ ἐκπυοῦσί τε καὶ ἐκσυριγγοῦνται, οὗτοι περιγίνονται. γίνονται δὲ, οἷσιν ἂν ὅ τε πυρετὸς καὶ ὁ πόνος παρακολουθῇ, καὶ τὸ πτύαλον οὐ χωρέῃ κατὰ λόγον, μηδὲ χολώδεες αἱ διαχωρήσιες, εὔλυτοί τε καὶ ἄκρητοι γίνωνται, μηδὲ οὖρον παχύ τε σφόδρα, καὶ πολλὴν ὑπόστασιν ἔχον, τά τε ἄλλα σωτηρίως ἔχοντα. γίνονται δὲ αἱ μὲν ἐς τὰ κάτω, οἷσιν ἂν περὶ τὰ ὑποχόνδρια φλεγμονὴ γίνηται· αἱ δὲ ἐς τὰ ἄνω, οἷσιν ἂν τὸ μὲν ὑποχόνδριον λαπαρόν τε καὶ ἀνώδυνον ᾖ, δύσπνοος δὲ τινα χρό-

Bonum verò eſt & in his & in omnibus circa pulmonē morbis, facilè ferre morbum, à dolore liberatum eſſe, ſputum facilè educere, facilè ſpirare, & ſine ſiti eſſe, & totū corpus æqualiter calere ac molle eſſe: ad hæc quoque ſomnos, ſudores, vrinas, deiectiones probè fieri: mala autem ſunt iis contraria. ſi quidem igitur omnia ſalutaria ad hoc ſputum acceſſerint, ſeruari homo poterit. Si verò partim affuerint, partim non, non vltra quatuordecim dies vita producta peribit: quòd ſi cōtraria ſigna ſuperuenerint, citiùs etiam. 17

Quicunque verò dolores in his locis non ſedati fuerint, neque ex ſpuitione, neque venarum ſectione, ac victus ratione, ſuppurantur. 18

Quibuſcunque autem ex peripneumonia abſceſſus circa aurem aut ad infernas partes fiunt, ſuppurantur, ac fiſtula facta aperiuntur, hi euadunt. Fiunt verò iis quibus & febris & dolor affuerit, & ſputum pro ratione non prodierit. neque bilioſæ deiectiones ſolutæ, ac meracæ fiant, neque vrina craſſa valdè cum multo ſedimento, aliáque ſalutis ſigna ſe oſtenderint. Oriuntur autem ad infernas quidem partes his quibus circa hypochondria inflammatio fit: ad ſupernas verò, quibus hypochondrium molle & ſine dolore fuerit, vbi ad tempus aliquod dif- 19

τοι γινόμενοι, παύονται δὲ χωρὶς περιφάσιος.

20 Αἱ δὲ ἐς τὰ σκέλεα τῶν ἀποστασίων, ἐν τῇσιν ἐπικινδύνοισι περιπλευμονίῃσι, λυσιτελέες μὲν πᾶσαι· βέλτισται δὲ αἱ τοῦ πτυέλου πυώδεος ἀντὶ ξανθοῦ γινομένου. μὴ χωρίσαντος δὲ τοῦ πτυέλου κατὰ λόγον, μηδὲ τοῦ οὔρου χρηστὴν ὑπόστασιν ἔχοντος, κίνδυνος χωλωθῆναι τὸ ἄρθρον, ἢ καὶ πολλὰ πρήγματα παρέχειν. ἢν δὲ παλινδρομέωσιν αἱ ἀποστάσιες, πυρετοῦ παρακολουθέοντος, καὶ τοῦ πτυάλου μὴ χωρέοντος, κίνδυνος θανεῖν καὶ παραφρονῆσαι.

21 Ὅσοι δὲ τῶν περιπλευμονικῶν μὴ ἀνεκαθάρθησαν ἐν τῇσι κυρίῃσιν ἡμέρῃσιν, ἀλλὰ παρακόψαντες διέφυγον τὰς τεσσαρεσκαίδεκα, κίνδυνος ἐμπύους γενέσθαι.

22 Τῶν περιπλευμονιῶν αἱ ἐκ πλευριτικοῦ μεταστᾶσαι, τῶν ἐξ ἀρχῆς γινομένων ἀσφαλέστεραι.

23 Τῶν δὲ σωμάτων τὰ γεγυμνασμένα καὶ πυκνὰ θᾶσσον ὑπὸ τῶν πλευριτικῶν καὶ περιπλευμονικῶν ἀπόλλυνται τῶν ἀγυμνάστων.

24 Κορύζας καὶ πταρμοὺς τοῖσι περιπλεύμοσι καὶ προγενέσθαι καὶ ἐπιγενέσθαι, πονηρόν· τοῖσι δὲ λοιποῖσι πταρμὸς οὐκ ἀλυσιτελής.

25 Τοῖσι περιπλευμονικοῖσιν οἷσι γλῶσσα πᾶσα λευκὴ καὶ τρηχεῖα γίνεται, ἀμφότερα φλεγμαίνει τὰ μέρεα τοῦ πλεύμονος· οἷσι δὲ τὸ ἡμι-

ficulter ſpirantes, citra manifeſtam cauſam ceſſauerint.

At abſceſſus ad crura in periculoſis inflammationibus pulmonis, omnes quidem commodi ſunt, optimi tamen, ſi ſputum pro flauo purulentum factum eſt. Quòd ſi non probè ſputum edatur, neque vrina bonum ſedimentum habeat, periculum eſt ne homo claudus fiat, aut ei multum moleſtiæ exhibeatur. Si verò recurrerint abſceſſus, febre conſequente, & ſputo non prodeunte, periculum eſt interitus & furoris. 20

Quicunque verò peripneumonici non repurgati ſunt iudicatoriis diebus, ſed mente moti quatuordecim dies effugerunt, periculum eſt ne purulenti fiant. 21

Peripneumoniæ ex pleuritide tranſmutatæ ſecuriores ſunt his, quæ ab initio fiunt. 22

Corpora exercitata ac denſa citiùs à pleuriticis ac peripneumonicis morbis pereunt quàm inexercitata. 23

Grauedines & ſternutamenta in morbis circa pulmonem, & anteceſſiſſe, & ſucceſſiſſe, malum eſt. reliquis autem ſternutamentum non incommodum eſt. 24

Peripneumonicis quibus lingua tota alba ac aſpera fit, ambæ pulmonis partes inflammatæ ſunt: quibus verò dimidium, 25

τοῦ ἥπατος, ἐν καθ' ὃ φαίνεται. καὶ οἷσι μὲν πρὸς τὴν μίαν κληῗδα ὁ πόνος γίνεται, ἡ αὕτη πτέρυξ τοῦ πλεύμονος ἡ μία νοσέει· οἷσι δὲ πρὸς ἄμφω τὰς κληῗδας ὁ πόνος γίνεται, αἱ αὗται πτέρυγες τοῦ πλεύμονος ἄμφω νοσέουσιν· εἰσὶ κατὰ μέσην τὴν πλευρὴν, ἡ μέση· εἰσὶ δὲ πρὸς τὴν διάτασιν, ἡ κάτω· εἰσὶ δὲ περὶ τὸ ἓν μέρος πονέουσι, πάντα τὰ κατὰ τοῦτο μέρος νοσέει. ἢν μὲν οὖν σφόδρα φλεγμαίνωσιν αἱ ἀορταὶ, ὥστε προσκαθῆσθαι πρὸς τὸ πλευρὸν, παραλύονται τὸ κατὰ τοῦτο τὸ μέρος τοῦ σώματος, καὶ πελιώματα περὶ τὴν πλευρὴν ἔξω γίνεται. τούτους δὲ ἐκάλεον οἱ ἀρχαῖοι βλητούς. ἢν δὲ μὴ σφόδρα φλεγμαίνωσιν, ὥστε μὴ προσκαθῆσθαι, ἀλγηδὼν μὲν γίνεται περὶ ὅλον, οὐ μὴν παραλύονταί γε, οὐδὲ πελιώματα ἴσχουσιν.

26 Οἷσι δ' ἂν ὁ πλεύμων φλεγμήνῃ μετὰ τῆς καρδίης, ὥστε καὶ προσπεσεῖν πρὸς τὴν πλευρὴν, παραλύεται πᾶς ὁ νοσέων, καὶ κεῖται ψυχρὸς ὁ νοσέων ἀναίσθητος· θνήσκει δὲ δευτεραῖος, ἢ τριταῖος. ἢν δὲ καὶ χωρὶς τῆς καρδίης συμβῇ, καὶ ἧσσον, πλείονα χρόνον ζῶσιν. ἔνιοι δὲ καὶ διασώζονται.

27 Τοῖσιν ἐμπύοισι γινομένοισι, μάλιστα δὲ ἐκ πλευριτικοῦ καὶ περιπλευμονικοῦ, θέρμαι παρακολουθοῦσι τὴν μὲν ἡμέρην λεπταὶ, τὴν δὲ νύκτα συντονώτεραι, καὶ πτύουσιν οὐδὲν ἄξιον λόγου, ἱδρῶσί τε περὶ τράχηλον καὶ κληῗδας· καὶ

ἐὰν μὲν

vna iuxta quam apparet. & quibus ad vnam clauiculam dolor fit, ſuperior pulmonis ala vna laborat: quibus autem ad ambas clauiculas dolor fit, ambæ ſuperiores pulmonis alæ ægrotant. quibus iuxta mediam coſtam, media: quibus ad ſeptum tranſuerſum, inferna: at quibus vna pars tota dolet, omnia iuxta hanc partem laborant. Siquidem igitur appendentes vtrinque pulmonis partes, valdè inflammentur, vt lateribus inſideant, hac corporis parte reſoluuntur, & liuores foris circa coſtam apparent. hos autem veteres ictos ſiue ſideratos vocabant. Si verò non valdè inflammentur, vt lateri non aſſideant, dolor quidem oritur per totum, non tamen reſoluuntur, neque liuores habent.

Quibus verò totus pulmo inflammatur vnà cum corde, vt etiam ad latus allabatur, reſoluitur totus æger, & iacet frigidus ſine ſenſu: moritúrque ſecunda aut tertia die. ſi verò etiam ſine corde contigerit, & minùs, diutiùs viuunt: quidam autem etiam ſeruantur. 26

Qui ſupparati fiũt, maximè ex pleuritide ac peripneumonia, eos febres comitãtur, interdiu leues, noctu vehementiores, nihil memoratu dignũ ſpuunt, circa ceruicẽ ac clauiculam ſudant, oculi caui fiunt, 27

τῶν μὲν ὀφθαλμοὺς κοιλαίνονται, τὰς δὲ γνάθους ἐρεύθονται· χεῖρες δὲ, θερμαίνονται μὲν δακτύλους ἄκρους καὶ τραχύνονται, γρυποῦνται δὲ ὄνυχας καὶ καταψύχονται, περί τε τοὺς πόδας ἐπάρματα ἴσχουσι, καὶ κατὰ τὸ σῶμα φλυκταινίδια, σιτίων τε ἀφίστανται. τὰ μὲν οὖν χρονίζοντα τῶν οἰδημάτων ἴσχει τὰ σημεῖα ταῦτα· τὰ δὲ συντόμως ῥηγνύμενα σημειοῦσθαι τούτοισί τε τοῖσιν ἐπιγινομένοισι, καὶ τοῖσιν ἐν ἀρχῇ πόνοισι, ἅμα δὲ καὶ ἤν τι δυσπνοώτερος γίνηται. ῥήγνυται δὲ τὰ πλεῖστα τῶν ἐμπυημάτων, τὰ μὲν εἰκοσταῖα, τὰ δὲ τεσσαρακοσταῖα, τὰ δὲ πρὸς τὰ ἑξήκοντα. οἷσι μὲν οὖν ὁ πόνος ἐν ἀρχῇ ἔγκειται σύντονος, καὶ δύσπνοια, καὶ βὴξ μετὰ πτυαλισμοῦ, πρὸς τὰς εἴκοσιν ἢ συντομώτερον προσδέχου τὴν ῥῆξιν· οἷσι δὲ ἐλαφρότερα ταῦτα ἐστὶν, κατὰ λόγον. λογίζεσθαι δὲ τὸν χρόνον ἀφ' οὗ πρῶτον ἤλγησεν ἢ ἐβαρύνθη, ἢ ἐπύρεξεν, ἢ εἴ ποτε ῥῖγος ἔλαβε. προσγίνεσθαι δὲ ἀνάγκη καὶ πόνον, καὶ δύσπνοιαν, καὶ πτυαλισμὸν, πρὸ τῆς ῥήξιος. οἷσι μὲν οὖν ὅ, τε πυρετὸς εὐθέως ἀπογίνεται μετὰ τὴν ῥῆξιν, καὶ σιτίων ἐπιθυμέουσι, καὶ τὸ πύον ἀνάγεται ῥηϊδίως λευκὸν ἐὸν, καὶ ἄοσμον, καὶ λεῖον, καὶ ὁμόχροον, καὶ ἀφλέγμαντον, κοιλίη τε μικρὰ συνεστηκότα ὑποχωρέει, οὗτοι ἐπὶ τὸ πολὺ σῴζονται συντόμως. οἷσι δὲ πυρετοί τε παρακολουθοῦσι, καὶ δίψα, καὶ ἀποσιτίη,

malæ rubent: & quod deterius eſt, digiti ſummi caleſcunt ac aſperantur, vngues adunci fiunt, ac refrigeſcunt, circa pedes tumores habent, & per corpus puſtulas; abſtinéntque à cibis. Diuturnæ igitur ſuppurationes ſigna hæc habent. quæ verò breui rumpuntur, cùm notis ſuperuenientibus indicantur, tum qui ſunt ab initio doloribus, tū verò etiam ſi aliquanto difficiliùs ſpirauerit homo. Rumpuntur autē plurimæ ſuppurationes, partim vigeſima die, partim quadrageſima, partim ſexageſima. Quibus igitur dolor in principio vehemens incumbit, & ſpirandi difficultas, & tuſſis cū ſputatione, ad vigeſimū diem aut citius eruptionem expecta: at quibus leuiora hæc ſunt, pro ratione. Animaduertere autem oportet tempus à quo primùm doluit, aut grauitatem ſenſit, aut febriit, aut ſi quando rigor corripuit. Neceſſe eſt autem præcedere & dolorem, & ſpirandi difficultatem & ſputationem, ante ruptionem. Quibus igitur febris protinus à ruptione conquieuit, quíque cibum appetunt, & pus facilè educitur album, inodorum, læue, eiuſdem coloris, & ſine pituita, & aluus parua cōpacta egerit, plerunq. breui ſeruantur. Quos verò & febres ſequuntur, & ſitis,

σειν. καὶ τὸ πτύον πέλιον, ἢ χλωρὸν, ἢ φλεγματώδες, ἢ ἀφρώδες, κοιλίη τε ἐφυγραίνεται, τήκονται. οἷσι δὲ τὰ μὲν ἐπιγίνεται ἐκ τῶν προειρημένων, τὰ δὲ μή. τούτων οἱ μὲν ἀποθνήσκουσιν, οἱ δὲ πολλῷ χρόνῳ σώζονται.

28 Οἱ μέλλοντες ἐμπυΐσκεσθαι, πτύουσι, τὸ μὲν πρῶτον ἁλμυρὸν, εἶτα γλυκύτερον.

29 Οἷσι δ' ἐν πλεύμονι φύματα γίνεται, τὸ πτύον ἀνάγκουσιν ἐς μ' ἡμέρας μετὰ τὴν ῥῆξιν. ταύτας δὲ ὑπερβάλλοντες, ὡς τὰ πολλὰ φθισικοὶ γίνονται.

30 Ἐπὶ πλευμόνος ἑλκώματι, στάξις ἀπὸ ῥινῶν (αἵματος, κακόν.

31 Οἷσιν ἐμπύησιν ἐπιεικέστερον ἔχουσιν, δυσαρεσίαι τῶν πτυσμάτων παρακολουθοῦσι, τούτους ὑποστροφὴ κλείει.

32 Οἱ ἐν πλευριτικοῖσιν ἀναπτύοντες πυώδεα, ὑπόχολα, στρογγύλα, ἢ πυώδεα ὕφαιμα, παρεληλυθότος χρόνου ὀλέθριοι. ὀλέθριοι δὲ καὶ οἱ τὰ μέλανα λεγνυώδεα πτύοντες, ἢ οἷσιν ἀπὸ οἴνου μέλανος γίνεται πτύσματα.

33 Ὅσοι αἷμα ἀφρώδες πτύουσι, πονέοντες ὑποχόνδριον δεξιὸν, ἀπὸ τοῦ ἥπατος πτύουσι, καὶ οἱ πολλοὶ ἀπόλλυνται.

34 Οἷσι στομουμένοισι πτύον βορβορῶδες ἔρχεται καὶ δυσώδες, ἀπόλλυνται ὡς τὰ πολλά.

35 Οἷσιν ἀπὸ τοῦ πτύου ἢ μήλου χρωματίζεται, καθάπερ ἀπὸ πυρὸς, ἀπόλλυνται ὡς τὰ πολλά.

Μετὰ

.& cibi faſtidium, & pus liuidum, aut cum virore pallidum, aut pituitoſum, aut ſpumoſum, & aluus inſuper liquida eſt, moriuntur. At quibus aliqua ex prædictis ſuperueniunt, aliqua non, horum aliqui pereunt, aliqui multo tempore ſeruantur.

Qui verò purulenti futuri ſunt, primum ſalſuginoſum ſpuunt, deinde dulcius. 28

At quibus in pulmone tubercula fiunt, pus educunt diebus quadraginta poſt ruptionem: his verò exactis, plerunque tabidi fiunt. 29

Lateris dolori, ſuperueniens ſtillatio ſanguinis de naribus, mala eſt. 30

Quos ſuppurationem leuiùs ferentes ſputa graueolentia ſequuntur, eos recidiua occidit. 31

Qui ex pleuriticis exſpuunt purulenta, ſubbilioſa, rotunda, aut purulenta ſubcruenta, progreſſu temporis perniciosè habent. perniciosè item qui nigra fuliginoſa ſpuunt, aut quibus velut à vino nigro ſputa redduntur. 32

Quicunq. ſanguinem ſpumoſum ſpuūt, dextrum hypochondrium dolentes, de hepate ſpuunt, & multi pereunt. 33

Quibus dum concutiuntur, pus cœnoſum & graueolens prodit, plerunque pereunt. 34

Quibus à pure ſpecillum coloratur, velut ab igne, plerunque pereunt. 35

Cum

36 Μετὰ πλευροῦ ἀλγήματος, μὴ πλευριτικοῦ ἐστὶ, καὶ ταραχωδέων λεπτῶν ἐπιεικέων, οὗτοι φρενιτικοὶ ἀποβαίνουσιν.

37 Ἐν τοῖσι κατὰ πλεύμονα αἱ λίην ἐξέρυθροι ἀποστάξιες, πονηρόν.

38 Μετὰ βράγχου πτύσματα γλίσχρα, ἁλμυρώδεα, κακόν· ἢν δέ τι καὶ ἐπαίρηται κατὰ στῆθος, ἐπὶ τούτοισι, κακόν. τὰ ἐς τράχηλον ἀλγήματα, τούτων ἰσχναν θέντων, ὀλέθριον. (ἀνάγκ.

39 Βράγχος μετὰ βηχὸς καὶ κοιλίης ὑγρῆς, πύον

40 Οἷσιν ἐν περιπλευμονίῃ οὖρα παχέα ἐν ἀρχῇ, εἶτα πρὸ τῆς τετράδος λεπτύνεται, θανάσιμον. (ἄπονα ἀνάγοντες, φοβεροί.

41 Οἱ ἐν ξηροῖσι περιπλευμονικοῖσιν ὀλίγα

42 Τὰ ἐν τοῖσι στήθεσιν ἐρυθήματα ὑποπλατέα, γίνεται τοῖς τοιούτοισιν ὀλέθρια.

43 Πλευροῦ ἄλγημα ἐν πτύσει χολώδει ἀλόγως ἀφανισθὲν ἐξίσταται.

44 Οἱ δὲ ἐμπύοισιν πυρετοὶ διαλείποντες, ἐφιδροῦντες οἱ πολλοί εἰσι.

45 Τοῖσιν ἐμπύοισι, κώφωσις γινομένη αἱματώδεα διαχώρησιν σημαίνει· τούτοισι πρὸς τὴν τελευτὴν μέλαινα διαχωρέει.

46 Πλευροῦ ἄλγημα μετὰ πυρετοῦ χρονίου σημαίνει πύον ἀνάξειν.

47 Οἱ φρικώδεες πυκνὰ ἐς ἐμπύησιν ἔρχονται· ἀτὰρ καὶ πυρετὸς ὁ τοιοῦτος ἄγει ἐς ἐμπύησιν.

Οἷσιν

Cum lateris dolore, non tamen pleuritico, & turbulentis tenuibus lenibus, hi phrenitici euadunt. 36

In morbis pulmonis ſupra modum rubræ ſanguinis ſtillæ, malæ ſunt. 37

Cum raucedine ſputa viſcoſa, ſalſuginoſa, mala. ſi verò etiam quid in pectore exurgat, in his malum eſt. dolores ad collum, his attenuatis, pernicioſi. 38

Raucedo cum tuſſi, & aluo liquida, pus educit. 39

Quibus in peripneumonia vrinæ craſſæ in principio, deinde ad quartum diem attenuantur, letale eſt. 40

Qui in peripneumoniis ſiccis pauca concocta educunt, iis timendum eſt. 41

Rubores in pectoribus parum diffuſi, talibus pernicioſi ſunt. 42

Lateris dolor in ſputo bilioſo præter rationem euaneſcens mentem emouet. 43

Febres intermittentes ob ſuppurationem, pleræque ſudorificæ ſunt. 44

Suppuratis ſurditas oborta cruentam deiectionem ſignificat: his ſub mortem nigra prodeunt. 45

Lateris dolor cum febre diuturna pus eductum iri ſignificat. 46

Qui crebrò inhorreſcere ſolent, ad ſuppurationem deueniunt: ſed & febris ægrum iſtũ ad ſuppurationem perducit. 47

Quos

48 Οἷσιν ἐκ πλευροῦ ἀλγήματος ἀσιτίαι παρακολουθοῦσιν, ὑπό τι καρδιαλγικοὶ, ἱδρώδεες.

49 Ἔχοντος δὲ προσώπου αὔγην, καὶ κοιλίης ὑγροτέρης, ἐκπυήματα κατὰ πλεύμονα ἔχουσι.

50 Τὰ ὀρθοπνοϊκὰ, ποιέει ὑδρωπώδεα σκληρά.

51 Τὰ σπάσματα μὲν πάντα ὀχληρὰ γίνεται, καὶ πόνους τι ἐν ἀρχῇ συντόνους παρέχει, καὶ ἐξ ὑστέρου αὐτοὺς ὑπομιμνήσκει. δυσκολώτατα δὲ τὰ περὶ θώρηκα, μάλιστα δὲ κινδυνοῦσιν.

52 Οἷσιν ἔμετος αἵματος, πυρετὸς πολὺς, καὶ πόνος περὶ μαζὸν, καὶ θώρηκα, καὶ μετάφρενον· οἷσι γὰρ γίνεται πάντα ταῦτα, συντόμως θνήσκουσιν· οἷσι δὲ μὴ πάντα, μηδὲ σφόδρα, βραδύτερον· φλεγμαίνουσι δὲ τὸ μακρότατον ἡμέρας τεσσαρεσκαίδεκα.

53 Τοῖσιν αἷμα πτύουσιν ἀπυρέτοις ἐστὶ συμφέρει, καὶ βήσσειν καὶ πονέειν ἐλαφρῶς, καὶ τὸ πτύαλον λεπτύνεσθαι πρὸς τὰς δὶς ἑπτά. πυρέσσειν δὲ, καὶ βήσσειν, καὶ πονέειν συντόνως, καὶ αἷμα πρόσφατον αἰεὶ πτύειν, ἀσύμφορον.

54 Ὅσοισι τὸ πλευρὸν μετέωρον καὶ θερμότερον, ὅταν ἐγκεκλιμένοισιν ἐπὶ θάτερον, βάρος ἐξηρτῆσθαι δοκέῃ, τούτοισι τὸ πῦον ἐκ τοῦ ἑνὸς μέρεός ἐστιν.

Τοῖσιν

Quos ex lateris dolore cibi faſtidia ſequuntur, oris ventriculi dolore vtcunque ac ſudore vexantur. 48

Vbi facies floreſcit, & alnus liquidior, ibi ſunt ſuppurationes circa pulmones. 49

Erectæ ceruicis ſpirationes facit hydrops ſiccus. 50

Diuulſiones omnes quidem moleſtæ ſunt, & dolores in principio ingentes inducunt, & poſtea quoque alios fore denunciant: verùm difficillimæ ſunt circa thoracem, & maximè periculoſæ. 51

Quibus eſt vomitus ſanguinis, febris multa, & dolor circa mammam, thoracem, & dorſum: quibus hæc omnia fiunt, breui moriuntur: quibus autem non omnia, neque vehementer, tardiùs: inflammati tamen manent dies quatuordecim ad ſummum. 52

Sanguinem ſpuentibus confert vt ſint ſine febre, & leuiter tuſſiant ac doleant, & ſputum tenue fiat ad dies quatuordecim: febrire verò & tuſſire ac dolere vehementer, & ſanguinem recentem ſemper ſpuere, inutile eſt. 53

Quibus latus in tumorem ſublatum ac calidius eſt, & inclinatis in alterum, grauitas aliqua impendere videtur, his pus ex vna parte collectum eſt. 54

55 Τοῖσιν ἐμπύοισι τὸν πλεύμονα, κάτω καὶ ἐς τὸ σῶον ὑποχωρέειν, θανάσιμον.

56 Ὅσοι τρωθέντες ἐς τὸν θώρηκα, τὸ μὲν ἐκτὸς τοῦ τρώματος ὑγιάσθησαν, τὸ δ' ἐντὸς μὴ, κινδυνεύουσιν ἔμπυοι γενέσθαι. ὅσοις δ' ἂν ἀσθενὴς ἔνδοθεν ἡ οὐλὴ γένηται, ῥηϊδίως ἀναρρήγνυται.

57 Ἀπόλλυνται δὲ ἐκ μὲν τῶν περιπλευμονικῶν ἐμπυημάτων οἱ γεραίτεροι μᾶλλον· ἐκ δὲ τῶν λοιπῶν οἱ νεώτεροι.

58 Τῶν ἐμπύων οἷσι σειομένοισιν ἀπὸ τῶν ὤμων, πολὺς γίνεται ψόφος, ἔλασσον ἔχουσι πύον, ἢ οἷσιν ὀλίγος δυσπνοωτέροισιν ἐοῦσι καὶ εὐχροωτέροισιν· οἷσι καὶ ψόφος μὲν μηδὲ εἷς ἐγγίνεται, δύσπνοια δὲ ἰσχυρὴ, καὶ ὄνυχες πελιοὶ, πλήρεες πύου εἰσὶν οὗτοι, καὶ ὀλέθριοι.

59 Ὅσοι ἀφρῶδες αἷμα ἐμέουσι, τούτου μὲν ἰόντος κάτω τοῦ διαφράγματος, ἀπὸ τοῦ πλεύμονος ἐμέουσι. καὶ οἷσι μὲν ἡ μεγάλη φλὲψ ἐν αὐτῷ ῥήγνυται, πολύ τε ἐμέουσι καὶ εἰσὶν ἐπικίνδυνοι· οἷσι δὲ ἡ ἐλάσσων, ἔλασσόν τε ἀνάγουσι, καὶ εἰσὶν ἀσφαλέστεροι.

XVII.

1 Τῶν φθισικῶν οἷσιν ἐπὶ τοῦ πυρὸς τὸ πτύαλον κνίσσῃ βαρὺ, καὶ αἱ τρίχες ἐκ τῆς κεφαλῆς ῥέουσιν, ἀπόλλυνται.

2 Τῶν φθισικῶν οἷσιν ἐπὶ θάλασσαν πτύουσιν ἐς τὸν πυθμένα βαδίζει τὸ πύον, ὀλέθριον

σιν τέ-

Suppuratis à pulmone per aluum pus 55
ſecedere, letale eſt.

Quicunque vulnerati in thoracem, ex- 56
terna quidem vulneris parte ſanati ſunt,
interna verò non, periclitantur ne ſup-
purati fiant. quibus autem debilis indu-
cta eſt intus cicatrix, facilè iterum rum-
pitur.

Ex peripneumonicis ſuppurationibus 57
ſeniores magis pereunt: ex reliquis verò
iuniores.

Quibus ſuppuratis, humeris concuſſis, 58
multus ſtrepitus fit, minus puris habent
hi, quàm quibus paucus, ſi difficiliùs ſpi-
rent & coloratiores ſint: quibus autem
ſtrepitus quidem nullus fit, verùm vehe-
mens ſpiritus difficultas, & vngues liui-
di, hi pleni ſunt pure, & perniciosè ha-
bent.

Qui ſpumoſum ſanguinem vomunt, 59
nullo dolore infra ſeptum tranſuerſum,
de pulmone vomunt. & quibus quidem
magna in ipſo vena rumpitur, multum
vomunt, & in periculo verſantur: quibus
verò minor, minus educunt, & ſecuriores
ſunt.

CAPVT XVII.

Quibus tabidis ſputum igni iniectum, 1
grauem nidorem edit, & capilli de capi-
te fluunt, pereunt.

Quibus tabidis in marinam aquam ex- 2

συντόμως· ἔσω δὲ ἐν χαλκῷ ἢ θάλασσα.

3 Ὁκόσοισι τῶν φθισικῶν αἱ τρίχες ἐκ τῆς κεφαλῆς ῥέουσιν, ὑπὸ διαῤῥοίης ἀπόλλυνται. καὶ ὅσοισι φθισικοῖσιν ἐπιγίνονται διάῤῥοιαι, θνήσκουσιν.

4 Αἱ ἐν φθινώδεσιν ἐπισχέσιες πτυάλων ἐξιστᾶσι λυσσώδεας· αἱμοῤῥοΐδα τύπτειν ἐλπὶς ἐπιφανῆναι.

5 Φθίσιες ἐπικινδυνόταται, αἵ τε ἀπὸ ῥήξιος φλεβῶν τῶν παχέων, καὶ ἀπὸ κατάῤῥου τοῦ ἀπὸ κεφαλῆς.

6 Τῶν δὲ ἡλικιῶν ἐπικινδυνόταται πρὸς φθίσιν ἀπὸ ὀκτωκαίδεκα ἐτέων, μέχρι πέντε καὶ τριήκοντα.

7 Τὰ κυνησμώδεα σώματα μετὰ κοιλίης στάσιν ἐν φθισικοῖσι, κακόν.

8 Ἐπὶ τῇσι φθινώδεσιν ἕξεσι μετὰ πυρετοῦ ἰοῦλα καὶ ὀδόντας ῥεύματα ἐπιφαινόμενα, κακόν.

9 Ἐπὶ πᾶσιν ὑποχόνδρια μετέωρα, κακόν· κάκιστον δὲ ἐπὶ τοῖσι φθισικοῖσι.

10 Τῶν μακρῶν ἐπὶ τοῖσι τετηκόσιν ὀλεθρίοισιν. ἔνιοι πρὸ τῆς τηξιος τὴν ἐπιῤῥέγξωσι.

11 Τὰ ἀμυχώδεα ἐξανθίσματα, φθίσιν ἕξιος σημαίνει.

12 Οἱ δύσπνοοι ξηρόφθαλμοι, πολλὰ ἀπόπτυα αἰάζοντες ἐν φθίσει, ὀλέθριοι.

XVIII.

1 Οἷσιν ἡπατικοῖσι πολὺ πτύαλον αἱμα-

puentibus pus fundum petit, breui pereunt: ſit autem marina in æneo vaſe.

Quibus tabidis capilli ex capite defluunt, à profluuio alui moriuntur: & quibus tabidis alui profluuia ſuperueniunt, moriuntur. 3

In tabeſcentibus ſputa ſuppreſſa, mentem ad nugax delirium emouent: his ſpes eſt hæmorrhoïdem apparituram. 4

Tabes periculoſiſſimæ, quæ ſunt à ruptione venarum craſſarum, & à defluxu de capite. 5

Tabis periculo maximè ſunt obnoxiæ ætates ab anno decimo octauo vſque ad trigeſimumquintum. 6

Pruriginoſa corpora poſt aluum ſuppreſſam in tabidis, mala ſunt. 7

In habitibus tabidis cum febre fluxiones ad gingiuas & dentes comparentes, malæ ſunt. 8

In omnibus in tumorem elata hypochondria, mala ſunt: in tabidis autem peſſima. 9

Ex his qui diutina tabe pernicioſè conſumpti ſunt, aliqui ante mortem rigore prehenduntur. 10

Puſtularum eruptiones velut ferro lancinatæ, habitus tabem ſignificant. 11

Difficulter ſpirantes ex putredine, multa cruda educentes in tabe, pernicioſè habent. 12

CAPVT XVIII.

Quibus hepaticis multum eſt ſputum 1

τώδεις, εἴτε ἀνυπόστατα ἐόντα, εἴτε χολώδεις ἄκρητον, ὀλέθριον ἀμφοῖν.

2 Ἐφ' ἡπατικῷ τήξει αἷμα βρέχων, κακὸν, ἄλλως τε κἢν ὑποστάσῃ.

3 Οἱ καθ' ἧπαρ ὀδυνώδεις, καρδιαλγικοὶ, καρώδεις, ῥιγώδεις, κοιλίαι ταραχώδεις, λεπτοὶ, ἄποσιτοι, ἐφιδροῦντες πολλῷ, πυώδεα κατὰ κοιλίην περιέχεται.

4 Τοῖσιν ἧπαρ ἐξαπίνης περιοδυνέουσι πυρετὸς ἐπιγινόμενος λύει.

5 Ὅσοι δὲ ἀφρώδεις αἷμα πτύουσι, πονέοντες ὑποχόνδριον δεξιὸν, ἀπὸ τοῦ ἥπατος πτύουσι· καὶ θνήσκουσι. (θανάσιμον.

6 Οἷσιν ἧπαρ καυθεῖσιν ἐς ἀμφίβλη ἔρχεται,

XIX.

1 Οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νοσημάτων, ἐπίπονοι γίνονται καὶ ὀλέθριοι. ἄρχονται δὲ οἱ πλεῖστοι μὲν ἀπὸ τῶν κενεώνων, οἱ δὲ καὶ ἀπὸ τοῦ ἥπατος. τοῖσι μὲν οὖν ἀπὸ τῶν κενεώνων ἀρχομένοισιν, οἱ πόδες οἰδέουσι, καὶ διάρροιαι πολυχρόνιοι παρακολουθοῦσιν, οὐ λαπάσσουσαι τὴν κοιλίην, οὐδὲ τὰς ὀδύνας λύουσαι τὰς ἐξ ὀσφύος καὶ κενεώνων. ὅσοις δὲ ἀπὸ τοῦ ἥπατος, βὴξ ἔντ' ἐτύμως ἐγγίνεται, καὶ οἱ πόδες οἰδέουσι, καὶ ἡ κοιλίη σκληρὰ διαδίδωσι, καὶ πρὸς ἀνάγκην οἰδήματά τε περὶ αὐτὴν γίνεται, τὰ μὲν ἐπὶ δεξιὰ, τὰ δ' ἐπ' ἀριστερὰ, καὶ πάλιν καταπαύεται.

Ἐπὶ

cruentum, ſiue ſubputridum, ſiue bilioſum meracum, ſtatim letale eſt.

In hepatico colliquatio cum raucedine malo eſt, tum aliàs, tum ſi aliquantum tuſſiat. 2

Quibus hepatis dolor eſt & oris ventriculi, ſopor, rigor, aluus turbata, macies, ciborum faſtidium, ſudor multus; hi purulenta per aluum egerunt. 3

Hepar ſubitò vehementer dolentibus febris accedens dolorem ſoluit. 4

Qui ſanguinem ſpumoſum ſpuunt, hypochondrium dextrum dolentes, de hepate ſpuunt, & moriuntur. 5

Quibus, iecore vſto, velut amurca prodit, letale eſt. 6

CAPVT XIX.

Hydropes ex morbis acutis, cum dolore fiunt, ac perniciem afferunt. incipiunt autem plerique ab ilibus, aliqui etiam ab hepate. His igitur quibus ab ilibus oriuntur, pedes tument, & alui profluuia diuturna ſequuntur, aluum non euacuantia, neque dolores ex lumbis & inanibus partibus ſoluentia. Quibus verò ab hepate, tuſſis etiam promptè oboritur, & pedes tument, & aluus dura egerit, eáque coacta, & tumores circa ipſam fiunt, partim in dextra, partim in ſiniſtra, & rurſus ſedantur. 1

2 Ἐπὶ τοῖσι ξηροῖσιν ὑδρωπιώδεσι τὰ στραγγουρικὰ, μοχθηρόν· φλαῦρα δὲ καὶ τὰ μικρὰς ὑποστάσιας ἔχοντα.

3 Τοῖσιν ὑδρωπιώδεσιν ἐπιληπτικὰ ἐπιγενόμενα, ὀλέθριον, ἀλλήλων γὰρ σημεῖον μοχθηρῶν, καὶ κοιλίας ἐξυγραινούσης.

4 Ἐν τοῖσι χολώδεσι κοιλίη ταραχώδης, διαδιδοῦσα σμικρὰ γονώδεα, μυξώδεα, καὶ πόνοι περὶ ἦτρον ἐμποιέοντα, καὶ οὖρα ἀδιαλύτως ἰόντα, ἐς ὕδρωπα ἀποτελευτᾷ ἐκ τῶν τοιούτων.

5 Ὑδρωπιῶντι πυρετώδης, οὖρον μικρὸν καὶ τεταραγμένον, ὀλέθριον.

6 Ἐπὶ δὲ ὑδέρῳ ἀρχομένῳ διάῤῥοια γινομένη ὑδατώδης, χωρὶς ἀπεψίης, λύει τὸ νόσημα.

7 Τοῖσι ξηροῖσιν ὑδρωπιώδεσι προσημαίνουσι, στρόφοι περὶ τὸ λεπτὸν ἐμπίπτοντες, κακόν.

8 Τὰ ἐξ ὑδρωπικῶν ἐπιληπτικὰ, ὀλέθρια.

9 Ὕδερος περὶ θεραπείην ἐνδιδοὺς παλινδρομέων, ἀνέλπιστον.

10 Τοῖσιν ὑδρωπιώδεσι κατὰ φλέβας ἐς κοιλίην ῥαγέντος τοῦ ὕδατος, λύσις.

XX.

1 Δυσεντερίην ἀκαίρως ἐπιστᾶσαν ἀπόστασιν ἐν πλευροῖσιν, ἢ σπλάγχνοισιν, ἢ ἐν ἄρθροισιν ποιέει. ἆρα ἡ μὲν χολώδης ἐν ἄρθροισιν, ἡ δὲ αἱματώδης ἐν πλευροῖσιν, ἢ σπλάγχνοισι;

Δυσεν-

In hydropicis ſiccis vrinæ ſtillicidia mala: malæ etiam vrinæ parua ſedimenta habentes. 2

Hydropicis comitiales morbi accedentes, pernicioſi ſunt, prauis ſignis ſeſe conſequentibus, & aluos humectant. 3

In bilioſis aluus turbata, reddens pauca geniture ſimilia, mucoſa, & dolorem circa pubem inducentia, & vrinæ non facilè prodeuntes, ex talibus in hydropem deſinunt. 4

Hydropico febrienti, vrina pauca & turbata, pernicioſa eſt. 5

Aquæ inter cutem incipienti alui profluuium aquoſum accedens, citra cruditatem, morbum ſoluit. 6

In hydrope ſicco ſui ſignificationem præmittente, tormina circa inteſtinum tenue incidentia, mala ſunt. 7

Ex hydropicis comitiales, pernicioſi. 8

Hydrops qui remediis cedens recurrit, deſperatus eſt. 9

Hydropicis circa venas aqua in aluum prolapſa, ſolutio fit. 10

CAPVT XX.

Dyſenteria intempeſtiuè ſuppreſſa abſceſſum in lateribus, aut viſceribus, aut in articulis facit. num bilioſa quidem in articulis, ſanguinea verò in lateribus, aut viſceribus abſceſſum facit? 1

Dyſen-

2 Δυσεντερικοῖσιν ἔμετος χολώδης ἐν ἀρχῇ, κακόν.

3 Οἷσιν ἐκ δυσεντερίης ὀξείης ἐς πυώδεα ἦκε τὸ ὑγρὸν, τὸ ἐφιστάμενον ἕλκος καὶ ἔστι καὶ πολύ.

4 Τὰ δυσεντεριώδεα, ὑπέρυθρα, γλυώδεα, λάβρα διαχωρήματα, ἐπὶ φλογώδεσιν ἐξερύθροισι χρώμασι λυόμενα, ἐλπὶς ἐκμανῆναι.

5 Δυσεντερίη πολλῷ ὥδεσι μὴν μακρὴ, χρόνιον· μακρὴ δὲ πονηρόν. ληγούσης γὰρ, εἰ ὕδρωπες ἢ λειεντερίαι γίνονται, θανάσιμον.

6 Ἐν λειεντερικοῖσι μετὰ θηρίων ὀδυνώδεα στρόφοι λυόμενα, τὰ περὶ ἄρθρα μετεωρίζουσιν· ἐκ πλεύρων λεπτὰ ἐξέρυθρα, φλυκταινούμενα· ἐφιδρώσιες ὥσπερ διαφοινίσσονται οἷα μάστιξιν.

7 Οἱ ἐν λειεντερικοῖσι μακροῖσιν ἅμα θηρίοισι στροφώδεες, ὀδυνώδεες, λυομένων ἐπιδύουσι. τὸ ἐπιρρίγουν τούτοισι κακόν.

8 Λειεντερικὰ μετὰ δυσπνοίης, καὶ πλευροῦ τῇ κνήσει, ἐς φθίσιν ἀποτελευτᾷ.

9 Εἰλεώδεσιν ἔμετος, καὶ κώφωσις, κακόν.

XXI.

1 Κύστιες δὲ σκληραί τε καὶ ἐπώδυνοι, πάντως μὲν κακόν, κάκιστον δὲ πυρετῷ συνεχεῖ. καὶ γὰρ οἱ ἀπ' αὐτέων πόνοι, ἱκανοὶ ἀνελεῖν· καὶ κοιλίαι τουτέοισιν, οὐ πάνυ διαχωρέουσι. λύει δὲ τούτους οὖρον πυῶδες ἐλθὸν,

λευκὸν

Dyſentericis vomitus bilioſus in principio, malus eſt. 2

Quibus ex dyſenteria acuta humor ad purulentiam deuenit, his quod ſuperuat, valde album ac multum erit. 3

Dyſenterica, ſubrubra, limoſa, larga excrementa in flammeo ac prærubro colore ſuffuſis deſinentia, inſaniæ timorem inducunt. 4

Dyſenteria non longa lienoſis vtilis eſt: longa verò, mala. deſinente enim ea, ſi hydropes aut inteſtinorum læuitates fiunt, letale eſt. 5

In lientericis, cum vermibus, dolores tormine ſoluti, quæ ſunt circa articulos tumere faciunt: ex talibus ſquamulæ prærubræ, puſtulis ſcatentes: hi vbi exudarunt, velut flagris cæſi vndique rubeſcunt. 6

Qui in longis inteſtinorum læuitatibus vnà cum vermibus, torminibus & doloribus afficiuntur, his ſolutis intumeſcunt: inſuper rigere his malum eſt. 7

Inteſtinorum læuitates cum ſpirandi difficultate, & lateris punctura, in tabem deſinunt. 8

Voluuloſis vomitus, & ſurditas, mala. 9

CAPVT XXI.

Veſicæ duræ & dolentes, omnino quidem malæ ſunt, peſſimæ verò cum febre continua. nam veſicæ dolores ad occidendum ſufficiunt: & alui his nihil ferè reddunt. Liberat autem hos vrina purulenta 1

λευκὸν καὶ λείην ἔχει ὑπόστασιν. μὴ λυομένων δὲ τούτων, μηδὲ τῆς κύστιος λεπτυνομένης ἐν τῇσι προσωτέρῃσι περιόδοισι ἐλπὶς ἀπολέσθαι τὸν νοσέοντα. μάλιστα δὲ γίνεται τοῦτο παισὶν ἀπὸ ἑπτὰ ἐτέων μέχρι πεντεκαίδεκα.

2 Οἱ λιθιῶντες σχηματισθέντες, ὥστε τὸν λίθον μὴ προσπίπτειν πρὸς τὸν οὐρητῆρα, ῥηϊδίως οὐρέουσιν.

3 Οἷσι δὲ φῦμα περὶ τὴν κύστιν ἐστὶ, τὸ περιέχον τὴν δυσχερείην, παντοίως σχηματισθέντες ὀχλέονται. λύσις δὲ τούτου γίνεται, πύου ῥαγέντος.

4 Οἷσι λανθάνει τὸ οὖρον προσπίπτειν ἐς τὸ αἰδοῖον, ἐκλύονται ἀνέλπιστοι.

5 Ἐπὶ στραγγουρίῃ εἰλεὸς ἐπιγενόμενος ἑβδομαίους ἀπόλλυσιν, ἢν μὴ πυρετοῦ ἐπιγενομένου, ἀθρόον οὖρον ἔλθῃ.

XXII.

1 Νάρκαι καὶ ἀναισθησίαι γινόμεναι παρὰ τὸ ἔθος, ἀποπληκτικὸν συμβησομένων σημεῖον.

2 Ὅσοι ἐκ τρώματος ἀκρατέες γίνονται τοῦ σώματος, πυρετοῦ μὲν ἐπιγενομένου χωρὶς ῥίγεος, ὑγιάζονται· μὴ γενομένου δὲ, ἀποπληκτικοὶ γίνονται τὰ δεξιὰ ἢ τὰ ἀριστερά.

3 Ἀποπληκτικοῖσιν αἱμοῤῥοΐδες ἐπιγενόμεναι, χρήσιμον· ψύξιες δὲ καὶ ναρκώσιες πονηρόν.

4 Ἐν τοῖσιν ἀποπληκτικοῖσιν ἐπὶ τῇ δυσφορίῃ τοῦ σώματος, ἱδρὼς ἐπιγενόμενος,

θανά-

lenta prodiens, in qua læue & album ſubſedit. His verò non ſolutis, neque veſica molleſcente in primis circuitibus, interitus ægri metuendus eſt. fit autem hoc maximè à ſeptem annis vſque ad decimum quintum.

Calculoſi ea figura poſiti, vt lapis ad vrinarium meatum non allabatur, facilè mingunt. 2

At quibus tuberculum eſt circa veſicam, meiendi difficultatem inducens, quocunque ponantur ſitu, vexantur. huius autem ſolutio fit, pure erumpente. 3

Quibus vrina claſſi allabitur ad pudendum, exoluuntur deſperati. 4

Vrinæ ſtillicidio voluulus ſuperueniens, ſeptima die perimit, niſi, febre accedente, vrina copioſa prodeat. 5

CAPVT XXII.

Torpores, & ſenſus priuationes præter morem orientes, futuræ ſiderationis ſignum ſunt. 1.

Qui ex vulnere impotentes fiunt corpore, febre quidem ſuperueniente ſine rigore, ſanantur: non autem ſuperueniente, dextra aut ſiniſtra parte reſoluuntur. 2

Sideratis ſi hæmorrhoïdes ſuperueniant, vtile eſt: ſi verò algores & torpores, malum. 3

In ſideratis à difficili ſpiritus tractione ſudorem ſuperuenire, letale: rurſus 4

 autem

θανάσιμον· ἐν αὐτοῖσι δὲ πάλιν τὸ πνεῦμα ἣν πυρετὸς ἐπιγγίνηται, λύσις.

5 Τὰ ἐξαίφνης ἀποπληκτικὰ, λῦόμενα ἐπιπυρετήναντα, χρόνια ὀλέθρια.

6 Οἷσιν ἐκ τινος ἀῤῥωστίης ἐς ὕδερον περιΐστανται, τούτοισι κοιλίαι ξηραὶ συνεμβάλλονται, ὀρχεῦνται, μετὰ περιψύξιος μεζόνως καὶ οὖρα οὐ καλὰ, διατάσιες τε περὶ ὑποχόνδρια, καὶ πόνοι, καὶ ἐπάρματα περὶ κοιλίην, καὶ πόνοι περὶ κενεῶνας, καὶ περὶ τοὺς ῥαχιαίους μύας προσαπτῶσι· πυρετοί τε καὶ δίψαι, καὶ βῆχες ξηραὶ παρακολουθοῦσι, καὶ δύσπνοια περὶ τὰς κινήσιας, καὶ σκέλεα βαρέα, τὰ λεῖα τὰ ἀριστᾶσι, καὶ προσενεγκάμενοι μικρὰ πληροῦνται.

7 Τοὺς λευκοφλεγματιῶντας διάῤῥοια παύει· αἱ μετ' ὀσφύος ἀδυνατίαι, καὶ ἀναισθησίαι, ἐπιεικῶς αὐτὴν καταστρέφουσι.

8 Οἷσι φλὸξ μετὰ καταψύξιος ἐξίσταται, πυρετοὶ μεθ' ἱδρώτων, καὶ ὕπνοι ὑπαναυδεῖς, ταῦτα λύουσιν. (στασις.

9 Ἐκ μανίης ἐς βρόγχον μετὰ βηχὸς ἀπό-

10 Ἐν πᾶσι μανικοῖσι σπασμὸς περιγινόμενος ἀμαύρωσιν ἰᾶται.

11 Αἱ σιγῶσαι ἐκστάσιες οὐχ ἡσυχάζουσαι, ὄμμασι περιβλέπουσαι, ἀνεώμενα ἔξω ἀναφέρουσαι, ὀλέθριαι· τοῖσι δὲ παραπληκτικὰ χρόνια. ἀτὰρ καὶ ἐκμαίνονται

ται

autem in his ipſis ſi febris accedat, ſolutio fit.

Siderationes ſubitæ, leui febre ſuperueniente, tandem ſunt letales. 5

Quibus ex aliqua ægritudine ad aquam inter cutem res deuenit, his alui ſiccæ pilulis caprini ſtercoris ſin ilia egerunt, cum colliquatione mucoſa, & vrina non bona, & diſtentiones circa hypochondria, & dolores ac tumores circa ventrem, & dolores circa ilia, & iuxta ſpinæ muſculos accidunt: febres item, & ſitis, & tuſſes ſiccæ ſequuntur, & cùm mouentur, ſpirandi difficultas, & crurum grauitas, & à cibis abſtinent, & paucis ingeſtis explentur. 6

Leucophlegmaticos alui profluuium liberat: at triſtitiæ cum ſilentio, & hominum auerſationes, leniter eos occidunt. 7

Qui ex timore cum perfrigeratione mente mouentur, febres cum ſudoribus, & ſomni vocem aliquantum intercipientes, hæc ſoluunt. 8

Ex inſania in raucedinem cum tuſſi fit tranſitus. 9

In furioſis conuulſio accedens diſſipationem facit. 10

Mentis emotiones taciturnæ, non quieſcentes, oculis circumſpicientes, ſpiritum foras euocantes, pernicioſæ ſunt: ſed & reſolutiones diuturnas inducunt. quin imò ita affecti vehementer inſaniũt. 11

ται ἐστι. οἷσι δὲ ἐπὶ ταραχῇ κοιλίης ἔπι παροξύνεται, περὶ κρίσιν μέλαινα διέρχεται.

12 Οἷσιν ὑγιαίνουσι χειμῶνος ἐόντος περὶ τὴν ὀσφὺν ψυχρότης καὶ βάρος ἀπὸ βραχείης προφάσιος, καὶ κοιλίης ἐπίστασις, τῆς κύστιος καλῶς ὑπηρετούσης, ἰσχιὰς, ἢ νεφρῶν πόνος, ἢ στραγγουρίης τάχα ἂν συμβαίη.

13 Οἷσι τὰ κάτω κακοῦται, κνησμῶν ἐγγενομένων ἔμπροσθεν ἰσχυρῶν, τούτοισιν ἀμμώδες οὖρον γίνεται, καὶ ἐφίσταται· τοῖσι δὲ ὀλεθρίοισιν αὐτῶν ἡ διάνοια ἀποναρκοῦται.

14 Οἱ τὰ ἄρθρα φλυκταινούμενοι ἐξ ἐρυθροῖσιν ἐπιπολαίοις ἐπιῤῥιγώσαντες, οὗτοι κοιλίας καὶ βουβῶνας διαφοινίσσονται, οἷα πληγῆσιν ἐπωδυνώσασι, καὶ ἀποθνήσκουσι.

15 Τὰ ἰκτερώδεα, οὐ πάνυ τι ἐπαισθανόμενα οἷσι λύγγες, κοιλίαι καταῤῥήγνυνται· ἴσως δὲ καὶ ἐπίστασις. οὗτοι ἐκχλοιοῦνται.

16 Τὰ κατὰ πλευρὸν ἀλγήματα ἐν πυρετοῖσιν ἰσχυρῶς ἐστηκότα, ἄσημα. φλεβοτομίη βλάπτει· κἢν ἀπόσιτος ᾖ, κἢν ὑποχόνδριον μετέωρον· καὶ ἐν καταψύξει, κἢν ἀπύρως ὑποδρυμένοις αἵματος ἀφαίρεσις βλάπτει. καὶ δοκέοντες δὲ ἐπιεικέστερον ἔχειν, οὗτοι θνήσκουσι.

17 Κεφαλὴν καὶ πόδας καὶ χεῖρας καταψύχεσθαι, κοιλίης καὶ πλευρῶν θερμῶν ἐόντων, κακόν· βέλτιστον δὲ πᾶν ὁμοίως τὸ σῶμα θερμόν τε εἶναι καὶ μαλθακόν.

Στρέ-

qui verò in ventris turbatione ita exacerbantur, his nigra circa iudicationem prodeunt.

Quibus ſanis hyeme circa lumbos frigus & grauitas ex leui cauſa, & aluus ſuppreſſa, ſuperno ventriculo probè munus exequente, his coxendicum morbus, aut renum dolor, aut vrinæ ſtillicidium fortaſſis contigerit. 12

Quibus infernæ partes in vitio ſunt, vehementi prurigine antè oborta, his arenoſa vrina redditur, & ſupprimitur: qui verò ex his pernicioſè habent, iis mens obtorpeſcit. 13

Qui circa articulos prærubras in ſuperficie puſtulas habent, rigore inſecuto, hi circa ventrē & inguina rubeſcunt, velut à plagis dolentibus inflictis, & moriuntur. 14

Morbo regio affecti, non ita acriter ſentiuntur: quibus ſingultus, hi alui erumpunt: fortaſſis autem & ſuppreſſio fit. hi viridanti pallore inficiuntur. 15

Dolores iuxta latus in febribus tenuiter conſiſtentes, citra notas, venæ ſectio lædit: & ſi cibum auerſetur æger, & hypochondrium ſuſpenſum fuerit: & in perfrigeratione, non ſine febre torpidos ſanguinis detractio lædit: & cùm putant ſe melius habere, moriuntur. 16

Caput & pedes & manus perfrigerari, ventre & lateribus calentibus, malum eſt: optimum autem, totum corpus æqualiter calidum ac molle eſſe. 17

18 Στρέφεσθαι δὲ ῥηϊδίως χρὴ τὸν νοσέοντα, καὶ ἐν τοῖσι μετεωρισμοῖσιν ἐλαφρὸν εἶναι. βαρύτης δὲ ὅλου τοῦ σώματος, καὶ χειρῶν καὶ ποδῶν, πονηρόν. εἰ δὲ καὶ πρὸς τῇ βαρύτητι πελιδνοὶ γίνονται οἱ δάκτυλοι καὶ οἱ ὄνυχες, πλησίον ὁ θάνατος. μελαινόμενα δὲ παντελῶς, ἧσσον ὀλέθρια τῶν πελιδνῶν. ἀλλὰ τὰ λοιπὰ θεωρεῖν· ἢν γὰρ εὐπετέως φέρῃ τὸ νόσημα, καὶ ἄλλο τι τῶν χρησίμων ἐπιδεικνύῃ, τὸ νόσημα ἐς ἀπόστασιν τρέπεται, καὶ τὰ μελανθέντα τοῦ σώματος ἀποπίπτει.

19 Ὄρχιες καὶ αἰδοῖον ἀνεσπασμένα πονηρὸν σημαίνει.

20 Φῦσαν δὲ ἄνευ ψόφου καὶ πορδῆς διεξιέναι, βέλτιστον· κρέσσον δὲ καὶ σὺν ψόφῳ διελθεῖν, ἢ αὐτοῦ εἰλέεσθαι. καί τοι τὸν τοιοῦτον τρόπον διελθοῦσα, σημαίνει πονηρὸν καὶ παραφροσύνην, ἢν μὴ ἑκὼν οὕτω ποιέηται τὴν ἄφεσιν τῆς φύσης. (νον, θανάσιμον.

21 Ἕλκος πελιδνὸν καὶ ξηρὸν, ἢ χλωρὸν γενόμε-

22 Ἀνάκλισις βελτίστη ἐστὶν, ὡς εἴθισταί τις ὑγιαίνων· ὕπτιον δὲ κεῖσθαι, τὰ σκέλεα ἐκτεταμένον, οὐκ ἀστεῖον. εἰ δὲ καταρρέει προπετὴς ἐπὶ πόδας, χεῖρον. θανάσιμον δὲ καὶ κεχηνέναι, καὶ καθεύδειν αἰεί. καὶ τὰ σκέλεα ὕπτιον κειμένου συγκεκαμμένα τε εἶναι ἰσχυρῶς καὶ διαπεπλεγμένα. τὸ δὲ ἐπὶ γαστέρα κεῖσθαι οἷσι μὴ σύνηθες,

παρα-

Conuerti autem facilè ægrotum oporter, & in attollendo ſe promptum eſſe. at grauitas totius corporis, & manuum, ac pedum, mala eſt. Si verò etiam ad grauitatem liuidi accedant digiti ac vngues, mors propinqua eſt: ſi verò penitus nigreſcant, minus pernicioſi ſunt liuidis. Verùm & reliqua conſideranda ſunt: ſi enim facilè fert morbum, & aliud quoddam ex bonis ſignis ſubindicat, morbus ad abſceſſum vertitur, & partes corporis nigrefactæ decidunt. 18

Teſtes & pudenda reuulſa, malum ſignificant. 19

Flatum ſine crepitus ſono prodire, optimum eſt: melius autem & cum ſtrepitu exire, quàm iſthic reuolui. Certè qui ſic prodit, dolorem & deſipientiam ſignificat, niſi ſponte homo flatû ita emittat. 20

Vlcus liuidum & ſiccum, aut cum virore pallidum, letale eſt. 21

Decubitus optimus eſt, vt quis ſanus ſolitus fuit: at ſupinum iacere, cruribus extentis, bonum non eſt. ſi verò etiam delabatur pronus ad pedes, deterius eſt. letale autem eſt & hiare, & aſſiduè dormire, & crura ſupinè iacentis valde contracta eſſe ac diuaricata. in ventrem autem decumbere, contra conſuetudinem, deli- 22

παραφροσύνην σημαίνει, καὶ πόνον περὶ κοιλίην. πόδας δὲ γυμνοὺς ἔχειν καὶ χεῖρας, μὴ θερμοὺς ἐόντας ἱκανῶς, καὶ τὰ σκέλεα διεῤῥίφθαι, κακόν· ἀλυσμὸν γὰρ σημαίνει. ἀνακαθίζειν δὲ βούλεσθαι, κακὸν ἐν τοῖσιν ὀξέσι· κάκιστον δὲ ἐν περιπλευμονικοῖσι καὶ πλευριτικοῖσι. καθεύδειν δὲ χρὴ τὴν νύκτα, τὴν δὲ ἡμέρην ἐγρηγορέναι· τὸ δ' ἐναντίον, πονηρόν. ἥκιστα δ' ἂν βλάπτοι τὸ περὶ κοιμώμενος ἕως τοῦ τρίτου τῆς ἡμέρης· οἱ δὲ μετὰ ταῦτα ὕπνοι, πονηροί. κάκιστον δὲ μὴ καθεύδειν, μήτε ἡμέρης μήτε νυκτός. ἢ γὰρ ὑπὸ ὀδύνης τε καὶ πόνου ἀγρυπνοίη ἄν, ἢ παραφρονήσει ἀπὸ τούτου τοῦ σημείου.

XXIII.

1 Ὁκόσοισι κρόταφος τάμνεται, σπασμὸς ἐκ τῶν ἐναντίων τῆς τομῆς ἐπιγίνεται.

2 Ὅσοισιν ἂν ὁ ἐγκέφαλος σφαλῇ καὶ πονέσῃ πληγεῖσιν, ἢ ἄλλως ἐπίπληξει, παραχρῆμα ἄφωνοι γίνονται, καὶ οὔτε ὁρῶσιν, οὔτε ἀκούουσι, καὶ τὰ πολλὰ θνήσκουσιν.

3 Οἷς ὁ ἐγκέφαλος τιτρώσκεται, πυρετὸς ὡς ἐπὶ τὸ πολὺ καὶ χολῆς ἔμετος ἐπιγίνεται, καὶ ἀποπληξίη σώματος, καὶ ὀλέθριοι οἱ τοιοῦτοι.

4 Τῶν ῥηγνυμένων κεφαλῆς ὀστέων, χαλεπώτατον γνῶναι τὰ κατὰ τὰς ῥαφὰς ῥηγνύμενα. ῥήγνυται δὲ ὑπὸ τῶν βαρέων καὶ στρογγύλων βελέων μάλιστα, καὶ ἐκ τοῦ ἐξ ὑπεναντίου φερομένων, καὶ μὴ ἐξ ἰσοπέδου. τὰ δ' ἀποβαλλόμενα,

αὐτ

rium ſignificat, & dolores circa ventrem. at pedes nudos habere & manus eum qui vehementer calidus non eſt, & crura diſiecta, malum eſt: anxietatem enim ſignificat. Cæterùm reſidere velle, malum eſt in acutis: peſſimum autem peripneumonicis ac pleuriticis. Dormire verò oportet noctu, interdiu vigilare: contrarium autem, malum eſt. minimè verò lædi æger poterit, ſi dormiat manè ad tertiam diei partem: verùm poſtea ſomni mali ſunt. peſſimum autem eſt, non dormire, neque die, neque nocte: aut enim præ dolore & afflictione vigilauerit, aut ab hoc ſigno delirabit.

CAPVT XXIII.

Quibus tempora ſecantur, conuulſio ex contrariis ſectioni partibus oboritur. 1

Quibus cerebrum concuſſum fuerit & doluerit percuſſis, aut aliàs lapſis, hi ſtatim obmuteſcunt, & neque vident, neque audiunt, & plerunque moriuntur. 2

Quibus cerebrum vulneratur, febris plerunque ac bilis vomitus ſuperuenit, & corporis reſolutio: atque tales pernicioſè habent. 3

Ex fractis capitis oſſibus difficillima cognitu ſunt ea quæ circa ſuturas franguntur. Finduntur autem maximè à grauibus ac rotundis telis, & ab his quæ ex contrario ferè loco feruntur, & non ex plano. at verò de quibus ambiguum eſt, 4

fracta

αἵ τινες ἐρρώγασιν ἢ οὔ, κρίνειν δεῖ. διαμασσᾶσθαι διδόντα ἐφ' ἑκατέρην τῶν σιαγόνων, αὐθέρικον, ἢ νάρθηκα, καὶ προσέχειν κελεύειν, εἴ τι ψοφεῖν αὐτῷ δοκέει τὸ ὀστέον· τὰ γὰρ κατεηγότα δοκέει ψοφεῖν. προϊόντος δὲ τοῦ χρόνου τὰ ἐρρωγότα μετὰ ζ', τὰ δὲ ιδ', τὰ δὲ καὶ ἄλλως διασημαίνει· ἥ τε γὰρ σαρκὸς ἀπόστασις ἀπὸ τοῦ ὀστέου γίνεται, καὶ τὸ ὀστέον πελιὸν, καὶ αἴνοσι, ἰχώρων ὑπορρεόντων. γίνεται δὲ ταῦτα ἤδη δυσβοήθητα.

5 Ὁκόσοισιν ἐπὶ πλέον ψιλωθῇ, ἀνάγκη ἀποστατικὸν εἶναι. (Ἰα.

6 Ἢν ἔν τινι διακοπῇ τῶν λεπτῶν, οὐ συμφύεται.

7 Νεῦρον διακοπὲν, ἢ γνάθου τὸ λεπτὸν, ἢ ἀκροποσθίη, οὐ συμφύεται.

8 Ὅ τι ἂν ἐν τῷ σώματι ὀστέον ἀποκοπῇ, ἢ χόνδρος, οὐκ αὔξεται. (καιόν.

9 Ἐπὶ τρώματι σπασμὸς ἐπιγενόμενος,

10 Ἐπὶ τρώματι χολῆς ἔμετος ἐπιγενόμενος, κακόν· καὶ μάλιστα ἐπὶ τοῖσι κεφαλικοῖσι.

11 Νεῦρα ὅσα παχέα τιτρώσκεται, ὡς ἐπὶ τὸ πολὺ χωλοῦνται, καὶ λοξὰ τιτρωσκόμενα μάλιστα· καὶ τῶν μυῶν αἱ κεφαλαὶ, μάλιστα τῶν ἐν μηροῖσιν.

12 Ἀποθνήσκουσι δὲ μάλιστα ἐκ τῶν τρωμάτων, ἤν τις ἐγκέφαλον τρωθῇ, ἢ ῥαχίτην μυελὸν, ἢ ἧπαρ, ἢ φρένας, ἢ καρδίην, ἢ κύστιν, ἢ φλέβα τῶν παχειῶν. θνήσκει δὲ,

κἢν

fracta ne ſint an non, indicare oportet,
exhibito ad mandendum in vtranque ma-
xillam aſphodeli caule, aut ferula, &
ægro animaduertere iuſſo, an os aliquod
ipſi ſtrepere videatur: nam fracta ſtrepe-
re videntur. progreſſu verò temporis, fra-
cta partim ſeptima die, partim decima-
quarta, partim etiam aliter ſui indicia
præbent: nam caro ab oſſe diſcedit, os li-
ueſcit, & dolores fiunt, ſanie effluente.
hæc autem ægrè iam auxilium admit-
tunt.

Quibus omentum excidit, neceſſe eſt 5
putrefieri.

Si quod inteſtinorum tenuium diſſe- 6
ctum fuerit, non coaleſcit.

Neruus diſſectus, aut genæ tenuis 7
pars, aut præputium, non coaleſcit.

Quodcunque os in corpore reſectum 8
fuerit, aut cartilago, non augeſcit.

Ex vulnere orta conuulſio, mala eſt. 9

Vulneri bilis vomitus ſuperueniens, 10
malus: & maximè in capitis vulneribus.

Nerui craſſi qui vulnerantur, plerun- 11
que claudos faciunt, idque maximè, ſi
obliquè vulnus acceperint, ſi item mu-
ſculorum capita, in femoribus præſertim.

Moriuntur verò maximè ex vulneri- 12
bus, ſi cui cerebrum ſauciatum fuerit, aut
medulla in ſpina, aut iecur, aut ſeptum
tranſuerſum, aut cor, aut veſica, aut vena
craſſa. moritur autem etiam, ſi in aſpe-
ram

ram

κἢν ἐς ἀρτηρίην καὶ πλεύμονα μεγάλαι σφόδρα αἱ πληγαὶ γίνονται. ὥστε τοῦ πλεύμονος πληγέντος, ἔλασσον προσδεχόμενον πνεῦμα κατὰ στόμα γίνεσθαι, ἢ τὸ ἐκπίπτον ἐκ τοῦ τρώματος. θνήσκουσι δὲ καὶ οἱ ἐς τὰ ἔντερα, ἤν τε τι τῶν λεπτῶν τρωθῶσιν, ἤν τε τῶν παχέων, ἢν ἐπικάρσιος ἡ πληγὴ γένηται καὶ μεγάλη. εἰ δὲ μικρὴ καὶ ἰθεῖα, περιγίνονται ἔνιοι. ἥκιστα δὲ θνήσκουσιν οἱ τιτρωσκόμενοι ἐν οἷσι ταῦτα μὴ ἔνι τῶν τοῦ σώματος μερῶν ἢ τούτων προσωτάτω.

13 Τὴν δὲ ὄψιν ἀμαυροῦνται ἐν τοῖσι τρώμασι τοῖσιν ἐς τὴν ὀφρὺν, καὶ μικρὸν ἐπάνω. ἧσσον δ' ἂν τὸ τρῶμα νεώτερον ᾖ, μᾶλλον βλέπουσι· χρονιζομένης δὲ τῆς οὐλῆς, ἀμαυροῦσθαι μᾶλλον συμπίπτει.

14 Αἱ σύριγγες χαλεπώταταί εἰσιν, ὅσαι ἐν τοῖσι χονδρώδεσί τε καὶ ἀσάρκοισι τόποισι πεφύκασιν, εἰσί τε κοῖλαι, μολυνταί τε, καὶ ἰχῶρα ῥέουσιν αἰεὶ, σαρκίον τε ἐπὶ τῷ στόματι ἔπεστιν αὐταῖς· εὐθεραπευτότεραι δὲ, ὅσαι ἐν τοῖσι μαλθακοῖσι τόποισι καὶ σαρκώδεσί τε καὶ αἰόδερεσι πεφύκασι.

XXIV.

1 Τὰ δὲ πρὸ ἥβης οὐ γίνεται νοσήματα, περιπλευμονικὰ, πλευριτικὰ, ποδαγρικὰ, νεφρῖτις, κιρσοὶ περὶ κνήμην, ῥοῦς αἱματηρὸς, καρκῖνος μὴ σύμφυτος, λεύκη μὴ συγγενὴς,

καταρ-

rám arteriam & pulmonem valde magnæ plagæ fiant,ita vt pulmone percuſſo,paucior ſpiritus per os prodeat, quàm ex vulnere elabatur. moriuntur verò etiam quibus inteſtina vulnerata fuerint, ſiue tenuium, ſiue craſſorum aliquod ictum ſit,tranſuerſa & magna plaga illata. hac enim parua & recta,quidam euadunt. minimè verò moriuntur vulnerati in partibus corporis vbi hæc non ſunt,aut ab his qui longiſſimè abſunt.

At verò viſus obſcuratur in vulneribus ſupercilio inflictis, vel paulo altiùs. Quantò autem vulnus recentius eſt, eo magis vident: cicatrice verò diutiùs tardante ac ſeneſcente,magis obſcurari contingit. 13

Fiſtulæ difficillimæ ſunt, quæ in cartilaginoſis & excarnibus locis naſcuntur, & cauæ ſunt, & altiùs procedunt, ac tenui ſanie ſemper manant, & caruncula ori ipſarum accreſcit:curatu autem faciliores ſunt, quæ in mollibus & carnoſis & non neruoſis locis oriuntur. 14

CAPVT XXIV.

